ἔθεντό με βδέλυγμα ἑαυτοῖς· Παρεδόθην καὶ οὐκ ἐξεπορευόμην, οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας· Ἐκέκραξα πρὸς σὲ Κύριε ὅλην τὴν ἡμέραν διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου. Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια ἢ ἰατροὶ ἀναστήσουσι καὶ ἐξομολογήσονταί σοι; Μὴ διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ; Μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου, καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ; Κἀγὼ πρὸς σὲ, Κύριε, ἐκέκραξα καὶ τὸ πρωΐ ἡ προσευχή μου προφθάσει σε. Ἵνα τὶ Κύριε ἀπωθῇ τὴν ψυχήν μου, ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ; Πτωχός εἰμι ἐγὼ καὶ ἐν κόποις ἐκ νεότητός μου, ὑψωθεὶς δὲ ἐταπεινώθην καὶ ἐξηπορήθην. Ἐπ' ἐμὲ διῆλθον αἱ ὀργαί σου, οἱ φοβερισμοί σου ἐξετάραξάν με. Ἐκύκλωσάν με ὡσεὶ ὕδωρ, ὅλην τὴν ἡμέραν περιέσχον με ἅμα. Ἐμάκρυνας ἀπ' ἐμοῦ φίλον καὶ πλησίον καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας. (Καὶ πάλιν).			καν καί μέ ἀηδίασαν. Παραδόθηκα (στή δυστυχία), καί δέν μπορῶ νά ἀπαλλαγῶ, τά μάτια μου ἐξασθένησαν ἀπό τίς ταλαιπωρίες. Ἔκραξα σ' ἐσένα, Κύριε, ὅλη τήν ἡμέρα. Σ' ἐσένα ἅπλωσα ἱκετευτικά τά χέρια μου. (Βοήθησέ με, Κύριε, πρίν πεθάνω). Διότι, μήπως θά δείξεις τά θαυμάσια ἔργα σου στούς νεκρούς, καί σ' ἐμένα, ὅταν πεθάνω; Ἤ μήπως οἱ γιατροί θά μπορέσουν νά ἀναστήσουν τούς νεκρούς, γιά νά σέ δοξολογήσουν; Μήπως εἶναι δυνατό, νά διηγηθεῖ κανείς τό ἔλεός σου, ὅταν εἶναι στόν τάφο, καί τήν ἀλήθειά σου, ὅταν εἶναι στήν ἀπώλεια (στόν ᾅδη); Μήπως εἶναι δυνατό νά γίνουν γνωστά τά θαυμάσια ἔργα σου στό σκοτάδι, καί τά ἔργα τῆς δικαιοσύνης σου στή λησμονημένη χώρα τῶν νεκρῶν; Γι' αὐτό κι ἐγώ, Κύριε, ὅλη τή νύχτα ἔκραξα σ' ἐσένα, καί τό πρωΐ θά σέ προφθάσει ἡ προσευχή μου. Γιατί, Κύριε, ἀπωθεῖς τήν ψυχή μου, καί γυρίζεις μέ ἀποστροφή τό πρόσωπό σου ἀπό μένα; Ἐγώ εἶμαι φτωχός, καί ἔζησα μέσα σέ κόπους ἀπό τή νεότητά μου. Ἐνῶ ὑψώθηκα λίγο (ὑλικά καί κοινωνικά), ταπεινώθηκα καί ἔφθασα σέ ἀπόγνωση. Ἀπό ἐπάνω μου πέρασαν οἱ ὀργές σου. Οἱ φοβερισμοί σου μέ συγκλόνισαν. Μέ περικύκλωσαν ὡς νερό ὅλη τήν ἡμέρα, καί μέ ἔσφιξαν συγχρόνως ἀπό παντοῦ. Ἀπομάκρυνες ἀπό μένα κάθε φίλο καί γείτονα, καί τούς γνωστούς μου ἐξ αἰτίας τῆς ταλαιπωρίας μου. (Καὶ πάλι).

Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου. Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου. ΨΑΛΜΟΣ ΡΒ'. (102). Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ. Τὸν εὐϊλατεύοντα πάσας τὰς ἀνομίας σου, τὸν ἰώμενον πάσας τὰς νόσους σου. Τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου, τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς. Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου, ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου. Ποιῶν ἐλεημοσύνας ὁ Κύριος, καὶ κρῖμα πᾶσι τοῖς ἀδικουμένοις. Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσῇ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ. Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος, οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ. Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν. Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς, ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν. Καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν,			Κύριε καί Θεέ τῆς σωτηρίας μου κάθε μέρα κράζω καί κάθε νύχτα στέκομαι ὄρθιος ἐμπρός σου. Ἄς ἔλθει σ' ἐσένα ἡ προσευχή μου, στρέψε τό αὐτί σου στά λόγια τῆς δεήσεώς μου. ΨΑΛΜΟΣ ΡΒ'. (102). Δοξολόγει, ψυχή μου, τόν Κύριο, καί ὅλος ὁ ἐσωτερικός μου κόσμος τό ἅγιο ὄνομά του. Δοξολόγει, ψυχή μου, τόν Κύριο, καί μή λησμονεῖς ὅλες τίς εὐεργεσίες του. Αὐτόν ὁ ὁποῖος συγχωρεῖ σπλαχνικά ὅλες τίς ἀνομίες σου, αὐτόν ὁ ὁποῖος θεραπεύει ὅλες τίς ἀσθένειές σου. Αὐτόν ὁ ὁποῖος λυτρώνει τή ζωή σου ἀπό τή φθορά, αὐτόν ὁ ὁποῖος σέ στεφανώνει μέ τό ἔλεος καί τήν εὐσπλαχνία του. Αὐτόν πού γεμίζει μέ ἀγαθά τούς εὐγενεῖς πόθους σου, ὥστε νά ἀνανεωθεῖ ἡ νεότητά σου ὅπως τοῦ ἀετοῦ. Ὁ Κύριος εἶναι, πού κάνει ἔργα ἐλέους, καί ἀποδίδει δικαιοσύνη σέ ὅλους, ὅσοι ἀδικοῦνται. Αὐτός ἔκανε γνωστούς τούς νόμους του στό Μωυσῆ, καί τά θελήματά του στούς Ἰσραηλῖτες. Ὁ Κύριος εἶναι σπλαχνικός καί ἐλεήμων, μεγαλόψυχος καί πολυέλεος. Δέν ὀργίζεται τελειωτικά, ὥστε νά μᾶς καταστρέψει, οὔτε κρατᾶ αἰώνια τήν ὀργή του. Δέν μᾶς τιμωρεῖ ἀνάλογα μέ τίς ἀνομίες μας, οὔτε μᾶς ἀνταποδίδει ἀνάλογα μέ τίς ἁμαρτίες μας. Διότι σύμφωνα μέ τό ὕψος τοῦ οὐρανοῦ ἀπό τή γῆ, κρατᾶ ὁ Θεός δυνατό τό ἔλεός του, πρός ἐκείνους, πού τόν εὐλαβοῦνται. Ὅσο ἀπέχει ἡ ἀνατολή ἀπό τή δύση, τόσο ἀπομάκρυνε

ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν. Καθὼς οἰκτείρει πατὴρ υἱούς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν, ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν, ἐμνήσθη ὅτι χοῦς ἐσμέν. Ἄνθρωπος, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει. Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ. Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν. Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν, τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ, καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει. Εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ Ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ. Εὐλογεῖτε τὸν Κύριον, πᾶσαι αἱ δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ, οἱ ποιοῦντες τὸ θέλημα αὐτοῦ. Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ, εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον. (Καὶ πάλιν). Ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον. ΨΑΛΜΟΣ ΡΜΒ'. (142).			ἀπό μᾶς τίς ἀνομίες μας. Καθώς σπλαχνίζεται ὁ Πατέρας τά παιδιά του, ἔτσι σπλαχνίζεται ὁ Κύριος αὐτούς, πού τόν εὐλαβοῦνται· διότι αὐτός γνωρίζει πῶς πλασθήκαμε, καί ἔχει κατά νοῦν, ὅτι εἴμαστε χῶμα. Οἱ ἡμέρες τοῦ ἀνθρώπου εἶναι ὅπως τό χόρτο. Ὅπως τό ἄνθος τοῦ ἀγροῦ ἔτσι ἀνθίζει (φαίνεται) γιά λίγο. Διότι, ἄν περάσει ἀπό ἐπάνω του καυστικός ἄνεμος, δέν μπορεῖ νά μείνει στήν ὕπαρξη, καί δέν θά γνωρίζει πλέον κανείς οὔτε τόν τόπο του. Ἡ εὐσπλαχνία ὅμως τοῦ Κυρίου ἁπλώνεται αἰώνια σ' αὐτούς πού τόν εὐλαβοῦνται. Καί ἡ δικαιοσύνη του παραμένει φρουρός στούς ἀπογόνους τους, σ' αὐτούς οἱ ὁποῖοι ἐφαρμόζουν τό Νόμο του, καί ἔχουν κατά νοῦν τίς ἐντολές του, ὥστε νά τίς τηροῦν. Ὁ Κύριος ἔχει ἕτοιμο τόν θρόνο του ψηλά στόν οὐρανό, καί ἡ Βασιλεία του κυριαρχεῖ σέ ὁλόκληρο τό σύμπαν. Δοξολογεῖτε τόν Κύριο ὅλοι οἱ Ἄγγελοί του, πού εἶσθε πανίσχυροι, καί ἐκτελεῖτε τό πρόσταγμά του, δηλαδή ἀκοῦτε τίς διαταγές του, καί πράττετε τά λόγια του. Δοξολογεῖτε τόν Κύριο ὅλες οἱ οὐράνιες δυνάμεις, οἱ λειτουργοί του (οἱ ὑπηρέτες του), οἱ ὁποῖοι τηρεῖτε τό θέλημά του. Δοξολογεῖτε τόν Κύριο ὅλα τά ἔργα του σέ κάθε τόπο τῆς κυριαρχίας του· δοξολόγει, ψυχή μου, τόν Κύριο. (Καὶ πάλι). Σέ κάθε τόπο τῆς κυριαρχίας του· Δοξολόγει, ψυχή μου, τόν Κύριο. ΨΑΛΜΟΣ ΡΜΒ'. (142).

Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου. Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου· Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου· Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ,καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου,ὅτι ἐπὶ σοι ἤλπισα· Γνώρισόν μοι Κύριε ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον,δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου ὅτι σὺ εἶ ὁ Θεός μου·			Κύριε, εἰσάκουσε τήν προσευχή μου, δέξου στ' αὐτιά σου τήν δέησή μου στό ὄνομα τῆς ἀξιοπιστίας σου, εἰσάκουσέ με ἐν ὀνόματι τῆς δικαιοσύνης σου. Μή θελήσεις ὅμως, νά προχωρήσεις σέ αὐστηρή κρίση γιά μένα τό δοῦλο σου, διότι εἶναι ἀδύνατο νά δικαιωθεῖ ἐμπρός σου κάθε ζωντανός. (Ἄκουσέ με). Διότι ὁ ἐχθρός καταδίωξε τήν ψυχή μου, ἐξευτέλισε μέχρι τό χῶμα τή ζωή μου. Μέ ὁδήγησε μέχρι τόν σκοτεινό ᾅδη, ὅπου βρίσκονται ἀπό αἰῶνες οἱ νεκροί, ἔπεσε σέ κατάθλιψη τό πνεῦμα μου, μέσα μου εἶναι ταραγμένη διαρκῶς ἡ καρδιά μου. (Σ' αὐτή τήν κατάσταση) θυμήθηκα ἡμέρες παλιές, βύθισα τή σκέψη μου σέ ὅλα τά ἔργα σου, μελέτησα προσεκτικά τά ἔργα τῶν χεριῶν σου. Ὕψωσα ἱκετευτικά τά χέρια μου πρός ἐσένα. Ἡ ψυχή μου μοιάζει μέ κατάξερη γῆ πού διψᾷ. Εἰσάκουσε με, Κύριε, τό γρηγορώτερο, γιατί χάνεται τό πνεῦμα μου. Μή γυρίσεις μέ ἀποστροφή τό πρόσωπό σου ἀπό μένα, καί ὁμοιωθῶ μέ τούς νεκρούς, πού κατεβαίνουν ὁριστικά στόν τάφο. Φρόντισε, Κύριε, νά ἀκούσω καί νά αἰσθανθῶ γρήγορα (τό πρωΐ) τό ἔλεός σου, διότι σ' ἐσένα στηρίζω τήν ἐλπίδα μου. Κάνε νά γνωρίσω, Κύριε, τό δρόμο πού πρέπει νά πορευθῶ, διότι σ' ἐσένα ὕψωσα τήν ψυχή μου. Βγάλε με ἀπό τά χέρια τῶν ἐχθρῶν μου, Κύριε, διότι σ' ἐσένα καταφεύγω· Δίδαξέ με, νά ἐφαρμόζω τό θέλημά σου, διότι Ἐσύ εἶσαι ὁ Θεός μου.

Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με· Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου. Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου ὅτι ἐγὼ δοῦλός σού εἰμι. (Καὶ πάλιν). Εἰσάκουσόν μου Κύριε ἐν τῇ δικαίοσύνῃ σου, καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου. (Δίς). Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. Δόξα... Καὶ νῦν... Ἀλληλούια, (γ'.). Δόξα σοι ὁ Θεός (ἐκ γ'). Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι. ΕΙΡΗΝΙΚΑ Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. Κύριε, ἐλέησον. Ὑπέρ τῆς ἄνωθεν εἰρήνης καί τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν τοῦ Κυρίου δεηθῶμεν. Ὑπέρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καί τῆς τῶν πάντων ἑνώσεως τοῦ Κυρίου δεηθῶμεν. Ὑπέρ τοῦ ἁγίου οἴκου τούτου, καί τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.			Τό Πνεῦμα σου τό ἀγαθό ἄς μέ ὁδηγεῖ στόν ἴσιο δρόμο. Γιά χάρη τοῦ ὀνόματός σου, Κύριε, (πού σημαίνει ἔλεος καί ἀγάπη), θά παρατείνεις τή ζωή μου. Μέ τή δικαιοσύνη σου θά βγάλεις τήν ψυχή μου ἀπό τή βαριά θλίψη, καί μέ τό ἔλεός σου θά ἐξολοθρεύσεις τούς ἐχθρούς μου. Καί θά καταστρέψεις ὅλους, ὅσοι θλίβουν τήν ψυχή μου, διότι ἐγώ εἶμαι δικός σου δοῦλος. (Καὶ πάλι). Εἰσάκουσέ με, Κύριε, ἐν ὀνόματι τῆς δικαιοσύνης σου, καί μή θελήσεις, νά προχωρήσεις σέ αὐστηρή κρίση γιά μένα τό δοῦλο σου. (Δίς). Τό Πνεῦμα σου τό ἀγαθό ἄς μέ ὁδηγεῖ στόν ἴσιο δρόμο. Δόξα... Καὶ νῦν... Ἀλληλούϊα,(γ'.). Δόξα σοι ὁ Θεός (ἐκ γ'). Ἡ ἐλπὶδα μας, Κύριε, δόξα σ' ἐσένα. ΕΙΡΗΝΙΚΑ Μέ εἰρήνη (στήν καρδιά), ἄς παρακαλέσουμε τόν Κύριο. Κύριε, ἐλέησέ μας. Γιά τήν εἰρήνη πού ἔρχεται ἀπό ἐπάνω, ἀπό τόν Θεό, καί γιά τή σωτηρία τῶν ψυχῶν μας, ἄς παρακαλέσουμε τόν Κύριο. Γιά τήν εἰρήνη ὁλοκλήρου τοῦ κόσμου, γιά τή σταθερότητα τῶν ἁγίων Ἐκκλησιῶν τοῦ Θεοῦ, καί γιά τήν ἕνωση ὅλων τῶν ἀνθρώπων, ἄς παρακαλέσουμε τόν Κύριο. Γιά τόν ἅγιο αὐτόν ναό, καί γιά ἐκείνους πού μέ πίστη, μέ εὐλάβεια καί μέ φόβο Θεοῦ εἰσέρχονται σ' αὐτόν, ἄς παρακαλέσουμε τόν Κύριο.

Ὑπέρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν. Ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν, (…) τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ Κλήρου καί τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν. Ὑπέρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης ἀρχῆς καὶ ἐξουσίας ἐν αὐτῷ, τοῦ κατὰ ξηρὰν θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν. Ὑπέρ τῆς πόλεως ταύτης, πάσης πόλεως καὶ χώρας καί τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν. Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καί τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν. Ὑπέρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι. Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.			Γιά τούς εὐσεβεῖς καί ὀρθοδόξους χριστιανούς, ἄς παρακαλέσουμε τόν Κύριο. Γιά τόν ἀρχιεπίσκοπό μας (.....), γιά τή σεβαστή τάξη τῶν ἱερέων, γιά τούς διακόνους (τούς ὑπηρέτες) τοῦ Χριστοῦ, γιά ὅλους τούς κληρικούς καί τούς λαϊκούς, ἄς παρακαλέσουμε τόν Κύριο. Γιά τό εὐσεβές ἔθνος μας, γιά κάθε ἀρχή καί ἐξουσία σ' αὐτό, καί γιὰ ν φιλόχριστο στρατό μας στήν ξηρά, στή θάλασσα καί στόν ἀέρα, ἄς παρακαλέσουμε τόν Κύριο. Γιά τήν πόλη αὐτή, γιά κάθε πόλη καί χωριό, καί γιά ὅσους κατοικοῦν σ' αὐτές μέ πίστη, ἄς παρακαλέσουμε τόν Κύριο. Γιά εὐεργετικούς ἀνέμους, γιά εὐφορία τῶν καρπῶν τῆς γῆς καί γιά καιρούς εἰρηνικούς, ἄς παρακαλέσουμε τόν Κύριο. Γιά ὅσους ταξιδεύουν στή θάλασσα καί στή στεριά, γιά ὅσους εἶναι ἄρρωστοι, κουρασμένοι, αἰχμάλωτοι, καί γιά τή σωτηρία τους, ἄς παρακαλέσουμε τόν Κύριο. Γιά νά ἀπαλλαγοῦμε ἐμεῖς ἀπό κάθε θλίψη, ὀργή, κίνδυνο καί ἀνάγκη, ἄς παρακαλέσουμε τόν Κύριο. Βοήθησε, σῶσε, ἐλέησε καί διαφύλαξέ μας, Θεέ μας, μέ τή δική σου χάρη. Ἀφοῦ μνημονεύσουμε τήν Παναγία, ἀμόλυντη, ὑπερευλογημένη, ἔνδοξη Κυρία μας, τή Θεοτόκο, καί παντοτεινή Παρθένο Μαρία, μαζί μέ ὅλους τούς ἁγίους, ἄς ἐμπιστευθοῦμε τούς ἑαυτούς μας, καί ὁ καθένας μας ὅλους τούς ἄλλους, καί ὁλόκληρη τή ζωή μας, στόν Χριστό, τόν Θεό

Σοὶ Κύριε. Ὅτι πρέπει σοι, πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. ΘΕΟΣ ΚΥΡΙΟΣ. Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Στίχ. α'. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ. Στίχ, β'. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς, Στίχ, γ'. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. ΑΠΟΛΥΤΙΚΙΑ: (Εἰς τό τέλος τοῦ Ἑσπερινοῦ. Σελίς 16). ΜΙΚΡΑ ΣΥΝΑΠΤΗ: Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίουδεηθῶμεν. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι. Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα. Σοὶ Κύριε. Ὅτι σὸν τὸ κράτος καί σοῦ ἐστιν ἡ βασιλεία καὶ			μας. Σ' ἐσένα, Κύριε. (Ζητοῦμε ὅλα αὐτά ἀπό σένα), γιατί σ' ἐσένα πρέπει κάθε δόξα, τιμή καί προσκύνηση, στόν Πατέρα καί στόν Υἱό καί στό Ἅγιο Πνεῦμα, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν. ΘΕΟΣ ΚΥΡΙΟΣ. Ὁ Θεός καί Κύριος ἔλαμψε σ' ἐμᾶς μέ τήν ἀποκάλυψή του. Ἂς εἶναι δοξασμένος αὐτός πού ἔρχεται (γιά νά μᾶς σώσει) σταλμένος ἀπό τόν Κύριο. Στίχ. α'. Δοξολογεῖτε μέ εὐχαριστίες τόν Κύριο, καί καλεῖτε σέ βοήθεια τό ἅγιο ὄνομά του. Στίχ. β'. Ὅλα τά γύρω ἔθνη μέ περικύκλωσαν, καί μέ τή δύναμη τοῦ ὀνόματος τοῦ Κυρίου τά ἀντιμετώπισα. Στίχ. γ'. Ἐκ μέρους τοῦ Κυρίου κατορθώθηκε αὐτή ἡ σωτηρία μας, καί εἶναι ἀξιοθαύμαστη στά μάτια μας. ΑΠΟΛΥΤΙΚΙΑ: (Στό τέλος τοῦ ἑσπερινοῦ. Σελίδα 16). ΜΙΚΡΗ ΣΥΝΑΠΤΗ. Πάλι καί πάλι μέ εἰρήνη ἂς παρακαλέσουμε τόν Κύριο. Βοήθησε, σῶσε, ἐλέησε καί διαφύλαξέ μας, Θεέ μας, μέ τή χάρη σου. Ἀφοῦ μνημονεύσουμε τήν Παναγία, ἀμόλυντη, ὑπερευλογημένη, ἔνδοξη Κυρία μας Θεοτόκο (Μητέρα τοῦ Θεοῦ), καί παντοτεινή Παρθένο Μαρία, μαζί μέ ὅλους τούς ἁγίους, ἂς ἀποθέσουμε τούς ἑαυτούς μας, καί ὁ καθένας μας ὅλους τούς ἄλλους, καί ὁλόκληρη τή ζωή μας στόν Χριστό, τόν Θεό. Σ' ἐσένα, Κύριε. Διότι δική σου εἶναι ἡ ἐξουσία καί δική σου εἶναι ἡ Βασι-

ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. ΚΑΘΙΣΜΑΤΑ: (Παρακλητικῆς ἢ ἑορτῆς). ΕΥΛΟΓΗΤΑΡΙΑ: Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. Τῶν Ἀγγέλων ὁ δῆμος, κατεπλάγη ὁρῶν σε, ἐν νεκροῖς λογισθέντα, τοῦ θανάτου δὲ Σωτήρ, τὴν ἰσχὺν καθελόντα, καὶ σὺν ἑαυτῷ τὸν Ἀδὰμ ἐγείραντα, καὶ ἐξ ᾅδου πάντας ἐλευθερώσαντα. Τὶ τὰ μύρα, συμπαθῶς τοῖς δάκρυσιν, ὦ Μαθήτριαι κιρνᾶτε; ὁ ἀστράπτων ἐν τῷ τάφῳ Ἄγγελος, προσεφθέγγετο ταῖς Μυροφόροις· Ἴδετε ὑμεῖς τὸν τάφον καὶ ᾔσθητε, ὁ Σωτὴρ γὰρ ἐξανέστη τοῦ μνήματος. Λίαν πρωΐ, Μυροφόροι ἔδραμον, πρὸς τὸ μνῆμά σου θρηνολογοῦσαι, ἀλλ' ἐπέστη, πρὸς αὐτὰς ὁ Ἄγγελος, καὶ εἶπε, θρήνου ὁ καιρὸς πέπαυται, μὴ κλαίετε, τὴν Ἀνάστασιν δέ, Ἀποστόλοις εἴπατε. Μυροφόροι γυναῖκες, μετὰ μύρων ἐλθοῦσαι, πρὸς τὸ μνῆμά σου, Σῶτερ, ἐνηχοῦντο. Ἀγγέλου τρανῶς, πρὸς αὐτὰς φθεγγομένου. Τὶ μετὰ νεκρῶν, τὸν ζῶντα λογίζεσθε; ὡς Θεὸς γάρ, ἐξανέστη τοῦ μνήματος. Δόξα... Τριαδικὸν.			λεία καί ἡ δύναμη καί ἡ δόξα, τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν. ΚΑΘΙΣΜΑΤΑ (Τῆς Παρακλητικῆς ἢ τῆς ἑορτῆς). ΕΥΛΟΓΗΤΑΡΙΑ Εἶσαι δοξασμένος, Κύριε, δίδαξέ με τά δικαιώματά σου. Τῶν Ἀγγέλων τό πλῆθος ἔμεινε κατάπληκτο βλέποντάς σε νά συγκαταλέγεσαι μεταξύ τῶν νεκρῶν, καί νά καταλύεις, Σωτήρα μου, τή δύναμη τοῦ θανάτου, καί νά ἀναστήνεις μαζί σου τόν Ἀδάμ, καί νά ἐλευθερώνεις ἀπό τόν ᾅδη ὅλους τούς ἀνθρώπους. Μαθήτριες (τοῦ Χριστοῦ), γιατί ἀναμειγνύετε τά μύρα μέ τά δάκρυα συμπάσχοντας; ἔλεγε στίς Μυροφόρες ὁ Ἄγγελος, πού ἄστραφτε στόν τάφο· δεῖτε καί σεῖς τόν τάφο, καί καταλάβετέ το· ὅτι ὁ Σωτήρας ἀναστήθηκε ἀπό τό μνῆμα. Πολύ πρωΐ οἱ Μυροφόρες ἔτρεξαν στό μνῆμα σου θρηνολογώντας· ἀλλά παρουσιάσθηκε σ' αὐτές ὁ Ἄγγελος καί εἶπε· Ἔχει παύσει ὁ καιρός τοῦ θρήνου, μή κλαῖτε· Ἀλλά ἀναγγείλετε τήν ἀνάσταση στούς Ἀποστόλους. Οἱ Μυροφόρες γυναῖκες ἐρχόμενες μέ μύρα στό μνῆμα σου, Σωτήρα, ἄκουαν Ἄγγελο, νά φωνάζει πρός αὐτές δυνατά· Γιατί λογαριάζετε τόν ζωντανό μεταξύ τῶν νεκρῶν; Διότι ὡς Θεός ἀναστήθηκε ἀπό τό μνῆμα. Δόξα … Τριαδικό.

Προσκυνοῦμεν Πατέρα, καὶ τὸν τούτου Υἱόν τε, καὶ τὸ Ἅγιον Πνεῦμα, τὴν Ἁγίαν Τριάδα, ἐν μιᾷ τῇ οὐσίᾳ, σὺν τοῖς Σεραφίμ, κράζοντες τό, Ἅγιος, Ἅγιος, Ἅγιος εἶ, Κύριε. Καὶ νῦν... Θεοτοκίον. Ζωοδότην τεκοῦσα ἐλυτρώσω, Παρθένε, τὸν Ἀδὰμ ἁμαρτίας, χαρμονὴν δὲ τῇ Εὔᾳ, ἀντὶ λύπης παρέσχες, ῥεύσαντα ζωῆς, ἴθυνε πρὸς ταύτην δέ, ὁ ἐκ σοῦ σαρκωθεὶς Θεὸς καὶ ἄνθρωπος. Ἀλληλούια. (γ΄.). Δόξα σοι ὁ Θεός. (γ΄.). ΜΙΚΡΑ ΣΥΝΑΠΤΗ: Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίουδεηθῶμεν. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι. Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα. Σοὶ Κύριε. Ὅτι ηὐλόγηταί σου τό ὄνομα, καί δεδόξασταί σου ἡ Βασιλεία τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν. ΥΠΑΚΟΗ:(Τῆς Ὀκτωήχου). ΑΝΑΒΑΘΜΟΙ Τοῦ ἤχου τῆς Κυριακῆς. Ἐν ταῖς μνήμαις τῶν ἁγίων.			Προσκυνοῦμε τόν Πατέρα καί τόν Υἱό Ἐκείνου καί τό Ἅγιο Πνεῦμα· Τήν Ἁγία Τριάδα σέ μία οὐσία, κράζοντας μαζί μέ τά Σεραφίμ τό: Ἅγιος, Ἅγιος, Ἅγιος εἶσαι, Κύριε. Καί νῦν… Θεοτοκίο. Γεννώντας τόν Ζωοδότη, Παρθένε, λύτρωσες τόν Ἀδάμ ἀπό τήν ἁμαρτία, καί πρόσφερες στήν Εὔα χαρά ἀντί λύπης· ὁ ὁποῖος (Ἀδάμ) ξέπεσε ἀπό τή ζωή τοῦ Παραδείσου. Τόν ὁδήγησε ὅμως σ' αὐτήν τή ζωή ὁ Θεάνθρωπος, πού σαρκώθηκε ἀπό σένα. Ἀλληλούια. (γ΄.). Δόξα σοι ὁ Θεός. (γ΄.). ΜΙΚΡΗ ΣΥΝΑΠΤΗ. Πάλι καί πάλι μέ εἰρήνη ἄς παρακαλέσουμε τόν Κύριο. Βοήθησε, σῶσε, ἐλέησε καί διαφύλαξέ μας, Θεέ, μέ τή χάρη σου. Ἀφοῦ μνημονεύσουμε τήν Παναγία, ἀμόλυντη, ὑπερευλογημένη, ἔνδοξη Κυρία μας, τή Θεοτόκο, καί Ἀειπάρθενο (παντοτεινή Παρθένο) Μαρία, μαζί μέ ὅλους τούς ἁγίους, ἄς ἐμπιστευθοῦμε τούς ἑαυτούς μας, καί ὁ καθένας μας ὅλους τούς ἄλλους, καί ὁλόκληρη τή ζωή μας, στόν Χριστό τόν Θεό μας. Σ' ἐσένα, Κύριε. Διότι εἶναι εὐλογημένο τό ὄνομά σου καί δοξασμένη ἡ Βασιλεία σου, τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν. ΥΠΑΚΟΗ:(Τῆς Ὀκτωήχου). ΑΝΑΒΑΘΜΟΙ Τοῦ ἤχου τῆς Κυριακῆς. Στίς μνῆμες τῶν ἁγίων.

Τό α΄. Ἀντίφωνον τοῦ Δ΄. ἤχου). ΠΡΟΚΕΙΜΕΝΟΝ: Τοῦ ἤχου τῆς Κυριακῆς. Ἐν ταῖς μνήμαις τῶν ἁγίων: τοῦ ἁγίου. ΤΑΞΙΣ ΤΟΥ ΕΥΑΓΓΕΛΙΟΥ ΤΟΥ ΟΡΘΡΟΥ Τοῦ Κυρίου δεηθῶμεν. Κύριε, ἐλέησον. Ὅτι Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις ἐπαναπαύῃ, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον (γ'). Καὶ ὑπέρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν. Κύριε, ἐλέησον (γ'). Σοφία. Ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου. Εἰρήνη πᾶσι. Καὶ τῷ Πνεύματί σου. Ἐκ τοῦ κατὰ (….) Ἁγίου Εὐαγγελίου τό ἀνάγνωσμα. Πρόσχωμεν. Δόξα σοι, Κύριε, δόξα σοι. ΕΥΑΓΓΕΛΙΟΝ (Ὀκτώηχος. Σελίς 190-202). (Ὁ ἱερεύς ἀπαγγέλλει τό Εὐαγγέλιον). Δόξα σοι, Κύριε, δόξα σοι. (Εἰ Κυριακή ἐστιν). Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν Ἅγιον, Κύριον, Ἰησοῦν τὸν μόνον ἀναμάρτητον. Τὸν Σταυρόν σου, Χριστέ, προσκυνοῦμεν, καὶ τὴν ἁγίαν σου Ἀνάστασιν ὑμνοῦμεν καὶ δοξάζομεν. Σὺ γὰρ εἶ Θεὸς ἡμῶν,			Τό α΄. ἀντίφωνο τοῦ Δ΄. ἤχου). ΠΡΟΚΕΙΜΕΝΟ (Τοῦ ἤχου τῆς Κυριακῆς). Στίς μνῆμες τῶν ἁγίων: τοῦ ἁγίου. ΤΑΞΗ ΤΟΥ ΕΩΘΙΝΟΥ ΕΥΑΓΓΕΛΙΟΥ Ἄς παρακαλέσουμε τόν Κύριο. Κύριε, ἐλέησον. Διότι εἶσαι ἅγιος, Θεέ μας, καί μεταξύ τῶν ἁγίων ἀναπαύεσαι, καί σ' ἐσένα ἀναπέμπουμε τή δόξα, στόν Πατέρα καί στόν Υἱό καί στό Ἅγιο Πνεῦμα, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν. Κάθε πνοή (ζωντανό), ἄς δοξολογεῖ τόν Κύριο.(γ΄.). Ἄς ἱκετεύσουμε τόν Κύριο καί Θεό μας, γιά νά ἀξιωθοῦμε νά ἀκούσουμε τό ἅγιο Εὐαγγέλιο. Κύριε, ἐλέησον.(γ΄.). Ἐδῶ εἶναι ἡ Σοφία. Ὀρθιοι. Ἄς ἀκούσουμε τό ἅγιο Εὐαγγέλιο. Εἰρήνη σέ ὅλους. Καί στό δικό σου πνεῦμα. Ἄς προσέξουμε τήν ἀνάγνωση ἀπό τό Εὐαγγέλιο κατά τόν Εὐαγγελιστή (....). Δόξα σοι, Κύριε, δόξα σοι. ΕΥΑΓΓΕΛΙΟ (Ὀκτώηχος. 190-1202). (Ὁ ἱερεύς ἀπαγγέλλει τό Εὐαγγέλιο). Δόξα σοι, Κύριε, δόξα σοι. (Ἄν Εἶναι Κυριακή). Ἀφοῦ εἴδαμε τήν Ἀνάσταση τοῦ Χριστοῦ, ἄς προσκυνήσουμε τόν ἅγιο, Κύριο, Ἰησοῦ, τόν μόνον ἀναμάρτητο. Τόν Σταυρό σου, Χριστέ, προσκυνοῦμε καί τήν ἁγία σου ἀνάσταση ὑμνοῦμε καί δοξάζουμε. Διότι Ἐσύ εἶσαι Θεός μας, ἐκτός ἀπό σένα ἄλλον δέν γνωρίζουμε, τό ὄνομά σου

ἐκτὸς σοῦ ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. Δεῦτε πάντες οἱ πιστοί, προσκυνήσωμεν τὴν τοῦ Χριστοῦ ἁγίαν Ἀνάστασιν· ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ, χαρὰ ἐν ὅλῳ τῷ κόσμω. Διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον, ὑμνοῦμεν τὴν Ἀνάστασιν αὐτοῦ. Σταυρὸν γὰρ ὑπομείνας δι' ἡμᾶς, θανάτῳ θάνατον ὤλεσεν. Ψαλμὸς.Ν'. (50). Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἐλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντὸς. Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ραντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι, πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.			ἐπικαλούμεθα. Ἐλᾶτε ὅλοι οἱ πιστοί, νά προσκυνήσουμε τήν ἁγία Ἀνάσταση τοῦ Χριστοῦ. Διότι ἀφοῦ ὑπέμεινε σταυρό γιά χάρη μας, μέ τόν θάνατό του ἐξαφάνισε τό θάνατο. ΨΑΛΜΟΣ Ν'. (50). Ἐλέησέ με, Θεέ μου, σύμφωνα μέ τό μέγα ἔλεός σου, καί σύμφωνα μέ τό πλῆθος τῆς εὐσπλαχνίας σου σβῆσε ἐντελῶς τήν παρανομία μου. Πλύνε με πάλι καί πάλι ἀπό τήν ἀνομία μου, καί ἀπό τήν ἀκαθαρσία τῆς ἁμαρτίας μου καθάρισέ με. (Ζητῶ τό ἔλεός σου), διότι ἐγώ ἀναγνωρίζω τήν ἀνομία μου καί ἡ ἁμαρτία μου ὀρθώνεται μπροστά μου γιά πάντα. Σ' ἐσένα ἀποκλειστικά ἁμάρτησα, καί ἔπραξα τό πονηρό μπροστά σου· (Τά ὁμολογῶ αὐτά), γιά νά φανεῖς, πόσο δίκαιος εἶσαι στίς καταδικαστικές ἀποφάσεις σου, καί νά ἀναδειχθεῖς νικητής, ὅταν κακόβουλα σέ ἐπικρίνουν. (Ἐλέησέ με), διότι μέσα σέ ἀνομίες ἔγινε ἡ σύλληψή μου, καί μέσα σέ ἁμαρτίες μέ κυοφόρησε στά σπλάχνα της ἡ μητέρα μου. Ἐσύ ἀγαπᾶς τήν ἀλήθεια. Φανέρωσέ μου τά ἄγνωστα καί κρυμμένα μυστήρια τῆς σοφίας σου, (γιά νά φυλαχθῶ). Θά μέ ραντίσεις μέ ὕσσωπο (ποῶδες φυτό ὅμοιο μέ τόν βασιλικό) καί θά καθαρισθῶ· θά μέ πλύνεις καί θά λευκανθῶ πιό πολύ ἀπό τό χιόνι. Θά μέ κάνεις νά ἀκούσω λόγια πού προξενοῦν ἀγαλλίαση καί εὐφροσύνη· Θά αἰσθανθοῦν ἀγαλλίαση τά

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. Ρῦσαί με ἐξ αἱμάτων ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου Ὅτι εἰ ἠθέλησας θυσίαν ἔδωκα ἂν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ἀγάθυνον Κύριε ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.			ταπεινωμένα ὀστά μου. Ἀπόστρεψε (γύρισε) τό πρόσωπό σου ἀπό τίς ἁμαρτίες μου, καί σβῆσε ἐντελῶς ὅλες τίς ἀνομίες μου. Καρδιά καθαρή ἐγκατάστησε μέσα μου, Θεέ μου, καί ἐγκαινίασε στά κατάβαθά μου πνεῦμα μέ ὀρθό φρόνημα. Μή μέ ἀπορρίψεις ἀπό τό πρόσωπό σου, καί μήν ἀφαιρέσεις ἀπό μένα τό Πνεῦμα σου τό Ἅγιο. Δῶσε μου τήν ἀγαλλίαση γιά τή σωτηρία, πού προέρχεται ἀπό σένα, καί στήριξέ με μέ πνεῦμα αὐτοκυριαρχίας . Ἔτσι θά διδάξω τό νόμο σου σέ πολλούς παρανόμους, ὥστε νά ἐπιστρέψουν σ' ἐσένα πολλοί ἀσεβεῖς. Ἀπάλλαξέ με, Θεέ μου, Θεέ Σωτήρα μου, ἀπό τήν ἐνοχή τῶν αἱμάτων, (πού χύθηκαν ἐξ αἰτίας μου)· Τότε ἡ γλῶσσα μου θά διαλαλεῖ μέ ἀγαλλίαση τήν ἀγαθή δικαιοσύνη σου. Κύριε, θά ἀνοίξεις τά χείλη μου, καί τό στόμα μου θά διαλαλεῖ τόν ὕμνο σου. Διότι, ἄν ἤθελες θυσία, εὐχαρίστως θά τήν πρόσφερα. Ἐσύ ὅμως δέν μένεις εὐχαριστημένος μέ ὁλοκαυτώματα (θυσία πού καίγεται ὅλο τό ζῶο). Θυσία εὐάρεστη στόν Θεό εἶναι ἡ ψυχή ἡ συντετριμμένη· Καρδιά συντετριμμένη καί ταπεινωμένη ὁ Θεός δέ θά τήν περιφρονήσει. Δεῖξε, Κύριε, ἀγαθοσύνη στή Σιών μέ τή χάρη σου, καί ἄς ξαναχτισθοῦν τά τείχη τῆς Ἱερουσαλήμ. Τότε θά δεχθεῖς θυσία σύμφωνη μέ τό Νόμο σου, εὐχαριστήρια θυσία καί ὁλοκαυτώματα. Τότε θά μποροῦν νά ἀνεβάσουν ἐπάνω στό βωμό σου νεαρούς ταύρους.

Δόξα... Ταῖς τῶν Ἀποστόλων, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων. Καὶ νῦν … Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. ΠΕΝΤΗΚΟΣΤΑΡΙΟΝ (Κατά Κυριακήν). Ἀναστάς ὁ Ἰησοῦς ἀπό τοῦ τάφου καθώς προ εἶπεν, ἔδωκεν ἡμῖν τήν αἰώνιον ζωήν καί μέγα ἔλεος. (Ἐν ταῖς ἑορταῖς ψάλλεται τό τῆς ἑορτῆς). ΣΩΣΟΝ Ο ΘΕΟΣ… Σῶσον, ὁ Θεός, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰτιρμοῖς· ὕψωσον κέρας Χριστιανῶν Ὀρθοδόξων, καὶ κατάπεμψον ἐφ ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια· πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων, ἐνδόξων, καὶ πανευφήμων Ἀποστόλων, τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν, μεγάλων Ἱεραρχῶν, καὶ Οἰκουμενικῶν Διδασκάλων, Βασιλείου τοῦ			Δόξα …. Μέ τίς πρεσβεῖες τῶν Ἀποστόλων, εὔσπλαχνε, σβῆσε ἐντελῶς τά πλήθη τῶν ἐγκλημάτων μου. Καί νῦν… Μέ τίς πρεσβεῖες τῆς Θεοτόκου (Μητέρας τοῦ Θεοῦ), εὔσπλαχνε, σβῆσε ἐντελῶς τά πλήθη τῶν ἐγκλημάτων μου. Ἐλέησέ με, Θεέ μου, σύμφωνα μέ τό μέγα ἔλεός σου, καί κατά τό πλῆθος τῆς εὐσπλαχνίας σου ἐξάλειψε τήν παρανομία μου. ΠΕΝΤΗΚΟΣΤΑΡΙΟ (Τήν Κυριακή). Ἀφοῦ ἀναστήθηκε ὁ Ἰησοῦς ἀπό τόν τάφο, ὅπως εἶπε ἐκ τῶν προτέρων, ἔδωσε σ' ἐμᾶς τήν αἰώνια ζωή καί μέγα ἔλεος. (Κατά τίς ἄλλες ἑορτές ψάλλεται τῆς ἑορτῆς). ΣΩΣΟΝ Ο ΘΕΟΣ… Σῶσε, Θεέ μου, τό λαό σου, καί εὐλόγησε ἐμᾶς, πού εἴμαστε ἡ κληρονομιά σου. Ἐπισκέψου τόν κόσμο σου μέ ἔλεος καί εὐσπλαχνία. Ὕψωσε τή δύναμη τῶν ὀρθοδόξων χριστιανῶν, καί στεῖλε ἐπάνω μας τά ἐλέη σου τά πλούσια. Μέ τίς πρεσβεῖες τῆς πάναγνης Κυρίας μας Θεοτόκου καί Ἀειπαρθένου Μαρίας· μέ τή δύναμη τοῦ Τιμίου καί Ζωοπάροχου Σταυροῦ· μέ τίς προστασίες τῶν τιμίων, ἐπουρανίων Δυνάμεων Ἀσωμάτων (τῶν Ἀγγέλων)· μέ τίς ἱκεσίες τοῦ Τιμίου, ἐνδόξου προφήτου Προδρόμου καί Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καί ξακουστῶν Ἀποστόλων· τῶν ἁγίων Πατέρων μας, μεγάλων ἱεραρχῶν καί οἰκουμενικῶν διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καί Ἰωάννου τοῦ Χρυσοστόμου· τοῦ Ἀθανασίου καί Κυρίλλου,

Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου καὶ Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος, πατριαρχῶν Ἀλεξανδρείας, Νικολάου τοῦ ἐν Μύροις, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος, τῶν θαυματουργῶν, τῶν ἁγίων ἐνδόξων, Μεγάλων Μαρτύρων, Γεωργίου τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλύτου, Θεοδώρων Τήρωνος, καὶ Στρατηλάτου· τῶν ἱερομαρτύρων Χαραλάμπους καὶ Ἐλευθερίου· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τοῦ ἁγίου (τοῦ ναοῦ), τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, τοῦ ἁγίου (τῆς ἡμέρας), οὗ καί τήν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σου τῶν ἁγίων ἱκετεύομέν σε, μόνε πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου, καὶ ἐλέησον ἡμᾶς. Κύριε, ἐλέησον (ιβ'). Ἐλέει, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ Μονογενοῦς σου Υἱοῦ, μεθ οὗ εὐλογητὸς εἰ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. ΚΑΝΟΝΕΣ: (Τῆς Παρακλητικῆς καί τῆς ἑορτῆς). Α'. καί Γ'. ᾠδαί. ΜΙΚΡΑ ΣΥΝΑΠΤΗ Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.			Ἰωάννου τοῦ Ἐλεήμονος, πατριαρχῶν Ἀλεξανδρείας· τοῦ Νικολάου ἐπισκόπου Μύρων, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος, τῶν θαυματουργῶν· (μέ τίς ἱκεσίες) τῶν ἁγίων ἐνδόξων μεγάλων Μαρτύρων, τοῦ Γεωργίου τοῦ Τροπαιοφόρου (θριαμβευτοῦ), τοῦ Δημητρίου τοῦ Μυροβλήτου, τῶν Θεοδώρων, Τήρωνος καί Στρατηλάτου· τῶν Ἱερομαρτύρων (κληρικῶν Μαρτύρων) Χαραλάμπους καί Ἐλευθερίου· τῶν ἁγίων ἐνδόξων καί καλλινίκων Μαρτύρων, τῶν ὁσίων (ἀσκητῶν) καί θεοφόρων (πού φέρουν τόν Θεό) Πατέρων μας· τῶν ἁγίων καί Δικαίων θεοπατόρων (προγόνων τοῦ Χριστοῦ) Ἰωακείμ καί Ἄννης· τοῦ ἁγίου (τῆς ἡμέρας), τοῦ ὁποίου τή μνήμη ἑορτάζουμε καί ὅλων τῶν ἁγίων, σέ ἱκετεύουμε, μόνε πολυέλεε Κύριε, ἐπάκουσέ ἐμᾶς τούς ἁμαρτωλούς, πού σέ παρακαλοῦμε, καί ἐλέησέ μας. Κύριε ἐλέησον. (ιβ'.). (Ὅλα αὐτά σέ παρακαλοῦμε νά τά κάνεις) μέ τό ἔλεος καί τήν εὐσπλαχνία καί τή φιλανθρωπία τοῦ Μονογενοῦς σου Υἱοῦ, μαζί μέ τόν ὁποῖο εἶσαι ἄξιος νά δοξολογεῖσαι, καί μαζὶ μέ τό πανάγιο καί ἀγαθό καί ζωοποιό σου Πνεῦμα, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν. ΚΑΝΟΝΕΣ (Τῆς Παρακλητικῆς καί τῆς ἑορτῆς). Α'. καί Γ'. ᾠδές. ΜΙΚΡΗ ΣΥΝΑΠΤΗ Πάλι καί πάλι μέ εἰρήνη ἄς παρακαλέσουμε τόν Κύριο.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι. Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα. Σοὶ Κύριε. Ὅτι σύ εἶ ὁ Θεός ἡμῶν καί σοί τήν δόξαν ἀναπέμπομεν τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν. ΥΠΑΚΟΗ.-ΚΑΘΙΣΜΑΤΑ (Τοῦ Μηναίου ἤ τῆς Ἑορτῆς). Δ'. Ε'. ΣΤ'. ᾠδαί. ΜΙΚΡΑ ΣΥΝΑΠΤΗ Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίουδεηθῶμεν. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι. Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα. Σοὶ Κύριε. Σύ γάρ εἶ ὁ Βασιλεύς τῆς εἰρήνης καί Σωτήρ τῶν ψυχῶν ἡμῶν, καί σοί τήν δόξαν ἀναπέμπομεν τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.			Βοήθησε, σῶσε, ἐλέησε καί διαφύλαξέ μας, Θεέ, μέ τή χάρη σου. Ἀφοῦ μνημονεύσουμε τήν Παναγία, ἀμόλυντη, ὑπερευλογημένη, ἔνδοξη Κυρία μας, τή Θεοτόκο (τή Μητέρα τοῦ Θεοῦ), καί Ἀειπάρθενο (παντοτεινή Παρθένο) Μαρία, μαζί μέ ὅλους τού ἁγίους, ἄς ἐμπιστευθοῦμε τούς ἑαυτούς μας, καί ὁ καθένας μας ὅλους τούς ἄλλους, καί ὁλόκληρη τή ζωή μας, στόν Χριστό, τόν Θεό μας. Σ' ἐσένα, Κύριε. Διότι Ἐσύ εἶσαι ὁ Θεός μας, καί σ' ἐσένα ἀναπέμπουμε τή δόξα, στόν Πατέρα καί στόν Υἱό καί στό Ἅγιο Πνεῦμα, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν. ΥΠΑΚΟΗ.-ΚΑΘΙΣΜΑΤΑ (Τοῦ Μηναίου ἤ τῆς Ἑορτῆς). Δ'. Ε'. ΣΤ'. ᾠδές. ΜΙΚΡΗ ΣΥΝΑΠΤΗ Πάλι καί πάλι μέ εἰρήνη ἄς παρακαλέσουμε τόν Κύριο. Βοήθησε, σῶσε, ἐλέησε καί διαφύλαξέ μας, Θεέ, μέ τή χάρη σου. Ἀφοῦ μνημονεύσουμε τήν Παναγία, ἀμόλυντη, ὑπερευλογημένη, ἔνδοξη Κυρία μας, τή Θεοτόκο (τή Μητέρα τοῦ Θεοῦ), καί Ἀειπάρθενο (παντοτεινή Παρθένο) Μαρία, μαζί μέ ὅλους τού ἁγίους, ἄς ἐμπιστευθοῦμε τούς ἑαυτούς μας, καί ὁ καθένας μας ὅλους τούς ἄλλους, καί ὁλόκληρη τή ζωή μας στόν Χριστό, τόν Θεό μας. Σ' ἐσένα, Κύριε. Διότι Ἐσύ εἶσαι ὁ Βασιλιάς τῆς εἰρήνης καί Σωτήρας τῶν ψυχῶν μας, καί σ' ἐσένα ἀναπέμπουμε τή δόξα, στόν Πατέρα καί στόν Υἱό καί στό Ἅγιο Πνεῦμα, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΚΟΝΤΑΚΙΟΝ ΟΙΚΟΣ ΣΥΝΑΞΑΡΙΟΝ (Τῆς ἑορτῆς). ΚΑΤΑΒΑΣΙΑΙ. Ἀναλόγως τῇ ἑορταστικῇ περιόδῳ. Ζ'. Η'. ᾠδαί. ΤΙΜΙΩΤΕΡΑ Τήν Θεοτόκον καί Μητέρα τοῦ Φωτός ἐν ὕμνοις τιμῶντες μεγαλύνωμεν. Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου. Τὴν Τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεάν, καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν. Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν. Καθεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν, καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς. Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι			ΚΟΝΤΑΚΙΟ ΟΙΚΟΣ ΣΥΝΑΞΑΡΙΟ (Τῆς ἑορτῆς). ΚΑΤΑΒΑΣΙΕΣ. Ἀνάλογα μέ τήν ἑορταστική περίοδο. Ζ'. Η'. ᾠδές. ΤΙΜΙΩΤΕΡΑ Τήν Θεοτόκο καί Μητέρα τοῦ Φωτός ἄς τήν ἐξυψώσουμε τιμώντας την μέ ὕμνους. Ἀνυμνεῖ καί δοξάζει ἡ ψυχή μου τό μεγαλεῖο τοῦ Κυρίου, καί σκίρτησε ἀπό ἀγαλλίαση τό πνεῦμα μου γιά τόν Θεό, τόν Σωτήρα μου. Τήν πιό σεβαστή ἀπό τά Χερουβίμ, καί ἀσύγκριτα πιό ἔνδοξη ἀπό τά Σεραφίμ, ἐσένα, ἡ ὁποία χωρίς νά φθαρεῖς, γέννησες τόν Υἱό καί Λόγο τοῦ Θοῦ, τήν πραγματική Μητέρα τοῦ Θεοῦ, ἐσένα μεγαλύνουμε. Διότι ἔρριξε σπλαχνικό βλέμμα στήν ταπείνωση τῆς δούλης του, καί νά, ἀπό τώρα καί στό ἑξῆς θά μέ μακαρίζουν ὅλες οἱ ἀνθρώπινες γενιές. Διότι ἔκανε μεγαλεῖα σ' ἐμένα ὁ παντοδύναμος, καί τό ὄνομά του εἶναι ἅγιο καί ἁγιάζει. Καί τό ἔλεός του μεταβιβάζεται ἀπό γενιά σέ γενιά, σ' αὐτούς πού τόν εὐλαβοῦνται. Ἔκανε δυνατά ἔργα μέ τό παντοδύναμο χέρι του, διασκόρπισε ὑπερηφάνους, πού εἶχαν φαντασμένα σχέδια στήν καρδιά τους. Ἀνέτρεψε δυνατούς ἀνθρώπους ἀπό τούς θρόνους τους, καί ὕψωσε ταπεινούς. Πεινασμένους γέμισε μέ ἀγαθά, καί πλουσίους φαντασμένους τούς ἔδιωξε μέ ἄδεια χέρια. Ἔπιασε προστατευτικά μέ τό χέρι του τούς Ἰσραηλῖτες

ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραάμ, καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.			τούς δούλους του, καί ἔδειξε ἔτσι ὅτι δέ λησμονεῖ τό ἔλεός του σύμφωνα μέ ὅσα εἶπε πρός τούς Πατέρες μας, στόν Ἀβραάμ, δηλαδή, καί στούς ἀπογόνους του μέχρι τήν αἰωνιότητα (γιά πάντα).
Θ'. ᾠδή. ΜΙΚΡΑ ΣΥΝΑΠΤΗ Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι. Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα. Σοί, Κύριε. Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ Δυνάμεις τῶν οὐρανῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπουσι, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ (Ὀκτώηχος. Σελίς 203-213). (Παρακλητικῆς καί ἑορτῆς). ΑΙΝΟΙ (Τῆς Παρακλητικῆς καί τῆς ἑορτῆς). Πᾶσα πνοή αἰνεσάτω τόν Κύριον· Αἰνεῖτε τόν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτόν ἐν τοῖς ὑψίστοις, σοί πρέπει ὕμνος τῷ Θεῷ. ΨΑΛΜΟΣ ΡΜΗ' (148). Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις.			Θ'. ᾠδή. ΜΙΚΡΗ ΣΥΝΑΠΤΗ Πάλι καί πάλι μέ εἰρήνη ἄς παρακαλέσουμε τόν Κύριο. Βοήθησε, σῶσε, ἐλέησε καί διαφύλαξέ μας, Θεέ, μέ τή χάρη σου. Ἀφοῦ μνημονεύσουμε τήν Παναγία, ἀμόλυντη, ὑπερευλογημένη, ἔνδοξη Κυρία μας, τή Θεοτόκο (τή Μητέρα τοῦ Θεοῦ), καί Ἀειπάρθενο (παντοτεινή Παρθένο) Μαρία, μαζί μέ ὅλους τούς ἁγίους, ἄς ἐμπιστευθοῦμε τούς ἑαυτούς μας, καί ὁ καθένας μας ὅλους τούς ἄλλους, καί ὁλόκληρη τή ζωή μας, στόν Χριστό, τόν Θεό μας. Σ' ἐσένα, Κύριε. Διότι ἐσένα δοξολογοῦν ὅλες οἱ δυνάμεις τῶν οὐρανῶν, καί σ' ἐσένα ἀναπέμπουν (προσφέρουν) τή δόξα, στόν Πατέρα καί στόν Υἱό καί στό Ἅγιο Πνεῦμα, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ (Ὀκτώηχος. Σελίδα 203-213). (Τῆς Παρακλητικῆς καί τῆς ἑορτῆς). ΑΙΝΟΙ (Τῆς Παρακλητικῆς καί τῆς ἑορτῆς). Κάθε πλάσμα πού ἀναπνέει, ἄς δοξάσει τόν Κύριο. Ὑμνεῖτε τόν Κύριο οἱ Ἄγγελοι ἀπό τόν οὐρανό. Ὑμνεῖτε τον ἐκεῖ ψηλά. Σ' ἐσένα πρέπει ὕμνος, στόν Θεό. ΨΑΛΜΟΣ ΡΜΗ'. (148). Ὑμνεῖτε τόν Κύριο ἀπό τόν οὐρανό. Ὑμνεῖτε τον ἐκεῖ ψηλά.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ, αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Αἰνεῖτε αὐτόν, ἥλιος καὶ σελήνη, αἰνεῖτε αὐτόν, πάντα τὰ ἄστρα καὶ τὸ φῶς. Αἰνεῖτε αὐτόν, οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν. Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν. Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται. Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι. Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ. Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα, καὶ πᾶσαι κέδροι. Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά. Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ τῆς γῆς. Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων, αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου. Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ, καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.			Ὑμνεῖτε τον ὅλοι οἱ Ἄγγελοί του. Ὑμνεῖτε τον ὅλες οἱ οὐράνιες Δυνάμεις του. Ὑμνεῖτε τον ὁ ἥλιος καί ἡ σελήνη. Ὑμνεῖτε τον ὅλα τά ἄστρα καί τό φῶς. Ὑμνεῖτε τον οἱ πνευματικοί οὐρανοί πού βρίσκεστε ψηλότερα ἀπό τούς φυσικούς οὐρανούς, καί τό νερό πού βρίσκεται ἀποθηκευμένο ἐπάνω ἀπό τούς οὐρανούς (στά σύννεφα). (Τά πάντα) ἄς ὑμνοῦν τό ὄνομα τοῦ Κυρίου. Διότι αὐτός εἶπε ἕνα μόνο λόγο καί ἔγιναν, αὐτός ἔδωσε ἐντολή καί δημιουργήθηκαν. Ὅλα αὐτά τά στερέωσε στόν αἰῶνα καί στόν αἰῶνα τοῦ αἰῶνος· Ἔδωσε παντοδύναμη προσταγή, καί δέν πρόκειται νά ἀκυρωθεῖ. Ὑμνεῖτε τόν Κύριο ἀπό τή γῆ τά θαλάσσια κήτη καί ὅλες οἱ ἀβυσσαλέες (βαθιές) θάλασες. (Ὑμνεῖτε τόν Κύριο) ἡ φωτιά τῆς ἀστραπῆς, τό χαλάζι, τό χιόνι, ὁ ὁρμητικός ἄνεμος τῆς καταιγίδας, ὅλα αὐτά πού κινοῦνται ἐκτελώντας τήν προσταγή του. Ὑμνεῖτε τον τά ψηλά ὄρη καί τά χαμηλά βουνά, τά καρποφόρα δένδρα καί ὅλα τά ἄκαρπα, ὅπως οἱ κέδροι. (Ὑμνεῖτε τον) τά ἄγρια θηρία τῆς ὑπαίθρου καί ὅλα τά ἥμερα κτήνη, τά ἑρπετά καί ὅλα τά πτηνά πού πετοῦν. (Ὑμνεῖτε τον) οἱ Βασιλεῖς τῆς γῆς καί ὅλοι οἱ λαοί, οἱ ἄρχοντες καί ὅλοι οἱ δικαστές (οἱ προϋχοντες) τῆς γῆς. Οἱ νεαροί καί οἱ παρθένες, οἱ γεροντότεροι μαζί μέ τούς νεωτέρους, ἄς ὑμνήσουν ὅλοι τό ὄνομα τοῦ Κυρίου, διότι μόνο τό ὄνομά του ἐξυψώθηκε. Ἡ δοξολογία του ἁπλώνεται στόν οὐρανό καί στή γῆ, καί θά ἐξυψώσει τή δύναμη τοῦ λαοῦ του.

Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ. ΨΑΛΜΟΣ ΡΜΘ'. (149). Ἄισατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ Ὁσίων. Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ Βασιλεῖ αὐτῶν. Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ , ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ. Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ, καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ. Καυχὴσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν. Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν. Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς. Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς. (Οἱ στίχοι τῶν αἴνων). Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον, δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ. ΨΑΛΜΟΣ ΡΝ'. (l50).			Ὕμνος καί δόξα θά ἀποδοθεῖ σέ ὅλους, πού εἶναι ἀφοσιωμένοι σ' αὐτόν, στούς ἀπογόνους τοῦ Ἰσραήλ, στόν λαό, πού τόν πλησιάζει μέ πίστη. ΨΑΛΜΟΣ ΡΜΘ'. (149). (Γιά τίς πολλές του εὐεργεσίες) ψάλατε στόν Κύριο καινούριο ὕμνο. Ὁ ὕμνος του ἄς ψαλεῖ στή συγκέντρωση τῶν ἀφοσιωμένων σ' αὐτόν. Ἄς εὐφρανθεῖ ὁ λαός τοῦ Ἰσραήλ ἐξ αἰτίας τοῦ Θεοῦ, ὁ ὁποῖος τόν ἔκανε ἐκλεκτό λαό του, καί οἱ κάτοικοι τῆς Σιών (τῆς Ἱερουσαλήμ), διότι ἔχουν Βασιλιά τόν Θεό. Ἄς ὑμνολογήσουν τό ὄνομά του μέ ἱερούς χορούς. Μέ τύμπανα καί κιθάρες ἄς ψάλουν σ' αὐτόν. Διότι δείχνει τήν εὔνοιά του ὁ Κύριος στόν λαό του· Θά δοξάσει τούς πράους καί ὑπομονητικούς σώζοντάς τους. Θά καυχῶνται οἱ ἀφοσιωμένοι δοῦλοι τοῦ Θεοῦ, καί θά σκιρτοῦν ἀπό ἀγαλλίαση, τό βράδυ στά κρεβάτια τους. Οἱ δοξολογίες τοῦ Θεοῦ θά βρίσκονται στό στόμα τους, καί δίκοπα μεγάλα σπαθιά στά χέρια τους. Γιά νά ἀντιμετωπίσουν τούς ἐχθρικούς λαούς καί νά τούς τιμωρήσουν. Γιά νά δέσουν τούς Βασιλεῖς αὐτῶν τῶν ἐθνῶν μέ δεσμά, καί τούς ἐνδόξους ἄρχοντές τους μέ χειροπέδες σιδερένιες. (Οἱ στίχοι τῶν αἴνων). (Ὁ Κύριος θά ἀποδώσει δικαιοσύνη στούς καταπιεζομένους δικαίους), γιά νά πραγματοποιηθεῖ σ' αὐτούς ἡ δικαία ἀπόφασή του, πού εἶναι γραμμένη στίς προφητεῖες. Καί ἡ ἐκτέλεση αὐτῆς τῆς ἀποφάσεως θά εἶναι μεγάλη δόξα γιά ὅλους, ὅσοι εἶναι ἀφοσιωμένοι στόν Θεό. ΨΑΛΜΟΣ ΡΝ'. (150).

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ, πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. (Εἴ ἐστι Κυριακή): Ἀνάστηθι, Κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου, μή ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος. Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τά θαυμάσιά σου. Τροπάρια. Τῶν Αἴνων. Δόξα... ΕΩΘΙΝΟ. (Τῆς Παρακλητικῆς, ἤ τῆς ἑορτῆς). Καὶ νῦν... Ὑπερευλογημένη ὑπάρχεις, Θεοτόκε Παρθένε· διὰ γὰρ τοῦ ἐκ σοῦ σαρκωθέντος, ὁ ᾅδης ἠχμαλώτισται, ὁ Ἀδὰμ ἀνακέκληται, ἡ κατάρα νενέκρωται, ἡ Εὔα ἠλευθέρωται, ὁ θάνατος τεθανά-			Ὑμνεῖτε τόν Θεό στόν ἅγιο Ναό του· Ὑμνεῖτε τον, ὅσοι ζεῖτε κάτω ἀπό τόν οὐρανό, ὁ ὁποῖος εἶναι ἔργο τῆς παντοδυναμίας του. Ὑμνεῖτε τον γιά τά ἔργα τῆς παντοδυναμίας του· ὑμνεῖτε τον σύμφωνα μέ τό πλῆθος τοῦ μεγαλείου του. Ὑμνεῖτε τον μέ τόν ἦχο τῆς σάλπιγγας· ὑμνεῖτε τον μέ ψαλτήρι (ἔγχορδο ὄργανο) καί κιθάρα. Ὑμνεῖτε τον μέ τύμπανα καί ἱερούς χορούς· Ὑμνεῖτε τον μέ χορδές καί ὄργανα. Ὑμνεῖτε τον μέ ἠχηρά κύμβαλα (τά χάλκινα πιάτα τῆς μουσικῆς)· ὑμνεῖτε τον μέ κύμβαλα πού προκαλοῦν πάταγο· Κάθε πλάσμα πού ἀναπνέει ἄς ὑμνεῖ τόν Κύριο. (Ἄν εἶναι Κυριακή): Σήκω, Κύριε καί Θεέ μου, (γιά νά ἀποδώσεις δικαιοσύνη). Ἄς ὑψωθεῖ τιμωρητικό τό χέρι σου (ἐναντίον τῶν ἀδίκων), μή λησμονήσεις τελείως τούς (ἀδικουμένους) φτωχούς δούλους σου. Θά σέ δοξολογῶ, Κύριε, ἀπό τά βάθη τῆς καρδιᾶς μου, θά διηγοῦμαι μέ εὐγνωμοσύνη ὅλα τά θαυμάσια ἔργα σου πού ἔκανες γιά μένα. Τροπάρια. Τῶν Αἴνων. Δόξα …. ΕΩΘΙΝΟ. (Τῆς Παρακλητικῆς, ἤ τῆς ἑορτῆς). Καί νῦν… Εἶσαι εὐλογημένη, Θεοτόκε Παρθένε. Διότι διά μέσου αὐτοῦ πού σαρκώθηκε (ἔγινε ἄνθρωπος) ἀπό σένα, ὁ ᾅδης αἰχμαλωτίσθηκε, ὁ Ἀδάμ ἔχει ἀνακληθεῖ στήν προηγούμενη κατάσταση, ἡ κατάρα νεκρώθηκε, ἡ Εὔα ἐλευθερώθηκε, ὁ

τωται, καὶ ἡμεῖς ἐζωοποιήθημεν· διὸ ἀνυμνοῦντες ἀνυμνοῦντες βοῶμεν· Εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας, δόξα σοι. ΜΕΓΑΛΗ ΔΟΞΟΛΟΓΙΑ Δόξα σοι τῷ δείξαντι τὸ φῶς, δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν. Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα, Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου. Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς. Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν. Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου			θάνατος θανατώθηκε καί ἐμεῖς ξαναγυρίσαμε στή ζωή· γι' αὐτό μέ ὕμνους κραυγάζουμε· Ἄς εἶσαι εὐλογημένος, Χριστέ Θεέ μας, πού ἔτσι εὐαρεστήθηκες (θέλησες). Δόξα σ' ἐσένα. ΜΕΓΑΛΗ ΔΟΞΟΛΟΓΙΑ Δόξα σ' ἐσένα, πού δημιούργησες τό φῶς. Δόξα στόν Ὕψιστο Θεό, καί στή γῆ νά ἐπικρατήσει ἡ εἰρήνη, στούς ἀνθρώπους νά ἔλθει ἡ θεία χάρη. Σέ ὑμνοῦμε, σέ εὐλογοῦμε, σέ προσκυνοῦμε, σέ δοξολογοῦμε, σέ εὐχαριστοῦμε γιά τή μεγάλη σου δόξα. Κύριε Βασιλιά ἐπουράνιε Θεέ Πατέρα παντοκράτορα, Κύριε Υἱέ Μονογενές Ἰησοῦ Χριστέ καί Ἅγιο Πνεῦμα. Κύριε Θεέ μου, πού εἶσαι ὁ Ἀμνός (τό θυσιαζόμενο ἀρνί) τοῦ Θεοῦ, ὁ Υἱός τοῦ Πατρός, πού σηκώνεις στούς ὤμους σου τήν ἁμαρτία τοῦ κόσμου, ἐλέησέ μας, Ἐσύ πού σηκώνεις τίς ἁμαρτίες τοῦ κόσμου. Δέξου τήν ἱκεσία μας, Ἐσύ πού κάθεσαι στά δεξιά τοῦ Πατρός, καί ἐλέησέ μας. Διότι Ἐσύ εἶσαι μόνος ἅγιος, Ἐσύ εἶσαι μόνος Κύριος, ὁ Ἰησοῦς Χριστός· (τά ὁμολογοῦμε ὅλα αὐτά) πρός δόξαν τοῦ Θεοῦ Πατρός. Ἀμήν. Κάθε μέρα θά σέ ἐγκωμιάζω, καί θά δοξολογῶ τό ὄνομά σου παντοτεινά καί στόν αἰῶνα τοῦ αἰῶνος. Καταξίωσέ μας, Κύριε, αὐτή τήν ἡμέρα νά φυλαχθοῦμε ἀναμάρτητοι. Εἶσαι ἄξιος νά σέ ὑμνοῦν, Κύριε Θεέ τῶν πατέρων μας, καί εἶναι ἄξιο ἐπαίνου καί δοξασμένο τό ὄνομά σου στούς

εἰς τοὺς αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου (γ'.). Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν, ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι. Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου. Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς. Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε. Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (γ'.). ΤΡΟΠΑΡΙΟΝ Σήμερον σωτηρία τῷ κόσμῳ γέγονεν. Ἄισωμεν τῷ ἀναστᾶντι ἐκ τάφου καὶ ἀρχηγῷ τῆς ζωῆς ἡμῶν· καθελὼν γὰρ τῷ θανάτῳ τὸν θάνατον, τὸ νῖκος ἔδωκεν ἡμῖν, καὶ τὸ μέγα ἔλεος. ΕΚΤΕΝΗΣ (Ὁ Χορός. Κύριε, ἐλέησον). (γ'.). Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον. Ἔτι δεὸμεθα ὑπέρ τῶν εὐσεβῶν καί Ὀρθοδόξων Χριστιανῶν. Ἔτι δεόμεθα ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν			αἰῶνες. Ἀμήν. Ἂς γίνει (ἄς ἔλθει), Κύριε, τό ἔλεός σου σ' ἐμᾶς, ὅπως ἀκριβῶς ἐλπίσαμε σ' σένα. Ἂς εἶσαι δοξασμένος, Κύριε, δίδαξέ με τά δικαιώματά σου. (γ'.). Κύριε, εἶσαι καταφύγιο γιά μᾶς ἀπό γενιά σέ γενιά. Γι' αὐτό καί ἐγώ εἶπα· Κύριε, ἐλέησέ με, θεράπευσε τήν ψηχή μου, διότι σ' ἐσένα ἁμάρτησα. Κύριε, σ' ἐσένα καταφεύγω, δίδαξέ με, νά κάνω τό θέλημά σου, διότι Ἐσύ εἶσαι ὁ Θεός ου. (Ὅλα αὐτά τά ζητοῦμε ἀπό σένα), διότι κοντά σ' ἐσένα ὑπάρχει πηγή ζωῆς· Μέσα στό φῶς σου θά δοῦμε τό ἀληθινό φῶς. Δῶσε παράταση στήν προσφορά τοῦ ἐλέους σου, σ' αὐτούς, οἱ ὁποῖοι σέ ἀναγνωρίζουν. Ἅγιος εἶναι ὁ Θεός Πατέρας, Ἅγιος ἰσχυρός ὁ Υἱός, Ἅγιος ἀθάνατος τό Ἅγιο Πνεῦμα, ἐλέησέ μας. (γ'.). ΤΡΟΠΑΡΙΟ Σήμερα ἔγινε(ἦλθε) σωτηρία στόν κόσμο. Ἂς δοξολογήσουμε τόν ἀναστημένο ἀπό τόν τάφο καί ἀρχηγό τῆς ζωῆς μας· διότι ἀφοῦ κατέστρεψε τόν θάνατό μας μέ τόν θάνατό του, μᾶς ἔδωσε τή νίκη καί τό μέγα ἔλεος. ΕΚΤΕΝΗΣ (Ὁ Ψάλτης ἀπαντᾷ: Κύριε ἐλέησον). (γ'.). Ἐλέησέ μας, Θεέ, σύμφωνα μέ τό μέγα ἔλεός σου, σέ παρακαλοῦμε, ἄκουσέ μας καί ἐλέησέ μας. Ἀκόμη παρακαλοῦμε γιά τούς εὐσεβεῖς καί ὀρθοδόξους χριστιανούς. Ἀκόμη παρακαλοῦμε γιά τόν Ἀρχιεπίσκοπό μας (.....).

(τοῦ δεῖνος). Ἔτι δεόμεθα ὑπέρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος. Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ (πόλει, κώμῃ), ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου. Ἔτι δεόμεθα ὑπέρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τῆς ἁγίας Ἐκκλησίας ταύτης, καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς, κειμένων, καὶ ἁπανταχοῦ ὀρθοδόξων. Ἔτι δεόμεθα ὑπέρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων καὶ ὑπέρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ Σοῦ μέγα καὶ πλούσιον ἔλεος. Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.			Ἀκόμη παρακαλοῦμε γιά τούς ἀδελφούς μας, τούς ἱερεῖς, τούς ἱερομονάχους, τούς ἱεροδιακόνους καί τούς μοναχούς, καί γιά ὅλη τή χριστιανική μας ἀδελφότητα. Ἀκόμη παρακαλοῦμε γιά ἔλεος, ζωή, εἰρήνη, ὑγεία, σωτηρία, προστασία, συγχώρηση καί ἄφεση (ἀπαλλαγή) ἀπό τὶς ἁμαρτίες τῶν δούλων τοῦ Θεοῦ, ὅλων τῶν εὐσεβῶν καί ὀρθοδόξων χριστιανῶν, οἱ ὁποῖοι κατοικοῦν μόνιμα καί προσωρινά στήν πόλη αὐτή, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καί δωρητῶν τῆς ἁγίας αὐτῆς Ἐκκλησίας. Ἀκόμη παρακαλοῦμε γιά τούς μακαρίους καί ἀξιεπαίνους κτίτορες (τούς ἱδρυτές) τοῦ ἁγίου αὐτοῦ ναοῦ, καί γιά ὅλους τούς πατέρες καί ἀδελφούς μας, πού ἀναπαύθηκαν στό παρελθόν, γιά ὅσους εἶναι εὐλαβικά θαμμένοι ἐδῶ, καί γιά τούς ὀρθοδόξους πού εἶναι θαμμένοι παντοῦ. Ἀκόμη παρακαλοῦμε γιά ὅσους προσφέρουν καρπούς (δῶρα) καί κάνουν καλά ἔργα στόν ἅγιο καί πανσέβαστο αὐτό ναό, γι' αὐτούς πού κοπιάζουν καί ψάλλουν, καί γιά τόν λαό, πού μᾶς περιστοιχίζει, καί περιμένει μέ ἐλπίδα καί πόθο τό μέγα καί πλούσιο ἔλεος, πού προσφέρεται ἐκ μέρους σου. Διότι εἶσαι ἐλεήμων καί φιλάνθρωπος Θεός, καί γι' αὐτό σ' ἐσένα ἀναπέμπουμε (προσφέρουμε ταπεινά) τή δόξα, στόν Πατέρα καί στόν Υἱό καί στό Ἅγιο Πνεῦμα, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΠΛΗΡΩΤΙΚΑ Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ. Κύριε, ἐλέησον. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι. Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρά τοῦ Κυρίου, αἰτησώμεθα. Ὁ Χορός: Παράσχου, Κύριε. Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα. Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καί τῶν πλημμελημάτων ἡμῶν παρά τοῦ Κυρίου αἰτησώμεθα. Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρά τοῦ Κυρίου αἰτησώμεθα. Τὸν ὑπόλοιπον χρόνον της ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρά τοῦ Κυρίου αἰτησώμεθα. Χριστιανὰ τὰ τέλη της ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα. Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα. Σοί, Κύριε.			ΠΛΗΡΩΤΙΚΑ Ἂς συμπληρώσουμε τήν πρωϊνή δέησή μας στόν Κύριο. Κύριε, ἐλέησον. Βοήθησέ μας, σῶσε μας, ἐλέησέ μας καί διαφύλαξέ μας, Θεέ μας, μέ τή χάρη σου. Τήν κάθε ἡμέρα νά τή ζητήσουμε ἀπό τόν Θεό τελεία, ἁγία, εἰρηνική καί ἀναμάρτητη. Ὁ Ψάλτης: Δός μας αὐτό πού ζητοῦμε, Κύριε. Ἄγγελο εἰρήνης πιστόν ὁδηγό, φύλακα τῶν ψυχῶν καί τῶν σωμάτων μας, ἄς ζητήσουμε ἀπό τόν Κύριο. Συγνώμη καί συγχώρηση τῶν ἁμαρτιῶν καί τῶν παραλείψεών μας, ἄς ζητήσουμε ἀπό τόν Κύριο. Τά καλά καί πνευματικά συμφέροντα γιά τίς ψυχές μας, καί εἰρήνη γιά τόν κόσμο, ἄς ζητήσουμε ἀπό τόν Κύριο. Τόν ὑπόλοιπο χρόνο τῆς ζωῆς μας μέ εἰρήνη καί μετάνοια νά ἐκπληρώσουμε, ἄς ζητήσουμε ἀπό τόν Κύριο. Χριστιανά τά τέλη τῆς ζωῆς μας, χωρίς πόνους, χωρίς ἐξευτελισμό, εἰρηνικά, καί καλήν ἀπολογία μπροστά στό φοβερό δικαστικό βῆμα τοῦ Χριστοῦ, ἄς ζητήσουμε ἀπό τόν Κύριο. Ἀφοῦ μνημονεύσουμε τήν Παναγία, ἀμόλυντη, ὑπερευλογημένη, ἔνδοξη Κυρία μας, τή Θεοτόκο, καί παντοτεινή Παρθένο Μαρία, μαζί μέ ὅλους τούς ἁγίους, ἄς ἐμπιστευθοῦμε τούς ἑαυτούς μας, καί ὁ καθένας μας ὅλους τούς ἄλλους, καί ὁλόκληρη τή ζωή μας, στόν Χριστό, τόν Θεό μας. Σ’ ἐσένα, Κύριε.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμὴν. ΚΕΦΑΛΟΚΛΙΣΊΑ Εἰρήνη πᾶσι. Καὶ τῷ Πνεύματί σου. Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνωμεν. Σοὶ Κύριε. ΕΥΧΗ . (Μυστικῶς). Ἐκφώνησις. Σὸν γὰρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς, ὁ Θεὸς ἡμῶν, καὶ Σοὶ τὴν ὀξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. (Ἐν ταῖς καθημεριναῖς). ΜΙΚΡΑ ΔΟΞΟΛΟΓΙΑ. Ἀντί τῆς μεγάλης. (Χύμα). Σοὶ δόξα πρέπει, Κύριε, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία. Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν. Κύριε Βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ Παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.			Διότι εἶσαι Θεός ἀγαθός, καί φιλάνθρωπος, καί σ' ἐσένα ἀναπέμπουμε τή δόξα, στόν Πατέρα καί στόν Υἱό καί στό Ἅγιο Πνεῦμα, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Εἴθε νά γίνει. ΚΕΦΑΛΟΚΛΙΣΊΑ Εἰρήνη ἄς εἶναι σέ ὅλους. Καί στό πνεῦμα σου. Ἂς ὑποκλίνουμε τὰ κεφάλια μας στόν Κύριο. Σ' ἐσένα, Κύριε. ΕΥΧΗ . (Μυστικά). Ἐκφώνηση. Διότι εἶναι δικό σου τό νά μᾶς ἐλεεῖς καί νά μᾶς σώζεις, Θεέ μας, καί σ' ἐσένα ἀναπέμπουμε (προσφέρουμε) τή δόξα, στόν Πατέρα καί στόν Υἱό καί στό Ἅγιο Πνεῦμα, καί τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν. (Κατά τίς καθημερινές). ΜΙΚΡΉ ΔΟΞΟΛΟΓΙΑ Ἀντί τῆς μεγάλης. (Χύμα). Σ' ἐσένα πρέπει δόξα, Κύριε καί Θεέ μας, καί σ' ἐσένα προσφέρουμε τή δόξα, στόν Πατέρα καί στόν Υἱό καί στό Ἅγιο Πνεῦμα, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν. Δόξα στόν Ὕψιστο Θεό, καί στή γῆ νά ἐπικρατήσει ἡ εἰρήνη, στούς ἀνθρώπους νά ἔλθει ἡ θεία χάρη. Σέ ὑμνοῦμε, σέ εὐλογοῦμε, σέ προσκυνοῦμε, σέ δοξολογοῦμε, σέ εὐχαριστοῦμε γιά τή μεγάλη σου δόξα. Κύριε Βασιλιά, ἐπουράνιε Θεέ, Πατέρα Παντοκράτορα, Κύριε Υἱέ Μονογενές, Ἰησοῦ Χριστέ καί Ἅγιο Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱός τοῦ Πατρός, ὁ αἴρων τήν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τίς ἁμαρτίες τοῦ κόσμου. Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς. Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν. Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι. Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου. Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς. Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε. Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά			Κύριε καί Θεέ μας πού εἶσαι τό ἀρνί τοῦ Θεοῦ, ὁ Υἱός τοῦ Πατρός, πού σηκώνεις στούς ὤμους σου τήν ἁμαρτία τοῦ κόσμου, ἐλέησέ μας, Ἐσύ πού σηκώνεις τίς ἁμαρτίες τοῦ κόσμου. Δέξου τήν ἱκεσία μας Ἐσύ πού κάθεσαι στά δεξιά τοῦ Πατρός καί ἐλέησέ μας. Διότι Ἐσύ εἶσαι μόνος ἅγιος. Ἐσύ εἶσαι μόνος Κύριος, ὁ Ἰησοῦς Χριστός· (τά ὁμολογοῦμε ὅλα αὐτά) πρός δόξαν τοῦ Θεοῦ Πατέρα. Ἀμήν. Κάθε μέρα θά σέ ὑμνῶ, καί θά δοξολογῶ τό ὄνομά σου παντοτεινά καί στόν αἰῶνα τοῦ αἰῶνος. Κύριε, ἔγινες καταφύγιο γιά μᾶς ἀπό γενιά σέ γενιά. Γι' αὐτό κι ἐγώ λέγω· Κύριε, ἐλέησέ με, θεράπευσε τήν ψυχή μου πού ἀσθενεῖ, γιατί ἁμάρτησα ἀπέναντί σου. Κύριε, σ' ἐσένα καταφεύγω. Δίδαξέ με, νά κάνω τό θέλημά σου, διότι Ἐσύ εἶσαι ὁ Θεός μου. Διότι κοντά σ' ἐσένα ὑπάρχει πηγή ζωῆς. Μέ τό δικό σου φωτισμό θά δοῦμε τό πνευματικό φῶς. Δῶσε παράταση στήν προσφορά τοῦ ἐλέους σου, σ' αὐτούς πού σέ ἀναγνωρίζουν. Καταξίωσέ μας, Κύριε, αὐτή τήν ἡμέρα νά φυλαχθοῦμε ἀναμάρτητοι. Εἶσαι ἄξιος νά σέ ὑμνοῦν, Κύριε, Θεέ τῶν πατέρων μας, καί εἶναι ἀξιέπαινο καί δοξασμένο τό ὄνομά σου στούς αἰῶνες. Ἀμήν. Ἂς γίνει, Κύριε, τό ἔλεός σου σ' ἐμᾶς, ὅπως ἀκριβῶς ἐλπίζουμε σ' ἐσένα. Ἂς εἶσαι δοξασμένος, Κύριε, δίδαξέ με τά δικαιώματά

σου. Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. Σοὶ πρέπει αἶνος, Σοὶ πρέπει ὕμνος, Σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. ΑΠΟΣΤΙΧΑ (Ἐν ταῖς καθημεριναῖς). (Τῆς Παρακλητικῆς ἢ τῆς ἑορτῆς). Στίχ. α'. Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου, Κύριε, καὶ ἠγαλλιασάμεθα καὶ ηὐφράνθημεν ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν. Εὐφρανθείημεν, ἀνθ' ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν, ὧν εἴδομν κακά, καὶ ἴδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν. Στίχ. β'. Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ' ἡμᾶς, καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον. Δόξα... Καὶ νῦν... Θεοτοκίον. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε, τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν			σου. Ἂς εἶσαι δοξασμένος, Δέσποτα, δός μου σύνεση μέ τά δικαιώματά σου. Ἂς εἶσαι δοξασμένος, Ἅγιε, φώτισέ με μέ τά δικαιώματά σου. Κύριε, τό ἔλεός σου εἶναι αἰώνιο. Μή παραβλέψεις ἐμᾶς, πού εἴμαστε ἔργα τῶν χεριῶν σου. Σ' ἐσένα πρέπει ἔπαινος, σ' ἐσένα πρέπει ὕμνος, σ' ἐσένα πρέπει δόξα, στόν Πατέρα καί στόν Υἱό καί στό Ἅγιο Πνεῦμα, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων.Ἀμήν. ΑΠΟΣΤΙΧΑ (Ἂν εἶναι καθημερινή). (Τῆς Παρακλητικῆς ἤ τῆς ἑορτῆς) Στίχ. α'. Εὐαρεστήθηκες να γεμίσουμε γρήγορα, Κύριε, ἀπό τό ἔλεός σου. Ἂς σκιρτήσουμε ἀπό χαρά καί ἀγαλλίαση ὅλες τίς ἡμέρες τῆς ζωῆς μας. Εἴθε να εὐφρανθοῦμε γιά ἐκεῖνες τίς ἡμέρες πού μᾶς ταπείνωσες, γιά τά ἔτη πού δοκιμάσαμε θλίψεις· Κοίταξε μέ συμπάθεια τούς δούλους σου τούς Ἰσραηλῖτες· Δές τά ἔργα σου πού ἔκανες γι' αὐτούς, καί ὁδήγησε τούς ἀπογόνους τοῦ Ἰακώβ σέ δρόμους σωτηρίας. Στίχ. β'. Καί ἄς εἶναι ἡ λαμπρή συμπάθειά σοῦ, τοῦ Κυρίου καί Θεοῦ μας ἐπάνω μας, καί τά ἔργα τῶν χεριῶν μας κατευόδωσέ τα γιά τό καλό μας, καί τήν ἐργασία τῶν χεριῶν μας κατευόδωσέ την. Δόξα… Καί νῦν… Θεοτοκίο. Εἶναι ὡραῖο νά δοξολογοῦμε τόν Κύριο καί νά ψάλλουμε πρός τιμήν τοῦ ὀνόματός σου, Ὕψιστε, νά ἀναγγέλλουμε τό πρωί τό ἔλεός σου καί τήν ἀλήθειά σου κάθε νύχτα.

ἀλήθειάν σου κατὰ νύκτα. ΤΡΙΣΑΓΙΟΝ. (Σελ. 15-16). Τὸ Ἀπολυτίκιον τῆς ἡμέρας. ΑΠΟΛΥΣΙΣ. (Σελ. 16-17). ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ ΤΥΠΙΚΑ ΨΑΛΜΟΣ ΡΒ'. (102). «Εὐλόγει ἡ ψυχή μου... ». (Σελ. 25-26). Δόξα τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι. ΨΑΛΜΟΣ ΡΜΕ'. (145). Αἴνει ἡ ψυχή μου τόν Κύριον, αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. Μὴ πεποίθατε ἐπ᾽ ἄρχοντας, ἐπὶ υἱοὺς ἀνθρώπων, οἷς οὐκ ἔστι σωτηρία. Ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ· Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτοῦ. Μακάριος οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ. Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς· Τὸν φυλάσσοντα ἀλήθειαν εἰς τὸν αἰῶνα, ποιοῦντα κρῖμα τοῖς ἀδικουμένοις, διδόντα τροφὴν τοῖς πεινῶσι. Κύριος λύει πεπεδημένους, Κύριος σοφοῖ			ΤΡΙΣΑΓΙΟ. (Σελ. 15-16). Τὸ Ἀπολυτίκιο τῆς ἡμέρας. ΑΠΟΛΥΣΗ. (Σελ. 16-17). ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ ΤΥΠΙΚΑ ΨΑΛΜΟΣ ΡΒ'. (102). «Εὐλόγει ἡ ψυχή μου... ». (Σελ. 25-26). Δόξα στόν Πατέρα καί στόν Υἱό καί στό Ἅγιο Πνεῦμα. ΨΑΛΜΟΣ ΡΜΕ'. (145). Δοξολόγει, ψυχή μου, τόν Κύριο· Θά δοξολογῶ τόν Κύριο σέ ὅλη τή ζωή μου, θά ψάλλω στόν Θεό μου, ὅσο θά ὑπάρχω. Μή στηρίζετε τήν ἐλπίδα καί τήν πεποίθησή σας σέ ἄρχοντες τῆς γῆς, σέ θνητούς ἀνθρώπους, κοντά στούς ὁποίους δέν ὑπάρχει σωτηρία. Θά φύγει ἡ ψυχή τοῦ καθενός ἀπ' αὐτούς καί θά ἐπιστρέψει στή γῆ τό σῶμα του. Ἐκείνη τήν ἡμέρα τοῦ θανάτου του θά χαθοῦν ὅλες οἱ σκέψεις καί τά σχέδιά του. Εἶναι μακάριος αὐτός, τοῦ ὁποίου εἶναι βοηθός ὁ Θεός τοῦ Ἰακώβ, καί ὁ ὁποῖος στηρίζει τήν ἐλπίδα του στόν Κύριο, τόν Θεό του. Αὐτόν πού ἔκανε τόν οὐρανό καί τή γῆ, τή θάλασσα καί ὅλα ὅσα ὑπάρχουν σ' αὐτά. Αὐτόν πού τηρεῖ τίς ὑποσχέσεις του αἰώνια, πού ἀποδίδει δικαιοσύνη στούς ἀδικουμένους, πού δίνει τροφή στούς πεινασμένους. Ὁ Κύριος λύνει τούς ἁλυσοδεμένους αἰχμαλώτους· Ὁ

τυφλούς, Κύριος ἀνορθοῖ κατερραγμένους, Κύριος ἀγαπᾷ δικαίους, Κύριος φυλάσσει τοὺς προσηλύτους· Ὀρφανὸν καὶ χήραν ἀναλήψεται καὶ ὁδὸν ἁμαρτωλῶν ἀφανιεῖ. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν. Καί νῦν … Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος, διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θανατον πατήσας, Εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς. ΟΙ ΜΑΚΑΡΙΣΜΟΙ Ἐν τῇ βασιλείᾳ σου μνήσθητι ἡμῶν, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. Μακάριοι οἱ Πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστίν ἡ βασιλεία τῶν οὐρανῶν. Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν. Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται. Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ			Κύριος φωτίζει καί δίνει σοφία στούς τυφλούς· ὁ Κύριος ὑψώνει τούς συντετριμμένους (καί πεσμένους κάτω)· ὁ Κύριος ἀγαπᾷ τούς δικαίους· ὁ Κύριος προστατεύει τούς προσηλύτους (τούς ξένους πού δέν εἶχαν δικαιώματα). Ἀναλαμβάνει ὑπό τήν προστασία του τόν ὀρφανό καί τή χήρα, καί ἀφανίζει τήν πορεία (τά σχέδια) τῶν ἁμαρτωλῶν. Θά βασιλεύει ὁ Κύριος αἰώνια, ὁ Θεός σου, Σιών, ἀπό γενιά σέ γενιά. Καί νῦν… Ὁ Μονογενής Υἱός καί Λόγος τοῦ Θεοῦ, πού, μολονότι εἶσαι ἀθάνατος, καταδέχθηκες γιά τή δική μας σωτηρία, νά λάβεις σάρκα ἀπό τήν Ἁγία Θεοτόκο καί Ἀειπάρθενο Μαρία, καί ἔγινες ἄνθρωπος χωρίς ἀλλοίωση, καί σταυρώθηκες, Χριστέ Θεέ μας, ἀφοῦ πάτησες τό θάνατο μέ τό δικό σου θάνατο, ἐνῷ ἦσουν ἕνας ἀπό τήν Ἁγία Τριάδα, πού δοξάζεσαι μαζί μέ τόν Πατέρα καί τό Ἅγιο Πνεῦμα, σῶσε μας. ΜΑΚΑΡΙΣΜΟΙ Στή Βασιλεία σου θυμήσου μας, Κύριε, ὅταν ἔλθεις στή Βασιλεία σου. Μακάριοι (πανευτυχεῖς) εἶναι οἱ ταπεινόφρονες, διότι δική τους εἶναι ἡ Βασιλεία τῶν οὐρανῶν. Μακάριοι εἶναι αὐτοί πού πενθοῦν, διότι αὐτοί θά παρηγορηθοῦν. Μακάριοι εἶναι οἱ πρᾶοι (οἱ ἤρεμοι), διότι αὐτοί θά κληρονομήσουν τή γῆ. Μακάριοι εἶναι αὐτοί πού πεινοῦν καί διψοῦν τή δικαιοσύνη, διότι θά χορτάσουν (θά ἱκανοποιηθεῖ ἡ ἐπιθυμία τους). Μακάριοι εἶναι οἱ ἐλεήμονες, διότι αὐτοί θά ἐλεηθοῦν.

ἐλεηθήσονται. Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται. Μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται. Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς, καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν, ψευδόμενοι ἕνεκεν ἐμοῦ. Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. Δόξα …. Καί νῦν … ΑΝΤΙΦΩΝΑ. (Κυριακῶν, καί ἑορταζομένων Ἁγίων). 1. Σήμερον παρά τό Τυπικόν εἰς τινας ἑνορίας ψάλλονται στίχοι ἐκ τῶν ψαλμῶν τῶν Τυπικῶν ὡς ἑξῆς: (Ἐπισήμως ἀναγράφονται εἰς τά Δίπτυχα). Ἀντίφωνον Α'. Στίχ. α'. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ. Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς. Στίχ. β'. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ. Στίχ. γ'. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει. Ἀντίφωνον Β'.			Μακάριοι εἶναι οἱ καθαροί στήν καρδιά, διότι αὐτοί θά δοῦν τόν Θεό. Μακάριοι εἶναι οἱ εἰρηνοποιοί, διότι αὐτοί θά ἀνακηρυχθοῦν υἱοί τοῦ Θεοῦ. Μακάριοι εἶναι ὅσοι ὑπέστησαν διωγμούς γιά χάρη τῆς δικαιοσύνης, διότι σ' αὐτούς ἀνήκει ἡ Βασιλεία τῶν οὐρανῶν. Μακάριοι εἶσθε, ὅταν σᾶς κακολογήσουν, καί σᾶς κατα-διώξουν, γιά χάρη μου καί ποῦν κάθε συκοφαντικό λόγο ἐναντίον σας λέγοντας ψέματα. Νά αἰσθάνεσθε χαρά καί ἀγαλλίαση, διότι ὁ μισθός σας θά εἶναι πολύς στούς οὐρανούς. Δόξα … Καί νῦν… ΑΝΤΙΦΩΝΑ (Τῶν Κυριακῶν, καί τῶν ἐπίσημα ἑορταζομένων Ἁγίων). 1. Σήμερα παρά τό Τυπικό σέ πολλές ἑνορίες ψάλλονται στίχοι ἀπό τούς ψαλμούς τῶν Τυπικῶν ὡς ἑξῆς: Ἀντίφωνο Α'. Στίχ. α'. Δόξαζε, ψυχή μου, τόν Κύριο, καί ὅλος ὁ ἐσωτερικός μου κόσμος τό ἅγιο ὄνομά του. Στίχ. Μέ τίς πρεσβεῖες τῆς Θεοτόκου, Σωτήρα, σῶσε μας. Στίχ. β'. Δόξαζε, ψυχή μου, τόν Κύριο, καί μή λησμονεῖς ὅλες τίς εὐεργεσίες του. Στίχ. γ'. Ὁ Κύριος ἔχει ἕτοιμο τό θρόνο του ψηλά στόν οὐρανό, καί ἡ Βασιλεία του κυριαρχεῖ σέ ὁλόκληρο τό σύ-μπαν. Ἀντίφωνο Β'.

Στίχ. α'. Αἴνει, ἡ ψυχή μου, τὸν Κύριον· αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. Σῶσον ἡμᾶς, Υἱέ Θεοῦ, ὁ ἀναστάς ἐκ νεκρῶν (ὁ ἐν Ἁγίοις θαυμαστός) ψάλλοντάς σοι Ἀλληλούια. Στίχ. β'. Μακάριος οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ. Στίχ. γ'. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν. Δόξα... Καί νῦν... Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος, διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, Εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς. Ἀντίφωνον Γ'. Τό Ἀπολυτίκιον. (Τοῦ ἤχου ἤ τοῦ Ἁγίου). 2. Τά ἀρχαῖα Ἀντίφωνα. Κατά τό Μέγα Τυπικόν. Ἀντίφωνον Α'. Στίχ. α'. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε. Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.			Στίχ. α'. Δοξολόγει, ψυχή μου, τόν Κύριο, θά δοξολογῶ τόν Κύριο στή ζωή μου, θά ψάλλω στόν Θεό μου, ὅσο ὑπάρχω. Σῶσε μας, Υἱέ Θεοῦ, Ἐσύ πού ἀναστήθηκες ἀπό τούς νεκρούς (πού εἶσαι ἀξιοθαύμαστος ἀνάμεσα στούς ἁγίους), ἐμᾶς πού σοῦ ψάλλουμε: Ἀλληλούια. Στίχ. β'. Εἶναι μακάριος αὐτός πού ὁ Θεός τοῦ Ἰακώβ εἶναι βοηθός του, καί ἡ ἐλπίδα του στηρίζεται ἐπάνω στόν Κύριο τόν Θεό του. Στίχ. γ'. Θά Βασιλεύει ὁ Κύριος αἰώνια, ὁ Θεός σου, Ἰερουσαλήμ, ἀπό γενιά σέ γενιά. Δόξα... Καί νῦν... Ἐσύ ὁ Μονογενής Υἱός καί Λόγος τοῦ Θεοῦ, πού, μολονότι εἶσαι ἀθάνατος, καταδέχθηκες γιά τή δική μας σωτηρία, νά λάβεις σάρκα ἀπό τήν Ἁγία Θεοτόκο καί Ἀειπάρθενο Μαρία, καί ἔγινες ἄνθρωπος χωρίς ἀλλοίωση, καί σταυρώθηκες, Χριστέ Θεέ μας, ἀφοῦ πάτησες τό θάνατο μέ τό δικό σου θάνατο, ἐνῶ ἤσουν ἕνας ἀπό τήν Ἁγία Τριάδα, πού δοξάζεσαι μαζί μέ τόν Πατέρα καί τό Ἅγιο Πνεῦμα, σῶσε μας. Ἀντίφωνο Γ'. Τό Ἀπολυτίκιο.(Τοῦ ἤχου τῆς ἑβδομάδας ἤ τοῦ Ἁγίου). 2. Τά ἀρχαῖα Ἀντίφωνα. Κατά τό Μεγάλο Τυπικό. Ἀντίφωνο Α'. Στίχ. α'. Εἶναι ὡραῖο νά ὑμνοῦμε τόν Κύριο, καί νά ψάλλουμε πρός τιμήν τοῦ ὀνόματός σου, Ὕψιστε. Μέ τίς πρεσβεῖες τῆς Θεοτόκου, Σωτήρα, σῶσε μας.

Στίχ. β'. Τοῦ ἀναγγέλλειν τὸ πρωΐ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. Στίχ. γ'. Ὅτι εὐθύς Κύριος ὁ Θεός ἡμῶν, καί οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. Δόξα... Καί νῦν... Ἀντίφωνον Β'. Στίχ. α'. Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. Πρεσβείαις τῶν Ἁγίων σου σῶσον ἡμᾶς, Κύριε. Στίχ. β'. Ἐνεδύσατο Κύριος δύναμιν, καὶ περιεζώσατο. Στίχ. γ'. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. Στίχ. δ'. Τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν. Δόξα Πατρί... Καί νῦν καί ἀεί... Ἀντίφωνον Γ'. Στίχ. α'. Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ Σωτῆρι ἡμῶν. Σῶσον ἡμᾶς, Υἱέ Θεοῦ, ὁ ἀναστάς ἐκ νεκρῶν (ὁ ἐν ἁγίοις θαυμαστός) ψάλλοντάς σοι, Ἀλληλούια. Στίχ. β'. Προφθάσωμεν τό πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, καί ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ· Στίχ. γ'. Ὅτι Θεός μέγας Κύριος, καί Βασιλεύς μέγας ἐπί πᾶσαν τήν γῆν. Στίχ. δ'. Ὅτι ἐν τῇ χειρί αὐτοῦ τά πέρατα τῆς γῆς, καί τά ὕψη τῶν ὀρέων αὐτοῦ εἰσίν· Ὅτι αὐτοῦ ἐστίν ἡ θάλασσα, καί αὐτός ἐποίησεν αὐτήν καί			. β'. Νά ἀναγγέλλουμε τό πρωΐ τό ἔλεός σου καί τήν ἀλήθειά σου κάθε νύχτα. Στίχ. γ'. Διότι ὁ Κύριος εἶναι εὐθύς, δίκαιος, καί δέν ὑπάρχει σ' αὐτόν ἀδικία. Δόξα... Καί νῦν... Ἀντίφωνο Β'. Στίχ. α'. Ὁ Κύριος εἶναι Βασιλιάς, εἶναι ντυμένος μέ μεγαλοπρέπεια. Μέ τίς πρεσβεῖες τῶν Ἁγίων σου σῶσε μας, Κύριε. Στίχ. β '. Ὁ Κύριος εἶναι ντυμένος καί ζωσμένος μέ δύναμη. Στίχ. γ'. Ἄλλωστε στερέωσε τήν οἰκουμένη καί δέν πρόκειται αὐτή νά σαλευθεῖ. Στίχ. δ'. Στό Ναό σου ἁρμόζει ἡ ἁγιότητα, Κύριε, γιά ὁλόκληρη τήν αἰωνιότητα. Δόξα Πατρί... Καί νῦν καί ἀεί... Ἀντίφωνο Γ'. Στίχ. α' . Ἐλᾶτε, ἄς γεμίσει ἡ καρδιά μας ἀπό ἀγαλλίαση γιά τόν Κύριο, ἄς ἀλαλάξουμε γιά τόν Θεό τό Σωτήρα μας. Σῶσε μας, Υἱέ τοῦ Θεοῦ, Ἐσύ πού ἀναστήθηκες ἀπό τους νεκρούς (πού εἶσαι ἄξιος θαυμασμοῦ ἀνάμεσα στούς ἁγίους), καθώς σοῦ ψάλλουμε τό Ἀλληλούια. Στίχ. β'. Χωρίς καθυστέρηση ἄς τρέξουμε κοντά του μέ δοξολογία, καί ἄς ἀλαλάξουμε γι' αὐτόν μέ ψαλμούς. Στίχ. γ'. Διότι εἶναι Θεός μέγας ὁ Κύριος καί μεγάλος Βασιλιάς σέ ὁλόκληρη τή γῆ. Στίχ. δ'. Διότι στά χέρια του βρίσκονται τά πέρατα τῆς γῆς, καί τά ὕψη τῶν ὀρέων εἶναι δικά του. Δική του εἶναι ἡ θάλασσα, διότι αὐτός τήν ἔκανε, καί τήν ξηρά τήν κατεσκεύ-

τήν ξηράν αἱ χεῖρες αὐτοῦ ἔπλασαν. ΕΙΣΟΔΙΚΟΝ Δεῦτε προσκυνήσωμεν καί προσπέσωμεν Χριστῷ. ΑΝΑΓΝΩΣΜΑΤΑ ΚΑΤΑΒΑΣΙΑΙ ΤΟΥ ΕΝΙΑΥΤΟΥ ΤΗΣ ΥΨΩΣΕΩΣΤΟΥ Τ. ΣΤΑΥΡΟΥ ΩιΔΗ Α΄. Σταυρὸν χαράξας Μωσῆς, ἐπ'εὐθείας ῥάβδῳ, τὴν Ἐρυθρὰν διέτεμε, τῷ Ἰσραὴλ πεζεύσαντι· τὴν δὲ ἐπιστρεπτικῶς, Φαραὼ τοῖς ἅρμασι, κροτήσας ἥνωσεν, ἐπ' εὔρους διαγράψας, τὸ ἀήττητον ὅπλον· διὸ Χριστῷ ᾄσωμεν, τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται. ΩιΔΗ Γ΄. Ῥάβδος εἰς τύπον, τοῦ μυστηρίου, παραλαμβάνεται· τῷ βλαστῷ γὰρ προκρίνει τὸν ἱερέα· τῇ στειρευούσῃ δὲ πρώην, Ἐκκλησίᾳ νῦν ἐξήνθησε, ξύλον Σταυροῦ, εἰς κράτος καὶ στερέωμα. ΩιΔΗ Δ'. Εἰσακήκοα Κύριε, τῆς οἰκονομίας Σου τὸ μυστήριον, κατενόησα τὰ ἔργα Σου, καὶ ἐδόξασά Σου τὴν Θεότητα. ΩιΔΗ Ε'.			ασαν τά χέρια του. ΕΙΣΟΔΙΚΟ Ἐλᾶτε, ἄς προσκυνήσουμε καί ἄς προσπέσουμε στόν Χριστό. ΑΝΑΓΝΩΣΜΑΤΑ. ΚΑΤΑΒΑΣΙΕΣ ΟΛΟΥ ΤΟΥ ΕΤΟΥΣ ΤΗΣ ΥΨΩΣΕΩΣ ΤΟΥ ΤΙΜΙΟΥ ΣΤΑΥΡΟΥ ΩιΔΗ Α΄. Χάραξε Σταυρό ὁ Μωυσῆς μέ τή ράβδο του κατ' εὐθεῖαν ἐμπρός (κάθετα), καί ἔκοψε στά δύο τήν Ἐρυθρά θάλασσα πρός χάριν τῶν Ἰσραηλιτῶν, πού τήν πέρασαν πεζοί. Καί γιά νά ἐπιστρέψει, τήν χτύπησε (μέ τήν ἴδια ράβδο), καί τήν ἔνωσε, γιά νά καταποντισθοῦν τά ἅρματα τοῦ Φαραώ, διαγράφοντας ἔτσι κατά πλάτος τό ἀνίκητο ὅπλο, τόν Σταυρό· Γι' αὐτό ἄς ψάλουμε στόν Χριστό, τόν Θεό μας, διότι εἶναι δοξσμένος. ΩιΔΗ Γ'. Ἡ ράβδος (τοῦ Ἀαρών) παραλαμβάνεται ὡς προτύπωση τοῦ μυστηρίου τοῦ Σταυροῦ, διότι μέ τή βλάστησή της ἐκλέγει τόν Ἀρχιερέα· Καί στήν Ἐκκλησία τῶν ἐθνῶν, πού ἦταν πρίν στεῖρα, ἐβλάστησε τό ξύλο τοῦ Σταυροῦ, γιά νά εἶναι δύναμη καί στήριγμα. ΩιΔΗ Δ'. Ἄκουσα μέσα μου, Κύριε, τό μυστήριο τῆς θεϊκῆς οἰκονομίας σου γιά τή σωτηρία μας· Κατανόησα τά ἔργα σου, καί δόξασα τή Θεότητά σου. ΩιΔΗ Ε'.

Ὢ τρισμακάριστον Ξύλον! ἐν ᾧ ἐτάθη Χριστός, ὁ Βασιλεὺς καὶ Κύριος· δι' οὗ πέπτωκεν ὁ ξύλῳ ἀπατήσας, τῷ ἐν σοὶ δελεασθείς, Θεῷ τῷ προσπαγέντι σαρκί, τῷ παρέχοντι, τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.			Ὢ τρισμακάριστο ξύλο, στό ὁποῖο ἁπλώθηκε ὁ Χριστός, ὁ Βασιλιάς καί Κύριος· Μ' ἐσένα ἔπεσε, αὐτός πού ἐξαπάτησε (τόν ἄνθρωπο), ξεγελασμένος τόν ἀπό δόλωμα, ἀπό τόν Θεό, ὁ ὁποῖος καρφώθηκε σ' ἐσένα σωματικά, καί παρέχει τήν εἰρήνη στίς ψυχές μας.
ΩιΔΗ ΣΤ'.			ΩιΔΗ ΣΤ'.
Νοτίου θηρὸς ἐν σπλάγχνοις, παλάμας Ἰωνᾶς, σταυροειδῶς διεκπετάσας, τὸ σωτήριον πάθος, προδιετύπου σαφῶς· ὅθεν τριήμερος ἐκδύς, τὴν ὑπερκόσμιον Ἀνάστασιν, ὑπεζωγράφησε, τοῦ σαρκὶ προσπαγέντος Χριστοῦ τοῦ Θεοῦ, καὶ τριημέρῳ ἐγέρσει, τὸν κόσμον φωτίσαντος.			Στά σπλάχνα τοῦ θαλάσσιου θηρίου ὁ Ἰωνᾶς ἁπλώνοντας τίς παλάμες σταυροειδῶς προδιατύπωσε μέ σαφήνεια τό σωτηριῶδες πάθος τοῦ Χριστοῦ· Ἀπό ὅπου, ἀναδύθηκε τριήμερος, καίπροεικόνισε τήν ὑπερφυσική Ἀνάσταση τοῦ Χριστοῦ τοῦ Θεοῦ, ὁ ὁποῖος καρφώθηκε στό Σαυρό σωματικά, καί μέ τήν τριήμερη Ἀνάστασή του φώτισε τόν κόσμο.
Ὠιδὴ Ζ'.			ΩιΔΗ Ζ'.
Ἔκνοον πρόσταγμα τυράννου δυσσεβοῦς, λαοὺς ἐκλόνησε, πνέον ἀπειλῆς, καὶ δυσφημίας θεοστυγοῦς· ὅμως Τρεῖς Παῖδας, οὐκ ἐδειμάτωσε, θυμὸς θηριώδης, οὐ πῦρ βρόμιον· ἀλλ' ἀντηχοῦντι, δροσοβόλῳ πνεύματι, πυρὶ συνόντες ἔψαλλον· Ὁ ὑπερύμνητος, τῶν πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.			Τό παράλογο πρόσταγμα τοῦ ἀσεβοῦς τυράννου συγκλόνισε τούς λαούς, ἀποπνέοντας ἀπειλή καί βλασφημία θεομίσητη. Ὅμως τούς τρεῖς νέους δέν τούς τρομοκράτησε οὔτε θυμός θηριώδης οὔτε φωτιά θορυβώδης (ἄγρια)· Ἀλλά εὑρισκόμενοι μέσα στή φωτιά μαζί μέ τόν ἀέρα, πού δρόσιζε καί πού ἀντιστεκόταν (στόν ἄγριο ἦχο τῆς φωτιᾶς), ἔψαλλαν· Ὁ ὑπερύμνητος τῶν πατέρων καί δικός μας Θεός, εἶσαι δοξασμένος.
ΩιΔΗ Η'.			ΩιΔΗ Η'.
Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.			Ὑμνοῦμε, δοξολογοῦμε καί προσκυνοῦμε τόν Κύριο.
Εὐλογεῖτε Παῖδες, τῆς Τριάδος ἰσάριθμοι, δημιουργὸν Πατέρα Θεόν· ὑμνεῖτε, τὸν συγκαταβάντα Λόγον, καὶ τὸ πῦρ εἰς δρόσον μεταποιήσαντα· καὶ ὑπερυψοῦτε, τὸ πᾶσι ζωὴν παρέχον,			Δοξολογεῖτε, νέοι, ἰσάριθμοι μέ τήν ἁγία Τριάδα, τόν Δημιουργό Πατέρα Θεό· ὑμνεῖτε τόν Λόγο τοῦ Θεοῦ, ὁ ὁποῖος κατέβηκε μαζί σας στό καμίνι, καί μεταποίησε τή φωτιά σέ δροσιά· Καί ὑπερυψώνετε τό Πανάγιο Πνεῦμα, τό ὁποῖο πα-

Πνεῦμα πανάγιον εἰς τοὺς αἰῶνας. Ὠιδη Θ'. Μυστικὸς εἶ, Θεοτόκε, παράδεισος, ἀγεωργήτως βλαστήσασα Χριστόν, ὑφ' οὗ τὸ τοῦ Σταυροῦ, ζωηφόρον ἐν γῇ, πεφυτούργηται δένδρον· δι' οὗ νῦν ὑψουμένου, προσκυνοῦντες Αὐτόν, Σὲ μεγαλύνομεν. Ἄλλη Καταβασία. Ὁ διὰ βρώσεως τοῦ ξύλου, τῷ γένει προσγενόμενος θάνατος, διὰ Σταυροῦ κατήργηται σήμερον· τῆς γὰρ προμήτορος ἡ παγγενής, κατάρα διαλέλυται, τῷ βλαστῷ τῆς ἁγνῆς Θεομήτορος· ἣν πᾶσαι αἱ δυνάμεις, τῶν οὐρανῶν μεγαλύνουσιν. ΚΑΤΑΒΑΣΙΑι ΤΗΣ ΘΕΟΤΟΚΟΥ Ὠιδη Α'. Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῇ Βασιλίδι Μητρί· καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα (τὴν Εἴσοδον). Ὠιδη Γ'. Τοὺς σοὺς ὑμνολόγους, Θεοτόκε, ἡ ζῶσα καὶ ἄφθονος πηγή, θίασον συγκροτήσαντας πνευματικόν, στερέωσον· καὶ ἐν τῇ θείᾳ δόξῃ Σου, (κἂν τῇ σεπτῇ Εἰσόδῳ Σου), στεφάνων δόξης ἀξίωσον. Ὠιδη Δ'. Τὴν ἀνεξιχνίαστον θείαν βουλήν, τῆς ἐκ τῆς			ρέχει ζωή σέ ὅλους αἰώνια. Ὠιδη Θ'. Θεοτόκε, εἶσαι μυστηριώδης Παράδεισος (κῆπος), γιατί χωρίς ἐπέμβαση ἀνδρός βλάστησες τό Χριστό, ἀπό τόν ὁποῖο φυτεύθηκε στή γῆ τό δένδρο τοῦ Σταυροῦ, πού καρποφορεῖ τήν αἰώνια ζωή· Διά τοῦ ὁποίου τώρα πού ὑψώνεται, προσκυνώντας αὐτόν (τό Χριστό) μεγαλύνουμε καί ἐσένα. Ἄλλη καταβασία. Ὁ θάνατος πού ἐπῆλθε στό ἀνθρώπινο γένος μέ τή βρώση (τό φάγωμα) τοῦ καρποῦ τοῦ δένδρου τῆς γνώσεως, σήμερα καταργήθηκε μέ τό Σταυρό· Διότι ἡ πανανθρώπινη κατάρα τῆς προμήτορος (τῆς Εὔας) ἔχει διαλυθεῖ μέ τό βλαστό τῆς ἁγνῆς Μητέρας τοῦ Θεοῦ· Αὐτήν μεγαλύνουν ὅλες οἱ οὐράνιες Δυνάμεις. ΚΑΤΑΒΑΣΙΕΣ ΤΗΣ ΘΕΟΤΟΚΟΥ Ὠιδη Α'. Θά ἀνοίξω τό στόμα μου καί θά γεμίσει μέ Ἅγιο Πνεῦμα. Καί θά πῶ λόγια στή Βασίλισσα Μητέρα. Καί θά ἐμφανισθῶ νά πανηγυρίζω χαρμόσυνα, καί θά ψάλω χαρούμενος τά θαύματά της (τήν Εἴσοδό της). Ὠιδη Γ'. Τούς ὑμνολόγους σου, Θεοτόκε, Ἐσύ ἡ ζωντανή καί ἄφθονη πηγή, οἱ ὁποῖοι συγκρότησαν πνευματικό θίασο (ὁμάδα), στερέωσέ τους· Καί μέ τή θεία δόξα σου (καί μέ τη σεβάσμια Εἴσοδό σου) ἀξίωσέ τους νά λάβουν στεφάνια δόξας. Ὠιδη Δ'. Τήν ἀνεξακρίβωτη θεία βουλή, γιά τή σάρκωση σοῦ τοῦ

Παρθένου σαρκώσεως, Σοῦ τοῦ Ὑψίστου, ὁ προφήτης Ἀββακούμ, κατανοῶν ἐκραύγαζε· δόξα τῇ δυνάμει Σου Κύριε. ᾨιΔΗ Ε'. Ἐξέστη τά σύμπαντα ἐπί τῇθείᾳ δόξῃ σου, σύ γάρ ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ, τὸν ἐπὶ πάντων Θεόν, καὶ τέτοκας ἄχρονον Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί σε, σωτηρίαν βραβεύουσα. Τῶν Εἰσοδίων). (Ἐξέστη τὰ σύμπαντα, ἐν τῇ σεπτῇ Εἰσόδῳ σου· σὺ γάρ, ἀπειρόγαμε Παρθένε, ἔνδον εἰσῆλθες, ἐν τῷ ναῷ τοῦ Θεοῦ, ὥσπερ καθαρώτατος ναός, πᾶσι τοῖς ὑμνοῦσί σε, σωτηρίαν βραβεύουσα). ᾨιΔΗ ΣΤ'. Τὴν θείαν ταύτην καὶ πάντιμον τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα, Θεὸν δοξάζοντες. ᾨιΔΗ Ζ'. Οὐκ ἐλάτρευσαν, τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν κτίσαντα· ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον· Ὑπερύμνητε, ὁ τῶν πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ. ᾨιΔΗ Η'. Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος· νῦν δὲ			Ὑψίστου, ὁ Προφήτης Ἀββακούμ κατανοώντας την κραύγαζε· Δόξα στή δύναμή σου, Κύριε. ᾨιΔΗ Ε'. Ἔμειναν ἐκστατικά τά σύμπαντα μπροστά στή θεϊκή σου δόξα, διότι ἐσύ, Παρθένε, χωρίς γάμο συνέλαβες στή μήτρα σου τό Θεό, πού εἶναι ἐπάνω ἀπό ὅλους, κι ἐγέννησες ἄχρονον Υἱό, ὁ ὁποῖος σέ ὅλους πού σέ ὑμνοῦν, δίνει ὡς βραβεῖο τή σωτηρία (Τῶν Εἰσοδίων). (Ἔμειναν ἐκστατικά τά σύμπαντα μπροστά στή σεβάσμια Εἴσοδό σου· διότι ἐσύ, Παρθένε χωρίς πεῖρα γάμου, μπῆκες μέσα στό ναό τοῦ Θεοῦ, ὡς καθαρώτατος ναός, δίνοντας ὡς βραβεῖο τή σωτηρία σέ ὅλους πού σέ ὑμνοῦν). ᾨιΔΗ ΣΤ'. Τιμώντας τή θεϊκή αὐτή καί πολύ ἔντιμη ἑορτή, τῆς Μητέρας τοῦ Θεοῦ, ἐμεῖς πού ἔχουμε νοῦν Θεοῦ, ἐλᾶτε νά χειροκροτήσουμε δοξάζοντας τόν Θεό, πού γεννήθηκε ἀπ' αὐτήν. ᾨιΔΗ Ζ'. Δέν λάτρευσαν τήν κτίση οἱ θεόφρονες (οἱ σκεπτόμενοι θεάρεστα), ἀλλά τόν Κτίστη· ἀλλ' ὅμως πάτησαν τήν ἀπειλή τῆς φωτιᾶς καί μέ χαρά ἔψαλλαν· Ὑπερύμνητε, ὁ Κύριος τῶν πατέρων καί Θεός, εἶσαι δοξασμένος. ᾨιΔΗ Η'. Ὑμνοῦμε, δοξολογοῦμε καί προσκυνοῦμε τόν Κύριο. Τούς νέους τούς εὐσεβεῖς μέσα στό καμίνι ὁ Υἱός τῆς Θεοτόκου τούς διέσωσε, τότε βέβαια ὡς προτύπωση, καί τώρα

ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν, ἀγείρει ψάλλουσαν· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας. ᾨιΔΗ Θ′. Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι, λαμπαδουχούμενος· πανηγυριζέτω δέ, ἀύλων Νόων φύσις γεραίρουσα, τὰ ἱερὰ θαυμάσια, (τὰ ἱερὰ Εἰσόδια), τῆς Θεομήτορος, καὶ βοάτω· Χαίροις παμμακάριστε, Θεοτόκε ἁγνή, ἀειπάρθενε.			στήν πραγματικότητα, συγκαλεῖ ὅλη τήν οἰκουμένη νά ψάλλει· τόν Κύριο ὑμνεῖτε τά ἔργα, καί ὑπερυψώνετέ τον σέ ὅλους τούς αἰῶνες. ᾨιΔΗ Θ′. Κάθε γήινος (ἄνθρωπος) ἄς σκιρτᾷ πνευματικά φωτιζόμενος ἀπό λαμπάδα, καί ἄς πανηγυρίζει ἡ φύση τῶν ἀϋλων πνευμάτων (τῶν ἀγγέλων) δοξάζοντας τά ἱερά θαυμάσια (τά ἱερά Εἰσόδια) τῆς Μητέρας τοῦ Θεοῦ, καί ἄς φωνάζει: Χαῖρε Παμμακάριστη, Θεοτόκε ἁγνή Ἀειπάρθενε (παντοτεινή Παρθένε).
ΚΑΤΑΒΑΣΙΑΙ ΤΩΝ ΧΡΙΣΤΟΥΓΕΝΝΩΝ α. Καταβασίαι Πεζαί. ᾨιΔΗ Α'. Χριστὸς γεννᾶται δοξάσατε· Χριστὸς ἐξ οὐρανῶν ἀπαντήσατε· Χριστὸς ἐπὶ γῆς ὑψώθητε. Ἄισατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ, καὶ ἐν εὐφροσύνῃ, ἀνυμνήσατε λαοί, ὅτι δεδόξασται. ᾨιΔΗ Γ'. Τῷ πρὸ τῶν αἰώνων, ἐκ Πατρὸς γεννηθέντι ἀρρεύστως Υἱῷ, καὶ ἐπ' ἐσχάτων ἐκ Παρθένου, σαρκωθέντι ἀσπόρως, Χριστῷ τῷ Θεῷ βοήσωμεν· ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν, Ἅγιος εἶ, Κύριε. ᾨιΔΗ Δ'. Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐξ αὐτῆς, Χριστέ, ἐκ τῆς Παρθένου ἀνεβλάστησας, ἐξ ὄρους ὁ αἰνετός, κατασκίου δασέος· ἦλθες σαρκωθεὶς ἐξ ἀπειράνδρου, ὁ ἄυλος καὶ Θεός. Δόξα τῇ δυνάμει Σου Κύριε.			ΚΑΤΑΒΑΣΙΕΣΤΩΝ ΧΡΙΣΤΟΥΓΕΝΝΩΝ α. Καταβασίες Πεζές. ᾨιΔΗ Α'. Ὁ Χριστός γεννᾶται, δοξάστε τον. Ὁ Χριστός ἔρχεται ἀπό τόν οὐρανό, προϋπαντῆστε τον. Ὁ Χριστός ἤλθε στή γῆ, ὑψωθεῖτε. Ψάλετε στόν Κύριο ὅλη ἡ γῆ, καί μέ εὐφροσύνη ἀνυ μνῆστε τον, λαοί, διότι εἶναι δοξασμένος ᾨιΔΗ Γ'. Στόν Υἱό, ὁ ὁποῖος γεννήθηκε ἀπό τόν Πατέρα προαιώνια καί ἀπαθῶς, καί στούς ἐσχάτους καιρούς σαρκώθηκε ἀπό Παρθένο χωρίς ἄνδρα, στό Χριστό τόν Θεό, ἄς φωνάξουμε· Ἐσύ πού ὕψωσες τή δύναμή μας, εἶσαι ἅγιος, Κύριε. ᾨιΔΗ Δ'. Ὡς βλαστάρι ἀπό τή ρίζα τοῦ Ἰεσσαί καί ἄνθος ἀπό αὐτήν, Χριστέ, ἀπό τήν Παρθένο ἐβλάστησες, ἀπό τό ὄρος τό σκιερό καί δασωμένο ὁ δοξασμένος· Ἦλθες ἀπό Παρθένο, πού δέν ἐγνώρισε ἄνδρα Ἐσύ ὁ ἄυλος καί Θεός. Δόξα στή δύναμή σου, Κύριε.

ᾨιΔΗ Ε΄. Θεὸς ὢν εἰρήνης, πατὴρ οἰκτιρμῶν, τῆς μεγάλης βουλῆς Σου τὸν Ἄγγελον, εἰρήνην παρεχόμενον ἀπέστειλας ἡμῖν· ὅθεν θεογνωσίας, πρὸς φῶς ὁδηγηθέντες, ἐκ νυκτὸς ὀρθρίζοντες, δοξολογοῦμέν Σε, Φιλάνθρωπε. ᾨιΔΗ ΣΤ΄. Σπλάγχνων Ἰωνᾶν, ἔμβρυον ἀπήμεσεν, ἐνάλιος θήρ, οἷον ἐδέξατο· τῇ Παρθένῳ δέ, ἐνοικήσας ὁ Λόγος, καὶ σάρκα λαβών, διελήλυθε φυλάξας ἀδιάφθορον· ἧς γὰρ οὐχ ὑπέστη ῥεύσεως, τὴν τεκοῦσαν κατέσχεν ἀπήμαντον. ᾨιΔΗ Ζ΄. Οἱ Παῖδες, εὐσεβείᾳ συντραφέντες, δυσσεβοῦς προστάγματος καταφρονήσαντες, πυρὸς ἀπειλὴν οὐκ ἐπτοήθησαν, ἀλλ’ ἐν μέσῳ τῆς φλογός, ἑστῶτες ἔψαλλον· Ὁ τῶν πατέρων, Θεὸς εὐλογητὸς εἶ. ᾨιΔΗ Η’. Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον. Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος, ἐξεικόνισε κάμινος τύπον· οὐ γὰρ οὓς ἐδέξατο φλέγει νέους, ὡς οὐδὲ πῦρ τῆς Θεότητος, Παρθένου ἦν ὑπέδυ νηδύν· διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν· εὐλογείτω, ἡ κτίσις πᾶσα τὸν Κύρι-			ᾨιΔΗ Ε΄. Ἐπειδή εἶσαι Θεός τῆς εἰρήνης, Πατέρας τῆς εὐσπλαχνίας, ἔστειλες σ’ ἐμᾶς τόν Ἀγγελιοφόρο (τό Χριστό) τῆς μεγάλης ἀποφάσεώς σου, γιά νά μᾶς δώσει εἰρήνη. Γι’ αὐτό ὁδηγημένοι πρός τό φῶς τῆς γνώσεως τοῦ Θεοῦ, ἀγρυπνώντας ἀπό τά χαράματα σέ δοξολογοῦμε, Φιλάνθρωπε. ᾨιΔΗ ΣΤ’. Τό θαλασσινό θηρίο ἔβγαλε μέ ἐμετό ἀπό τά σπλάχνα του τόν Ἰωνᾶ ὡς ἔμβρυο, ὅπως τόν δέχθηκε· Καί ὁ Λόγος τοῦ Θεοῦ, ἀφοῦ ἔμεινε στά σπλάχνα τῆς Παρθένου, παίρνοντας σάρκα, πέρασε μέσα ἀπ’ αὐτήν φυλάγοντάς την ἀδιάφθορη· Καί διατήρησε αὐτήν πού τόν γέννησε ἀβλαβῆ ἀπό τή ρεύση τή σαρκική, μέ τήν ὁποία κι ἐκεῖνος δέν εἶχε σχέση. ᾨιΔΗ Ζ΄. Οἱ τρεῖς νέοι ἀναθρεμμένοι μαζί μέ τήν εὐσέβεια, καταφρόνησαν τό ἀσεβές πρόσταγμα καί δέν φοβήθηκαν τήν ἀπειλή τῆς φωτιᾶς, ἀλλά ἐνῷ στέκονταν στή μέση τῆς φλόγας, ἔψαλλαν· Ὁ Θεός τῶν πατέρων μας εἶσαι δοξασμένος. ᾨιΔΗ Η΄. Ὑμνοῦμε, δοξολογοῦμε καί προσκυνοῦμε τόν Κύριο. Τό δροσοβόλο καμίνι παρουσίασε ὡς εἰκόνα τήν προτύπωση τοῦ ὑπερφυσικοῦ θαύματος· Ἐξ ἄλλου δέν ἔκαψε τούς νέους πού δέχθηκε, ὅπως καί ἡ φωτιά τῆς Θεότητος δέν ἔκαψε τά σπλάχνα τῆς Παρθένου, στά ὁποῖα εἶχε εἰσχωρήσει· γι’ αὐτό ἀνυμνώντας ἄς ψάλουμε· Ἄς δοξολογεῖ ἡ κτίση ὅλη

ον καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας. ΩιΔΗ Θ'. Μεγάλυνον ψυχή μου, τὴν τιμιωτέραν, καὶ ἐνδοξοτέραν, τῶν ἄνω στρατευμάτων. Μυστήριον ξένον, ὁρῶ καὶ παράδοξον· οὐρανὸν τὸ σπήλαιον· θρόνον, χερουβικόν τὴν Παρθένον· τὴν φάτνην χωρίον, ἐν ᾧ ἀνεκλίθη ὁ ἀχώρητος, Χριστὸς ὁ Θεός· ὃν ἀνυμνοῦντες μεγαλύνομεν. ΚΑΤΑΒΑΣΙΑΙ ΤΩΝ ΧΡΙΣΤΟΥΓΕΝΝΩΝ β'. Ἰαμβικαί. ΩιΔΗ Α'. Ἔσωσε λαόν, θαυματουργῶν Δεσπότης, Ὑγρὸν θαλάσσης κῦμα, χερσώσας πάλαι. Ἑκὼν δὲ τεχθείς, ἐκ Κόρης τρίβον βατήν, Πόλου τίθησιν ἡμῖν· ὅν κατ' οὐσίαν, Ἴσόν τε Πατρί, καὶ βροτοῖς δοξάζομεν. ΩιΔΗ Γ'. Νεῦσον πρὸς ὕμνους, οἰκετῶν εὐεργέτα, ἐχθροῦ ταπεινῶν, τὴν ἐπηρμένην ὀφρύν, Φέρων τε παντεπόπτα, τῆς ἁμαρτίας Ὕπερθεν ἀκλόνητον, ἑστηριγμένους, Μάκαρ, μελῳδούς, τῇ βάσει τῆς πίστεως. ΩιΔΗ Δ'. Γένους βροτείου, τὴν ἀνάπλασιν πάλαι, Ἅιδων προφήτης, Ἀββακοὺμ προμηνύει, Ἰδεῖν ἀφράστως, ἀξιωθεὶς τὸν τύπον· Νέον βρέφος γάρ, ἐξ ὄρουστῆς			τόν Κύριο, καί ἄς τόν ὑπερυψώνει σέ ὅλους τούς αἰῶνες. ΩιΔΗ Θ'. Μεγάλυνε, ψυχή μου, τήν τιμιωτέρα καί ἐνδοξοτέρα ἀπό τά ἄνω στρατεύματα. Μυστήριο παράξενο βλέπω καί παράδοξο· (Βλέπω) ὡς οὐρανό τό σπήλαιο· Θρόνο χερουβικό τήν Παρθένο· Τή φάτνη κατάλυμα, ὅπου ἀναπαύθηκε ὁ ἀχώρητος, ὁ Χριστός ὁ Θεός, αὐτόν ἀνυμνώντας μεγαλύνουμε. ΚΑΤΑΒΑΣΙΕΣ ΤΩΝ ΧΡΙΣΤΟΥΓΕΝΝΩΝ β. Ἰαμβικές. ΩιΔΗ Α'. Ἔσωσε παλαιά τό λαό θαυματουργώντας ὁ Κύριος, ἀφοῦ μετέβαλε σέ ξηρά τό ὑγρό κύμα τῆς θάλασσας. Καί ἀφοῦ γεννήθηκε θεληματικά ἀπό Κόρη, μᾶς προσφέρει εὐκολοπέραστη τήν πορεία πρός τόν οὐρανό· αὐτόν δοξάζουμε ὡς ἴσο μέ τόν Πατέρα στήν θεϊκή οὐσία, καί μέ τούς ἀνθρώπους στήν ἀνθρώπινη. ΩιΔΗ Γ'. Δεῖξε συγκατάβαση πρός τούς ὕμνους τῶν δούλων σου, Εὐεργέτα, ταπεινώνοντας τό ὑπερυψωμένο φρύδι (φρόνημα, ὑπερηφάνεια) τοῦ ἐχθροῦ· Καί ὁδήγησέ μας πιό ψηλά ἀπό τήν ἁμαρτία, ἐσύ παντεπόπτα (πού ἐποπτεύεις τά πάντα), ἐμᾶς τούς μελῳδούς σου, Μακάριε, στηριγμένους ἀκλόνητα στή βάση (στό θεμέλιο) τῆς πίστεως. ΩιΔΗ Δ'. Ὁ προφήτης Ἀββακούμ ψάλλοντας προμηνύει ἀπό παλαιά τήν ἀνάπλαση τοῦ ἀνθρωπίνου γένους, ἀφοῦ ἀξιώθηκε νά δεῖ τήν προεικόνισή της· Διότι ὡς νέο βρέφος ὁ Λόγος

Παρθένου, Ἐξῆλθε λαῶν, εἰς ἀνάπλασιν Λόγος. ΩιΔΗ Ε'. Ἐκ νυκτὸς ἔργων, ἐσκοτισμένης πλάνης, Ἱλασμὸν ἡμῖν, Χριστὲ τοῖς ἐγρηγόρως, Νῦν Σοι τελοῦσιν, ὕμνον ὡς εὐεργέτῃ, Ἔλθοις πορίζων, εὐχερῆ τε τὴν τρίβον, Καθ' ἣν ἀνατρέχοντες, εὕροιμεν κλέος. ΩιΔΗ ΣΤ'. Ναίων Ἰωνᾶς, ἐν μυχοῖς θαλαττίοις, Ἐλθεῖν ἐδεῖτο, καὶ ζάλην ἀπαρκέσαι. Νυγεὶς ἐγὼ δέ, τῷ τυραννοῦντος βέλει, Χριστὲ, προσαυδῶ, τὸν κακῶν ἀναιρέτην, Θᾶττον μολεῖν Σε, τῆς ἐμῆς ῥᾳθυμίας. ΩιΔΗ Ζ'. Τῷ παντάνακτος, ἐξεφαύλισαν πόθῳ, Ἄπληστα θυμαίνοντος, ἠγκιστρωμένοι, Παῖδες τυράννου, δύσθεον γλωσσαλγίαν· Οἷς εἴκαθε πῦρ, ἄσπετον τῷ Δεσπότῃ, Λέγουσιν· Εἰς αἰῶνας εὐλογητὸς εἶ. ΩιΔΗ Η'. Ὑμνοῦμεν, εὐλογοῦμεν καί προσκυνοῦμεν τόν Κύριον. Μήτραν ἀφλέκτως, εἰκονίζουσι Κόρης, Οἱ τῆς παλαιᾶς, πυρπολούμενοι νέοι, Ὑπερφυῶς κύουσαν, ἐσφραγισμένην. Ἄμφω δὲ δρῶσα, θαυματουργίᾳ μιᾷ, Λαοὺς πρὸς ὕμνον, ἐξανίστησι Χάρις.			τοῦ Θεοῦ προῆλθε ἀπό τό ὄρος, δηλαδή ἀπό τήν Παρθένο, γιά τήν ἀνάπλαση τῶν λαῶν. ΩιΔΗ Ε'. Χριστέ μας, παρακαλοῦμε νά ἔλθεις, γιά νά δώσεις συγχώρηση ἀπό τά ἔργα τῆς νύκτας, δηλαδή τῆς σκοτισμένης πλάνης, σ' ἐμᾶς, πού ἀγρυπνώντας τώρα ἀναπέμπουμε ὕμνο σ' ἐσένα ὡς εὐεργέτη, καί νά μᾶς κάνεις εὔκολο τό δρόμο, στόν ὁποῖο ἀνηφορίζοντας μακάρι νά βροῦμε δόξα. ΩιΔΗ ΣΤ'. Κατοικώντας ὁ Ἰωνᾶς στά βάθη τῆς θαλάσσης παρακαλοῦσε νά ἐπανέλθει κοντά σου καί νά σταματήσει ἡ ζάλη του. Ἀντίθετα ἐγώ πληγωμένος ἀπό τό βέλος τοῦ τυράννου, Χριστέ, καλῶ ἐσένα ὡς ἐξολοθρευτή τῶν κακῶν, νά ἔλθεις γρηγορώτερα ἀπό τή δική μου ραθυμία . ΩιΔΗ Ζ'. Οἱ τρεῖς νέοι ἀγκιστρωμένοι στόν πόθο τοῦ Παμβασιλέως (τοῦ Θεοῦ) περιφρόνησαν τήν ἄθεη φλυαρία τοῦ τυράννου, πού ἦταν ὑπερβολικά θυμωμένος· Μπροστά σ' αὐτούς ὑποχώρησε ἡ ἀπερίγραπτη φωτιά, καθώς ἔλεγαν στόν Κύριο· εἶσαι δοξασμένος στούς αἰῶνες. ΩιΔΗ Η'. Ὑμνοῦμε, δοξολογοῦμε καί προσκυνοῦμε τόν Κύριο. Οἱ νέοι τῆς Παλαιᾶς Διαθήκης μέ τό νά πυρπολοῦνται, χωρίς νά καίονται, προεικονίζουν τή μήτρα τῆς Κόρης (τῆς Παρθένου), ἡ ὁποία κατά τρόπο ὑπεφυσικό εἶναι ἔγκυος, ἀλλά σφραγισμένη, ἄθικτη. Καί ἡ χάρη τοῦ Πνεύματος ἐνεργώντας καί τά δύο μέ μία θαυματουργική δύναμη, παρακινεῖ τούς λαούς σέ ὕμνο.

ᾨιΔΗ Θ'. Μεγάλυνον ψυχή μου, τὴν λυτρωσαμένην, ἡμᾶς ἐκ τῆς κατάρας. Στέργειν μὲν ἡμᾶς, ὡς ἀκίνδυνον φόβῳ, Ῥᾴον σιωπήν· τῷ πόθῳ δὲ Παρθένε, Ὕμνους ὑφαίνειν, συντόνως τεθηγμένους, Ἐργῶδές ἐστιν· ἀλλὰ καὶ Μήτηρ σθένος, Ὅση πέφυκεν, ἡ προαίρεσις δίδου. ΚΑΤΑΒΑΣΙΑΙ ΤΩΝ ΦΩΤΩΝ α. Καταβασίαι Πεζαί. ᾨιΔΗ Α'. Βυθοῦ ἀνεκάλυψε πυθμένα, καὶ διὰ ξηρᾶς οἰκείους ἕλκει, ἐν αὐτῷ κατακαλύψας ἀντιπάλους, ὁ κραταιός, ἐν πολέμοις Κύριος· ὅτι δεδόξασται. ᾨιΔΗ Γ'. Ἰσχὺν ὁ διδούς, τοῖς βασιλεῦσινἡμῶν Κύριος, καὶ κέρας χριστῶν Αὐτοῦ ὑψῶν, Παρθένου ἀποτίκτεται, μολεῖ δὲ πρὸς τὸ βάπτισμα· διὸ πιστοὶ βοήσωμεν· Οὐκ ἔστιν Ἅγιος, ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος πλὴν Σοῦ Κύριε. ᾨιΔΗ Δ'. Ἀκήκοε, Κύριε, φωνῆς Σου ὃν εἶπας, Φωνὴ βοῶντος ἐν ἐρήμῳ, ὅτε ἐβρόντησας, πολλῶν ἐπὶ ὑδάτων, τῷ Σῷ μαρτυρούμενος Υἱῷ· ὅλος γεγονὼς τοῦ παρόντος, Πνεύματος δὲ ἐβόησε· Σὺ εἶ Χριστός, Θεοῦ σοφία καὶ δύναμις.			ᾨιΔΗ Θ'. Μεγάλυνε, ψυχή μου, αὐτήν πού μᾶς λύτρωσε ἀπό τήν κατάρα. Τό νά προτιμοῦμε τή σιωπή ἀπό φόβο, ἐπειδή εἶναι ἀκίνδυνο, εἶναι εὐκολώτερο· Τό νά ὑφαίνουμε ὅμως μέ πόθο ὕμνους μέ κόπο καί προσπάθεια καμωμένους, Παρθένε, εἶναι κοπιαστικό· ἀλλά γι' αὐτό, Μητέρα, δίνε μας δύναμη, ὅση εἶναι καί ἡ προαίρεσή μας. ΚΑΤΑΒΑΣΙΕΣ ΤΩΝ ΦΩΤΩΝ α. Καταβασίες Πεζές. ᾨιΔΗ Α'. Ἀποκάλυψε (ἔφερε στό φῶς) τόν πυθμένα τοῦ βυθοῦ, καί διαπερνᾷ τούς δικούς του διά ξηρᾶς, βυθίζοντας μέσα σ' αὐτόν τούς ἀντιπάλους, ὁ δυνατός στόν πόλεμο Κύριος· Διότι εἶναι ὑπερβολικά δοξασμένος. ᾨιΔΗ Γ'. Ὁ Κύριος, ὁ ὁποῖος δίνει δύναμη στούςβασιλεῖς μας, καί ἐξυψώνει τήν δύναμη τῶν ἐκλεκτῶν του, γεννιέται ἀπό Παρθένο καί πηγαίνει πρός τό βάπτισμα· γι' αὐτό, πιστοί, ἄς φωνάξουμε· δέν ὑπάρχει ἅγιος ὅπως ὁ Θεός μας, καί δέν ὑπάρχει δίκαιος ἐκτός ἀπό σένα, Κύριε. ᾨιΔΗ Δ'. Ἄκουσε, Κύριε, τή φωνή σου ὁ Πρόδρομος, τόν ὁποῖο ὀνόμασες «φωνή πού φωνάζει στήν ἔρημο», ὅταν βρόντησες ἐπάνω στά πολλά νερά τοῦ Ἰορδάνη δίνοντας μαρτυρία γιά τόν Υἱό σου· καί γεμάτος ἀπό τό Ἅγιο Πνεῦμα, πού ἦταν παρόν, ἐφώναξε δυνατά· ἐσύ εἶσαι ὁ Χριστός ἡ σοφία τοῦ Θεοῦ καί ἡ δύναμη.

ΩιΔΗ Ε΄. Ἰησοῦς ὁ ζωῆς ἀρχηγός, λῦσαι τὸ κατάκριμα ἥκει, Ἀδὰμ τοῦ πρωτοπλάστου· καθαρσίων δὲ ὡς Θεὸς μὴ δεόμενος, τῷ πεσόντι καθαίρεται, ἐν τῷ Ἰορδάνῃ· ἐν ᾧ τὴν ἔχθραν κτείνας, ὑπερέχουσαν πάντα νοῦν, εἰρήνην χαρίζεται. ΩιΔΗ ΣΤ΄. Ἡ φωνὴ τοῦ Λόγου, ὁ λύχνος τοῦ Φωτός, ὁ ἑωσφόρος, ὁ τοῦ ἡλίου Πρόδρομος, ἐν τῇ ἐρήμῳ· Μετανοεῖτε, πᾶσι βοᾷ τοῖς λαοῖς, καὶ προκαθαίρεσθε· ἰδοὺ γὰρ πάρεστι Χριστός, ἐκ φθορᾶς τὸν κόσμον λυτρούμενος. ΩιΔΗ Ζ΄. Νέους εὐσεβεῖς, καμίνῳ πυρὸς προσομιλήσαντας, διασυρίζον πνεῦμα δρόσου, ἀβλαβεῖς διεφύλαξε, καὶ θείου ἀγγέλου συγκατάβασις· ὅθεν ἐν φλογὶ δροσιζόμενοι, εὐχαρίστως ἀνέμελπον· Ὑπερύμνητε, ὁ τῶν πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ. ΩιΔΗ Η΄. Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον. Μυστήριον παράδοξον, ἡ Βαβυλῶνος ἔδειξε κάμινος, πηγάσασα δρόσον· ὅτι ῥείθροις ἔμελλεν, ἄυλον πῦρ εἰσδέχεσθαι ὁ Ἰορδάνης, καὶ στέγειν σαρκί, βαπτιζόμενον τὸν Κτίστην· ὃν εὐλογοῦσι λαοί, καὶ ὑπερυψοῦσιν, εἰς πάντας τοὺς αἰῶνας. ΩιΔΗ Θ΄.			ΩιΔΗ Ε΄. Ὁ Ἰησοῦς ὁ ἀρχηγός τῆς ζωῆς ἔχει ἔλθει γιά νά καταλύσει τήν καταδίκη τοῦ πρωτοπλάστου Ἀδάμ· Καί χωρίς νά ἔχει ἀνάγκη ἀπό κάθαρση ὡς Θεός, δέχεται κάθαρση γιά χάρη τοῦ πεσμένου (τοῦ ἀνθρώπου) στόν Ἰορδάνη· Ὅπου σκότωσε τήν ἔχθρα, καί χαρίζει εἰρήνη ἀνώτερη ἀπό κάθε διάνοια. ΩιΔΗ ΣΤ΄. Ἡ φωνή τοῦ Λόγου, τό λυχνάρι τοῦ Φωτός, τό ἄστρο τῆς αὐγῆς, ὁ Πρόδρομος τοῦ Ἡλίου, στήν ἔρημο φωνάζει σέ ὅλους τούς λαούς· Μετανοεῖτε καί καθαρισθεῖτε προκαταβολικά· Διότι νά, εἶναι παρών ὁ Χριστός λυτρώνοντας τόν κόσμο ἀπό τή φθορά. ΩιΔΗ Ζ΄. Τούς εὐσεβεῖς νέους, πού ἦλθαν σέ ἐπαφή μέ τό καμίνι τῆς φωτιᾶς, ἡ πνοή τῆς δροσιᾶς πού σφύριζε, καί ἡ κάθοδος τοῦ θεϊκοῦ ἀγγέλου τούς διαφύλαξε ἀβλαβεῖς· Γι’ αὐτό μέσα στή φλόγα δροσιζόμενοι εὐχαρίστως ἔψαλλαν· Ὑπερύμνητε, ὁ Κύριος καί Θεός τῶν πατέρων μας εἶσαι δοξασμένος. ΩιΔΗ Η΄. Ὑμνοῦμε, δοξολογοῦμε καί προσκυνοῦμε τόν Κύριο. Μυστήριο παράδοξο ἔδειξε τό καμίνι τῆς Βαβυλώνας πηγάζοντας δροσιά· Ὅτι δηλαδή ὁ Ἰορδάνης ἐπρόκειτο νά δεχθεῖ μέσα στά νερά του τήν ἄυλη φωτιά τῆς Θεότητος, καί νά ἀντέξει νά βαπτισθεῖ σαρκικά μέσα σ’ αὐτόν ὁ Κτίστης· Αὐτόν δοξολογοῦν οἱ λαοί, καί τόν ὑπερυψώνουν σέ ὅλους τούς αἰῶνες. ΩιΔΗ Θ΄.

Μεγάλυνον ψυχή μου, τὴν τιμιωτέραν, τῶν ἄνω στρατευμάτων. Ἀπορεῖ πᾶσα γλῶσσα, εὐφημεῖν πρὸς ἀξίαν· ἰλιγγιᾷ δὲ νοῦς καὶ ὑπερκόσμιος, ὑμνεῖν Σε Θεοτόκε· ὅμως ἀγαθὴ ὑπάρχουσα, τὴν πίστιν δέχου· καὶ γὰρ τὸν πόθον οἶδας, τὸν ἔνθεον ἡμῶν· Σὺ γὰρ Χριστιανῶν εἶ προστάτις, σὲ μεγαλύνομεν. ΚΑΤΑΒΑΣΙΑΙ ΤΩΝ ΦΩΤΩΝ β. Καταβασίαι Ἰαμβικαί. ᾨιΔΗ Α΄. Στείβει θαλάσσης, κυματούμενον σάλον, Ἤπειρον αὖθις, Ἰσραήλ δεδειγμένον. Μέλας δὲ πόντος, τριστάτας Αἰγυπτίων, Ἔκρυψεν ἄρδην, ὑδατόστρωτος τάφος, Ῥώμῃ κραταιᾷ, δεξιᾶς τοῦ Δεσπότου. ᾨιΔΗ Γ΄. Ὅσοι παλαιῶν, ἐκλελύμεθα βρόχων, Βορῶν λεόντων, συντεθλασμένων μύλας, Ἀγαλλιῶμεν, καὶ πλατύνωμεν στόμα, Λόγῳ πλέκοντες, ἐκ λόγων μελῳδίαν, Ὧι τῶν πρὸς ἡμᾶς, ἥδεται δωρημάτων. ᾨιΔΗ Δ΄. Πυρσῷ καθαρθείς, μυστικῆς θεωρίας, Ὕμνῶν προφήτης, τὴν βροτῶν καινουργίαν, Ῥήγνυσι γῆρυν, Πνεύματι κροτουμένην, Σάρκωσιν ἐμφαίνουσαν, ἀρρήτου Λόγου, Ὧι τῶν δυναστῶν, τὰ κράτη συνετρίβη.			Μεγάλυνε, ψυχή μου, τήν τιμιώτερη ἀπό τά ἄνω στρατεύματα. Ἀδυνατεῖ κάθε γλῶσσα, νά σέ ἐγκωμιάζει ἐπάξια· Καί αἰσθάνεται ἴλιγγο καί ἡ ὑπερφυσική διάνοια τῶν ἀγγέλων, γιά νά σέ ὑμνήσει, Θεοτόκε· ὅμως ἐπειδή εἶσαι ἀγαθή, δέχου τήν πίστη μας· διότι γνωρίζεις τό θεϊκό πόθο μας· ἐπειδή ἐσύ εἶσαι τῶν χριστιανῶν ἡ προστάτης, ἐσένα μεγαλύνουμε. ΚΑΤΑΒΑΣΙΕΣ ΤΩΝ ΦΩΤΩΝ β. Καταβασίες Ἰαμβικές. ᾨιΔΗ Α΄. Ὁ λαός τοῦ Ἰσραήλ βαδίζει (πεζοπορεῖ) ἐπάνω στόν τρικυμισμένο σάλο τῆς θάλασσας, πού παρουσιάσθηκε πάλι ὡς ἤπειρος (ξηρά). Καί ἡ μαύρη θάλασσα ὡς τάφος ποὺ εἶναι στρωμένος μέ νερό, σκέπασε ὁλωσδιόλου τούς ἁρματηλάτες τῶν Αἰγυπτίων, μέ τήν ἰσχυρή δύναμη τῆς δεξιᾶς (χειρός) τοῦ Κυρίου. ᾨιΔΗ Γ΄. Ὅσοι ἔχουμε ἐλευθερωθεῖ ἀπό τίς παλαιές παγίδες, ἀπό ἀδηφάγα λιοντάρια πού ἔχουν ὅμως σπασμένα τά δόντια τους, ἄς αἰσθανόμεθα ἀγαλλίαση , καί ἄς ἀνοίξουμε διάπλατα τό στόμα μας πλέκοντας μελῳδία στό Λόγο τοῦ Θεοῦ μέ λόγια ποιητικά, διότι μέ αὐτό, μέ τήν ὑμνῳδία, ἀπό ὅσα δῶρα μᾶς χάρισε ὁ Θεός, εὐχαριστεῖται περισσότερο. ᾨιΔΗ Δ΄. Ἀφοῦ καθαρίσθηκε μέ τή λαμπάδα τῆς μυστικῆς θεωρίας (τοῦ ὁράματος) ὁ Προφήτης Ἀββακούμ, ὑμνώντας τήν ἀνακαίνιση τῶν θνητῶν βγάζει δυνατή φωνή, πού ἐνισχύεται ἀπό τό Ἅγιο Πνεῦμα, καί φανερώνει τή σάρκωση τοῦ ἀνεκφράστου Λόγου τοῦ Θεοῦ, ἀπό τόν ὁποῖο ἔχουν

ΩιΔΗ Ε'. Ἐχθροῦ ζοφώδους, καὶ βεβορβορωμένου, Ἰὸν καθάρσει, Πνεύματος λελουμένοι, Νέαν προσωρμίσθημεν, ἀπλανῆ τρίβον, Ἄγουσαν ἀπρόσιτον, εἰς θυμηδίαν, Μόνοις προσιτήν, οἷς Θεὸς κατηλλάγη.			συντριβεῖ οἱ ἐξουσίες τῶν δυνατῶν (τῶν δαιμόνων). ΩιΔΗ Ε'. Λουσμένοι μέ τήν κάθαρση τοῦ ἌγίουΠνεύματος ἀπό τό δηλητήριο τοῦ ἐχθροῦ, τοῦ σκοτεινοῦ καί μολυσμένου, ἀγκυροβολήσαμε τόν σέ λιμάνι σέ νέα ἀσφαλῆ πορεία, ἡ ὁποία ὁδηγεῖ σέ χαρά ἀπρόσιτη (ἀπλησίαστη), καί ἡ ὁποία εἶναι προσιτή μόνο σ' ἐκείνους μέ τούς ὁποίους συμφιλιώθηκε ὁ Θεός.
ΩιΔΗ ΣΤ '. Ἱμερτὸν ἐξέφηνε, σὺν πανολβίῳ Ἤχῳ Πατήρ, ὅν γαστρὸς ἐξηρεύξατο. Ναὶ, φησὶν οὗτος, συμφυὴς γόνος πέλων, Φώταυγος ἐξώρουσεν, ἀνθρώπων γένους, Λόγος τέ μου ζῶν, καὶ βροτὸς προμηθείᾳ.			ΩιΔΗ ΣΤ'. Ὁ Πατέρας μέ τήν τρισμακάρια φωνή του παρουσίασε ἐπιθυμητόν (ἀγαπητόν) ἐκεῖνον, τόν ὁποῖο γέννησε ἀπό τά σπλάχνα του. Ναί, λέγει, αὐτός πού βαπτίζεται, ὑπάρχοντας Υἱός στενά συνδεδεμένος μαζί μου ὡς φῶς τῆς αὐγῆς, ξεπήδησε ἀπό τό γένος τῶν ἀνθρώπων, ὑπάρχοντας καί Λόγος μου ζωντανός, καί ἄνθρωπος ἀπό πρόνοια (ἀγάπη).
ΩιΔΗ Ζ'. Ἔφλεξε ῥείθρῳ, τῶν δρακόντων τὰς κάρας, Ὁ τῆς καμίνου, τὴν μετάρσιον φλόγα, Νέους φέρουσαν, εὐσεβεῖς κατευνάσας· τὴν δυσκάθεκτον, ἀχλὺν ἐξ ἁμαρτίας, Ὅλην πλύνει δέ, τῇ δρόσῳ τοῦ Πνεύματος.			ΩιΔΗ Ζ'. Ἔκαψε μέ νερό τά κεφάλια τῶν δρακόντων, Ἐκεῖνος ὁ ὁποῖος κατεύνασε (καταπράυνε) τήν ὑψωμένη φλόγα τοῦ καμινιοῦ, πού εἶχε μέσα του τούς εὐσεβεῖς νέους· Καί μέ τή δροσιά τοῦ Ἁγίου Πνεύματος πλύνει (διαλύει) ὅλη τήν ἀνυπόφορη καί δυσκολοδιάλυτη καταχνιά τῆς ἁμαρτίας .
ΩιΔΗ Η'. Ἐλευθέρα μέν, ἡ κτίσις γνωρίζεται· Υἱοὶ δὲ φωτός, οἱ πρὶν ἐσκοτισμένοι. Μόνος στενάζει, τοῦ σκότους ὁ προστάτης. Νῦν εὐλογείτω, συντόνως τὸν αἴτιον, Ἡ πρὶν τάλαινα, τῶν ἐθνῶν παγκληρία.			ΩιΔΗ Η '. Ἡ κτίση ἐμφανίζεται ἐλεύθερη, καί ὅσοι προηγουμένως βρίσκονταν στό σκοτάδι, ἀναγνωρίζονται ὡς παιδιά τοῦ φωτός· Μόνος στενάζει ὁ προστάτης τοῦ σκότους, ὁ διάβολος. Τώρα ἄς δοξολογεῖ πρόθυμα τόν αἴτιο αὐτῶν τῶν δώρων ὁλόκληρη ἡ πρίν ταλαίπωρη κληρονομιά (ἡ κοινωνία) τῶν ἐθνῶν.
ΩιΔΗ Θ '.			ΩιΔΗ Θ'.

Μεγάλυνον ψυχή μου, τὴν λυτρωσαμένην, ἡμᾶς ἐκ τῆς κατάρας. Ὢ τῶν ὑπὲρ νοῦν, τοῦ τόκου Σου θαυμάτων, Νύμφη πάναγνε, Μῆτερ εὐλογημένη! Δι' ἧς τυχόντες, παντελοῦς σωτηρίας, Ἐπάξιον κροτοῦμεν, ὡς εὐεργέτῃ, Δῶρον φέροντες, ὕμνον εὐχαριστίας.			Μεγάλυνε, ψυχή μου, αὐτήν πού μᾶς λύτρωσε ἀπό τήν κατάρα. Ὢ στά θαύματα τοῦ Υἱοῦ σου πού ξεπερνοῦν τό νοῦ! Νύμφη πάναγνη, Μητέρα εὐλογημένη· Ἐπειδή μέσα ἀπό σένα βρήκαμε τήν τέλεια σωτηρία, γι' αὐτό συνθέτουμε καί ψάλλουμε δυνατά ὕμνο εὐχαριστίας, ὡς ἀντάξιο δῶρο σ' ἐσένα ὡς εὐεργέτη.
5. ΚΑΤΑΒΑΣΙΑΙ ΤΗΣ ΥΠΑΠΑΝΤΗΣ Ὠιδὴ Α'. Χέρσον ἀβυσσοτόκον πέδον ἥλιος, ἐπεπόλευσέ ποτε· ὡσεὶ τεῖχος γὰρ ἐπάγη, ἑκατέρωθεν ὕδωρ, λαῷ πεζοποντοποροῦντι, καὶ θεαρέστως μέλποντι· ἄσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται. Ὠιδὴ Γ'. Τὸ στερέωμα, τῶν ἐπὶ Σοὶ πεποιθότων, στερέωσον Κύριε, τὴν Ἐκκλησίαν, ἣν ἐκτήσω, τῷ τιμίῳ Σου αἵματι. Ὠιδὴ Δ'. Ἐκάλυψεν οὐρανούς, ἡ ἀρετή Σου Χριστέ· τῆς κιβωτοῦ γὰρ προελθών, τοῦ ἁγιάσματός Σου, τῆς ἀφθόρου Μητρός, ἐν τῷ ναῷ τῆς δόξης Σου, ὤφθης ὡς βρέφος, ἀγκαλοφορούμενος· καὶ ἐπληρώθη τὰ πάντα τῆς Σῆς αἰνέσεως. Ὠιδὴ Ε'. Ὡς εἶδεν Ἡσαΐας συμβολικῶς, ἐν θρόνῳ ἐπηρμένῳ Θεόν, ὑπ' ἀγγέλων δόξης δορυφορούμενον, ὦ τάλας ἐβόα ἐγώ! πρὸ γὰρ εἶδον σωματού-			5. ΚΑΤΑΒΑΣΙΕΣ ΤΗΣ ΥΠΑΠΑΝΤΗΣ Ὠιδὴ Α'. Κάποτε ὁ ἥλιος ἔρριξε τίς ἀκτῖνες του ἐπάνω στό χέρσο (σκληρό) βυθό πού γεννᾶ τήν ἄβυσσο τῆς θάλασσας· διότι τό νερό στερεοποιήθηκε ὡς τεῖχος δεξιά καί ἀριστερά γιά τό λαό, πού πεζοποροῦσε καί ἔψαλλε θεάρεστα· ἄς ψάλουμε στόν Κύριο, διότι εἶναι δοξασμένος. Ὠιδὴ Γ '. Ἐσύ πού εἶσαι τό στήριγμα αὐτῶν πού σέ ἐμπιστεύονται, στερέωσε, Κύριε, τήν Ἐκκλησία, τήν ὁποία ἀπέκτησες μέ τό τίμιό Σου αἷμα. Ὠιδὴ Δ'. Ἐκάλυψε οὐρανούς ἡ ἀρετή σου, Χριστέ· διότι ἀφοῦ προῆλθες ἀπό τήν κιβωτό, τό ἁγίασμά σου, δηλαδή τήν ἄφθορη Μητέρα σου, φάνηκες στό Ναό τῆς δόξης σου ὡς βρέφος πού κρατιόταν στήν ἀγκαλιά· καί γέμισαν τά πάντα ἀπό τή δοξολογία σου. Ὠιδὴ Ε'. Ὅταν ὁ Ἡσαΐας εἶδε συμβολικά σέ θρόνο ὑπερυψωμένο τόν Θεό, νά περιβάλλεται τιμητικά ἀπό ἐνδόξους Ἀγγέλους, φώναζε· ὦ ὁ ταλαίπωρος ἐγώ! διότι προεῖδα τόν Θεό, ὁ ὁποῖος

μενον Θεόν, φωτὸς ἀνεσπέρου, καὶ εἰρήνης δεσπόζοντα.			θά πάρει σῶμα, καί ὁ ὁποῖος εἶναι Κύριος τοῦ ἀνεσπέρου (τοῦ ἀδύτου) φωτός καί τῆς εἰρήνης.
ᾨιΔΗ ΣΤ'.			ᾨιΔΗ ΣΤ'.
Ἐβόησέ Σοι, ἰδὼν ὁ πρέσβυς, τοῖς ὀφθαλμοῖς τὸ σωτήριον, ὃ λαοῖς ἐπέστη· ἐκ Θεοῦ, Χριστέ, Σὺ Θεός μου.			Ὅταν ὁ γέρων Συμεών εἶδε μέ τά μάτια του τή σωτηρία πού ἦλθε γιά τούς λαούς, δηλαδή τό Χριστό, φώναξε δυνατά· Χριστέ μου, ἐσύ εἶσαι Θεός μου, πού προῆλθες ἀπό τόν Θεό Πατέρα..
ᾨιΔΗ Ζ'.			ᾨιΔΗ Ζ'.
Σὲ τὸν ἐν πυρὶ δροσίσαντα, Παῖδας θεολογήσαντας, καὶ Παρθένῳ ἀκηράτῳ ἐνοικήσαντα, Θεὸν Λόγον ὑμνοῦμεν, εὐσεβῶς μελῳδοῦντες· εὐλογητὸς ὁ Θεός, ὁ τῶν πατέρων ἡμῶν.			Ἐσένα, ὁ ὁποῖος δρόσισες μέσα στή φωτιά τούς νέους πού θεολόγησαν, καί κατοίκησες σέ ἀμόλυντη Παρθένο, ἐσένα, τόν Θεό Λόγο, ὑμνοῦμε ψάλλοντας μελῳδικά μέ εὐλάβεια· εἶσαι δοξασμένος ὁ Θεός τῶν πατέρων μας.
ᾨιΔΗ Η'.			ᾨιΔΗ Η'.
Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.			Ὑμνοῦμε, δοξολογοῦμε καί προσκυνοῦμε τόν Κύριο.
Ἀστέκτῳ πυρὶ ἑνωθέντες, οἱ θεοσεβείᾳ προεστῶτες Νεανίαι, τῇ φλογὶ δὲ μὴ λωβηθέντες, θεῖον ὕμνον ἔμελπον· Εὐλογεῖτε, πάντα τὰ ἔργα τὸν Κύριον, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.			Ἑνωμένοι μέ τήν ἀνυπόφορη φωτιά οἱ νέοι πού πρωτοστατοῦσαν στή θεοσέβεια, χωρίς νά βλαβοῦν ἀπό τή φλόγα, ἔψαλλαν θεϊκό ὕμνο· δοξάζετε ὅλα τά ἔργα τόν Κύριο, καί ὑπερυψώνετέ τον σέ ὅλους τούς αἰῶνες.
ᾨιΔΗ Θ'.			ᾨιΔΗ Θ'.
Θεοτόκε ἡ ἐλπίς, πάντων τῶν Χριστιανῶν, σκέπε φρούρει φύλαττε, τοὺς ἐλπίζοντας εἰς Σέ.			Θεοτόκε, Ἐσύ πού εἶσαι ἡ ἐλπίδα ὅλων τῶν χριστιανῶν, σκέπε, φρούρει, φύλαττε αὐτούς πού ἐλπίζουν σ' ἐσένα.
Ἐν νόμῳ, σκιᾷ καὶ γράμματι, τύπον κατίδωμεν οἱ πιστοί· πᾶν ἄρσεν τὸ τὴν μήτραν διανοῖγον, ἅγιον Θεῷ· διὸ πρωτότοκον Λόγον, Πατρὸς ἀνάρχου Υἱόν, πρωτοτοκούμενον Μητρί, ἀπειράνδρῳ μεγαλύνομεν.			Μέσα στό Νόμο καί κάτω ἀπό τή σκιά καί τό γράμμα του, ἄς δοῦμε καλά οἱ πιστοί μιά προεικόνιση· κάθε πρωτότοκο ἀρσενικό παιδί εἶναι ἀφιερωμένο στόν Θεό· γι' αὐτό, τόν πρωτότοκο Λόγο, τόν Υἱό τοῦ ἀνάρχου προαιωνίου Πατρός, πού γεννιέται πρωτότοκος ἀπό Μητέρα χωρίς πεῖρα ἀνδρός,

6. ΚΑΤΑΒΑΣΙΑΙ ΤΟΥ ΠΑΣΧΑ ΩιΔΗ Α΄. Ἀναστάσεως ἡμέρα λαμπρυνθῶμεν Λαοί, Πάσχα Κυρίου, Πάσχα· ἐκ γὰρ θανάτου πρὸς ζωήν, καὶ ἐκ γῆς πρὸς οὐρανόν, Χριστὸς ὁ Θεός, ἡμᾶς διεβίβασεν, ἐπινίκιον ᾄδοντας. ΩιΔΗ Γ΄. Δεῦτε πόμα πίωμεν καινόν, οὐκ ἐκ πέτρας ἀγόνου τερατουργούμενον, ἀλλ' ἀφθαρσίας πηγήν, ἐκ τάφου ὀμβρήσαντος Χριστοῦ, ἐν ᾧ στερεούμεθα. ΩιΔΗ Δ΄. Ἐπὶ τῆς θείας φυλακῆς ὁ θεηγόρος Ἀββακούμ, στήτω μεθ' ἡμῶν καί δεικνύτω, φαεσφόρον Ἄγγελον, διαπρυσίως λέγοντα· σήμερον σωτηρία τῷ κόσμῳ, ὅτι ἀνέστη Χριστός ὡς παντοδύναμος. ΩιΔΗ Ε΄. Ὀρθρίσωμεν ὄρθρου βαθέος, καὶ ἀντὶ μύρου τὸν ὕμνον προσοίσομεν τῷ Δεσπότῃ, καὶ Χριστὸν ὀψόμεθα, δικαιοσύνης ἥλιον, πᾶσι ζωὴν ἀνατέλλοντα. ΩιΔΗ ΣΤ΄. Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς, καὶ συνέτριψας μοχλοὺς αἰωνίους, κατόχους πεπεδημένων, Χριστέ, καὶ τριήμερος ὡς ἐκ κήτους Ἰωνᾶς, ἐξανέστης τοῦ τάφου. ΩιΔΗ Ζ΄.			ἄς τόν μεγαλύνουμε. 6. ΚΑΤΑΒΑΣΙΕΣ ΤΟΥ ΠΑΣΧΑ ΩιΔΗ Α΄. Σήμερα εἶναι ἡμέρα ἀναστάσεως, ἄςγιορτάσουμε λαμπρά, λαοί. Εἶναι Πάσχα, Κυρίου Πάσχα. Διότι ὁ Χριστός ὁ Θεός μᾶς μετέφερε ἀπό τό θάνατο στή ζωή καί ἀπό τή γῆ στόν οὐρανό, ψάλλοντας ἐπινίκιον ὕμνο. ΩιΔΗ Γ΄. Ἐλᾶτε νά πιοῦμε καινούριο ποτό, τό ὁποῖο δέν προέρχεται θαυματουργικά ἀπό ἄγονη πέτρα, ἀλλά ποτό πού εἶναι πηγή ἀφθαρσίας, καί πού τό ἔκανε νά πηγάσει ἀπό τόν τάφο ὁ Χριστός, ἐπάνω στόν ὁποῖο εἴμαστε στερεωμένοι. ΩιΔΗ Δ΄. Ἐπάνω στή θεϊκή σκοπιά ὁ θεόπνευστος Ἀββακούμ ἄς σταθεῖ μαζί μας, καί ἄς μᾶς δείξει φωτοφόρο Ἄγγελο, πού λέγει μέ δυνατή φωνή· σήμερα ἦλθε ἡ σωτηρία στόν κόσμο, διότι ἀναστήθηκε ὁ Χριστός ὡς παντοδύναμος. ΩιΔΗ Ε΄. Ἄς ξυπνήσουμε ἀπό τά βαθιά χαράμαματα, καί ἀντί μύρου ἄς προσφέρουμε τόν ὕμνο μας στόν Κύριο. Καί θά δοῦμε τό Χριστό, τόν Ἥλιο τῆς δικαιοσύνης,νά ἀνατέλλει σέ ὅλους τή ζωή. ΩιΔΗ ΣΤ΄. Κατέβηκες στά κατώτατα μέρη τῆς γῆς, καί συνέτριψες τούς αἰώνιους μοχλούς, πού ἦταν ἐξουσιαστές τῶν φυλακισμένων, Χριστέ. Καί τριήμερος, ὅπως ἀπό τό κῆτος ὁ Ἰωνᾶς, ἀναστήθηκες ἀπό τόν τάφο. ΩιΔΗ Ζ΄.

Ὁ Παῖδας ἐκ καμίνου ῥυσάμενος, γενόμενος ἄνθρωπος, πάσχει ὡς θνητός, καὶ διὰ Πάθους τὸ θνητόν, ἀφθαρσίας ἐνδύει εὐπρέπειαν, ὁ μόνος εὐλογητὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος. ΩιΔΗ Η'. Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον. Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα, ἡ μία τῶν Σαββάτων, ἡ βασιλὶς καὶ κυρία, ἑορτῶν ἑορτή, καὶ πανήγυρις ἐστὶ πανηγύρεων, ἐν ᾗ εὐλογοῦμεν, Χριστὸν εἰς τοὺς αἰῶνας. ΩιΔΗ Θ'. Ὁ Ἄγγελος ἐβόα τῇ Κεχαριτωμένῃ· Ἁγνή Παρθένε, χαῖρε, καί πάλιν ἐρῶ χαῖρε, ὁ σός Υἱός ἀνέστη τριήμερος ἐκ τάφου. Φωτίζου, φωτίζου, ἡ νέα Ἱερουσαλήμ· ἡ γὰρ δόξα Κυρίου ἐπὶ σὲ ἀνέτειλε. Χόρευε νῦν, καὶ ἀγάλλου Σιών, σὺ δὲ ἁγνή, τέρπου Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου. 7. ΚΑΤΑΒΑΣΙΑΙ ΤΗΣ ΑΝΑΛΗΨΕΩΣ ΩιΔΗ Α'. Τῷ Σωτῆρι Θεῷ, τῷ ἐν θαλάσσῃ λαόν, ποσὶν ἀβρόχοις ὁδηγήσαντι, καὶ Φαραὼ πανστρατιᾷ καταποντίσαντι, αὐτῷ μόνῳ ᾄσωμεν, ὅτι δεδόξασται. ΩιΔΗ Γ'. Δυνάμει τοῦ Σταυροῦ σου Χριστέ, στερέωσόν			Αὐτός πού γλύτωσε τούς νέους ἀπό τό καμίνι, ἀφοῦ ἔγινε ἄνθρωπος πάσχει ὡς θνητός, καί μέ τό πάθος ντύνει τή θνητότητα μέ τήν ὡραιότητα τῆς ἀφθαρσίας, ὁ μόνος δοξασμένος Θεός τῶν πατέρων καί ὑπερένδοξος. ΩιΔΗ Η'. Ὑμνοῦμε, δοξολογοῦμε καί προσκυνοῦμε τόν Κύριο. Αὐτή ἡ ὀνομαστή καί ἁγία ἡμέρα, ἡ πρώτη τῆς ἑβδομάδας, ἡ βασίλισσα καί κυρία, εἶναι ἑορτή ἑορτῶν (ἀνώτερη ἀπό τίς ἑορτές), καί πανήγυρις πανηγύρεων (μεγαλύτερη ἀπό τίς πανηγύρεις), κατά τήν ὁποία δοξολογοῦμε τό Χριστό στούς αἰῶνες. ΩιΔΗ Θ'. Ὁ Ἄγγελος φώναζε στήν Κεχαριτωμένη· Ἁγνή Παρθένε χαῖρε, καί πάλι θά πῶ χαῖρε, διότι ὁ Υἱός σου ἀναστήθηκε τριήμερος ἀπό τόν τάφο. Φωτίζου, φωτίζου, ἡ νέα Ἱερουσαλήμ (ἡ χριστιανοσύνη)· διότι ἡ δόξα τοῦ Κυρίου ἐπάνω σ' ἐσένα ἀνέτειλε. Χόρευε τώρα καί ἀγάλλου Σιών· καί Ἐσύ, Ἁγνή Θεοτόκε, νά τέρπεσαι (νά χαίρεσαι) γιά τήν ἀνάσταση τοῦ τέκνου σου. 7. ΚΑΤΑΒΑΣΙΕΣ ΤΗΣ ΑΝΑΛΗΨΕΩΣ ΩιΔΗ Α'. Στό Σωτήρα Θεό, ὁ ὁποῖος ὁδήγησε τόν λαό στή θάλασσα μέ πόδια στεγνά, καί καταπόντισε τό Φαραώ μέ ὅλη τή στρατιά του, σ' αὐτόν μόνο ἄς ψάλουμε, διότι εἶναι δοξασμένος. ΩιΔΗ Γ'. Μέ τή δύναμή τοῦ Σταυροῦ σου, Χριστέ, στερέωσέ μου τή

μου τὴν διάνοιαν, εἰς τὸ ὑμνεῖν καὶ δοξάζειν σου, τὴν σωτήριον Ἀνάληψιν. Ὠιδὴ Δ'. Εἰσακήκοα Κύριε τὴν ἀκοήν, τῆς δυναστείας τοῦ Σταυροῦ σου, ὡς Παράδεισος ἠνοίγη δι' αὐτοῦ, καὶ ἐβόησα· δόξα τῇ δυνάμει σου Κύριε. Ὠιδὴ Ε'. Ὀρθρίζοντες βοῶμέν σοι· Κύριε Σῶσον ἡμᾶς· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν. Ὠιδὴ ΣΤ'. Ἐκύκλωσέ με ἄβυσσος, ταφή μοι τὸ κῆτος ἐγένετο· ἐγὼ δὲ ἐβόησα πρὸς σὲ τὸν φιλάνθρωπον καὶ ἔσωσέ με ἡ δεξιά σου Κύριε. Ὠιδὴ Ζ'. Ὁ ἐν καμίνῳ πυρός, τοὺς ὑμνολόγους σώσας Παῖδας, εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν. Ὠιδὴ Η'. Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον. Τὸν ἐκ Πατρὸς πρὸ αἰώνων, γεννηθέντα Υἱὸν καὶ Θεόν, καὶ ἐπ' ἐσχάτων τῶν χρόνων σαρκωθέντα ἐκ Παρθένου Μητρός, ἱερεῖς ὑμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας. Ὠιδὴ Θ'. Σὲ τὴν ὑπὲρ νοῦν καὶ λόγον Μητέρα Θεοῦ, τὴν ἐν χρόνῳ τὸν ἄχρονον ἀφράστως κυήσασαν, οἱ πιστοὶ ὁμοφρόνως μεγαλύνομεν.			διάνοια, γιά νά ὑμνῶ, καί νά δοξάζω τή σωτηριώδη Ἀνάληψή σου. Ὠιδὴ Δ'. Ἄκουσα καλά τή φήμη γιά τή δύναμη τοῦ Σταυροῦ σου, ὅτι δηλαδή μέ αὐτόν ἀνοίχθηκε ὁ Παράδεισος, καί φώναξα δυνατά· Δόξα στή δύναμή σου, Κύριε. Ὠιδὴ Ε'. Ξυπνώντας ἀπό τά χαράματα σοῦ φωνάζουμε, Κύριε· σῶσε μας· διότι Ἐσύ εἶσαι ὁ Θεός μας, καί ἐκτός ἀπό σένα ἄλλον δέν ἀναγνωρίζουμε. Ὠιδὴ ΣΤ'. Μ' ἐκύκλωσε ἡ ἄβυσσος, τό κῆτος ἔγινε ὁ τάφος μου· ἐγώ ὅμως φώναξα πρός ἐσένα τό φιλάνθρωπο, καί μέ ἔσωσε τό δεξί σου χέρι , Κύριε. Ὠιδὴ Ζ'. Ἐσύ, ὁ ὁποῖος στό καμίνι τῆς φωτιᾶς ἔσωσες τούς νέους, (πού ἔψαλλαν ὕμνους), Ἐσύ, Θεέ τῶν πατέρων μας, ἄς εἶσαι δοξασμένος. Ὠιδὴ Η'. Ὑμνοῦμε, δοξολογοῦμε καί προσκυνοῦμε τόν Κύριο. Τόν Υἱό καί Θεό, ὁ ὁποῖος γεννήθηκε προαιώνια ἀπό τόν Πατέρα, καί τώρα τά τελευταῖα χρόνια σαρκώθηκε ἀπό Παρθένο Μητέρα, ἐσεῖς ἱερεῖς, ὑμνεῖτε τον, λαέ, ὑπερυψώνετέ τον σέ ὅλους τούς αἰῶνες. Ὠιδὴ Θ'. Ἐσένα, ἡ ὁποία εἶσαι Μητέρα τοῦ Θεοῦ ἐπάνω ἀπό τή δύναμη τοῦ νοῦ καί τήν λογική, καί ἡ ὁποία κράτησες στά σπλάχνα σου κατά τρόπο ἀνέκφραστο τόν ἄχρονο σέ χρονι-

8. ΚΑΤΑΒΑΣΙΑΙ ΠΕΝΤΗΚΟΣΤΗΣ α. Καταβασίαι Πεζαί. ΩιΔΗ Α'. Πόντῳ ἐκάλυψε Φαραὼ σὺν ἅρμασιν, ὁ συντρίβων πολέμους ἐν ὑψηλῷ βραχίονι, ᾄσωμεν αὐτῷ, ὅτι δεδόξασται. ΩιΔΗ Γ'. Τὴν ἐξ ὕψους δύναμιν τοῖς Μαθηταῖς, Χριστέ, ἕως ἂν ἐνδύσησθε ἔφης, καθίσατε ἐν Ἱερουσαλήμ, ἐγὼ δὲ ὡς ἐμὲ Παράκλητον ἄλλον, Πνεῦμα τὸ ἐμόν τε καὶ Πατρός ἀποστελῶ, ἐν ᾧ στερεωθήσεσθε. ΩιΔΗ Δ'. Κατανοῶν ὁ Προφήτης, τὴν ἐπ' ἐσχάτων σου, Χριστὲ, ἔλευσιν ἀνεβόα· τὴν σὴν εἰσακήκοα, Κύριε, δυναστείαν, ὅτι πάντας τοῦ σῶσαι, τοὺς χριστούς σου ἐλήλυθας. ΩιΔΗ Ε'. Τὸ διὰ τὸν φόβον σου ληφθὲν, Κύριε, ἐν γαστρὶ τῶν Προφητῶν, καὶ κυηθὲν ἐπὶ τῆς γῆς πνεῦμα σωτηρίας, ἀποστολικὰς καρδίας κτίζει καθαράς, καὶ ἐν τοῖς πιστοῖς εὐθὲς ἐγκαινίζεται· φῶς γὰρ καὶ εἰρήνη, διότι τὰ σὰ προστάγματα. ΩιΔΗ ΣΤ'. Ναυτιῶν τῷ σάλῳ, τῶν βιοτικῶν μελημάτων,			κή στιγμή, οἱ πιστοί μέ τό ἴδιο φρόνημα σέ μεγαλύνουμε. 8. ΚΑΤΑΒΑΣΙΕΣ ΤΗΣ ΠΕΝΤΗΚΟΣΤΗΣ α. Καταβασίες Πεζές. ΩιΔΗ Α'. Μέ τά νερά τῆς θάλασσας σκέπασε τό Φαραώ μαζί μέ τά ἅρματα, αὐτός ὁ ὁποῖος συντρίβει τούς πολέμους (τούς ἐχθρούς) μέ πανίσχυρο χέρι· Ἄς ψάλουμε σ' αὐτόν, γιατί εἶναι δοξασμένος. ΩιΔΗ Γ'. Στούς Μαθητές, Χριστέ, εἶπες· Καθίστε στήν Ἱερουσαλήμ, ἕως ὅτου ντυθεῖτε τήν ἐξ ὕψους δύναμη. Κι ἐγώ θά σᾶς στείλω ἄλλον Παράκλητο (Παρηγορητή) ὅπως ἐμένα, τό Πνεῦμα τό δικό μου καί τοῦ Πατρός, μέ τό ὁποῖο θά στερεωθεῖτε στήν πίστη. ΩιΔΗ Δ'. Κατανοώντας ὁ Προφήτης, Χριστέ, τόν ἐρχομό σου κατά τά τελευταῖα χρόνια, ἐφώναζε δυνατά· ἄκουσα, Κύριε, μέ προσοχή γιά τή δική σου δύναμη, ὅτι δηλαδή ἦλθες νά σώσεις ὅλους τούς χρισμένους μέ τή χάρη σου. ΩιΔΗ Ε'. Τό Πνεῦμα τῆς σωτηρίας, τό ὁποῖο χάρη στό φόβο σου συνελήφθη, Κύριε, πνευματικά στά σπλάχνα τῶν Προφητῶν, καί κυοφορήθηκε ἐπάνω στή γῆ, κάνει καθαρές τίς καρδιές τῶν Ἀποστόλων, καί ἐγκαινίζεται (ἀνανεώνεται) στούς πιστούς ὁδηγώντας τους στήν εὐθεῖα ὁδό. Διότι πράγματι τά προστάγματά σου εἶναι φῶς καί εἰρήνη. ΩιΔΗ ΣΤ'. Καθώς ζαλίζομαι ἀπό τήν τρικυμία τῶν βιοτικῶν φρον

συμπλόοις ποντούμενος ἁμαρτίαις, καὶ ψυχοφθόρῳ θηρὶ προσριπτούμενος, ὡς ὁ Ἰωνᾶς, Χριστὲ, βοῶ σοι· Ἐκ θανατηφόρου με βυθοῦ ἀνάγαγε.			τίδων, καί καταποντίζομαι ἀπό τίς ἁμαρτίες πού συμπλέουν μαζί μου, καί καθώς πέφτω στό στόμα τοῦ ψυχοφθόρου θηρίου, τοῦ διαβόλου, ὅπως ὁ Ἰωνᾶς, Χριστέ, σοῦ φωνάζω· βγάλε με ἀπό τό θανητηφόρο βυθό.
ΩιΔΗ Ζ΄.			ΩιΔΗ Ζ΄.
Οἱ ἐν καμίνῳ τοῦ πυρὸς ἐμβληθέντες ὅσιοι Παῖδες, τὸ πῦρ εἰς δρόσον μετέβαλον, διὰ τῆς ὑμνῳδίας, οὕτω βοῶντες· εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.			Οἱ εὐσεβεῖς νέοι πού ρίχθηκαν στό καμίνι τῆς φωτιᾶς, μετέβαλαν τή φωτιά σέ δροσιά μέ τήν ὑμνῳδία ψάλλοντας ὡς ἑξῆς: Εἶσαι, Κύριε, δοξασμένος, ὁ Θεός τῶν πατέρων μας.
ΩιΔΗ Η΄.			ΩιΔΗ Η΄.
Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.			Ὑμνοῦμε, δοξολογοῦμε καί προσκυνοῦμε τόν Κύριο.
Ἄφλεκτος πυρὶ ἐν Σινᾷ προσομιλοῦσα, βάτος Θεὸν ἐγνώρισε, τῷ βραδυγλώσσῳ καὶ δυσήχῳ Μωσεῖ, καὶ Παῖδας ζῆλος Θεοῦ, τρεῖς ἀναλώτους τῷ πυρὶ ὑμνῳδοὺς ἔδειξε· πάντα τὰ ἔργα τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.			Ἡ βάτος στό Σινᾶ, πού ἐνῷ ἦταν σέ ἐπαφή μέ τή φωτιά, παρέμενε ἄφλεκτη, ἀποκάλυψε τόν Θεό στό βραδύγλωσσο καί κακόηχο (ἀδύνατο στή φωνή) Μωυσῆ· Καί τούς τρεῖς νέους, οἱ ὁποῖοι ἔμειναν ἀπρόσβλητοι ἀπό τή φωτιά, ὁ ζῆλος τοῦ Θεοῦ τούς ἀνέδειξε ὑμνῳδούς· ὅλα τά ἔργα τόν Κύριο ὑμνεῖτε, καί ὑπερυψώνετέ τον σέ ὅλους τούς αἰῶνες.
ΩιΔΗ Θ΄.			ΩιΔΗ Θ΄.
Μὴ τῆς φθορᾶς διαπείρᾳ κυοφορήσασα, καὶ παντεχνήμονι Λόγῳ σάρκα δανείσασα, Μῆτερ ἀπείρανδρε, Παρθένε Θεοτόκε, δοχεῖον τοῦ ἀστέκτου, χωρίον τοῦ ἀπείρου πλαστουργοῦ σου, σὲ μεγαλύνομεν.			Ἐπειδή ἐκυοφόρησες χωρίς πεῖρα φθορᾶς, καί ἐπειδή δάνεισες σάρκα στό Λόγο, τοῦ Θεοῦ, τό Δημιουργό τῶν πάντων ἐσύ, Μητέρα χωρίς ἄνδρα, Παρθένε Θεοτόκε, δοχεῖο τοῦ ἀστέκτου, (τοῦ ἀπεριόριστου), κατάλυμα (κατοικία) τοῦ ἀπείρου Πλαστουργοῦ σου, σέ μεγαλύνουμε.
ΚΑΤΑΒΑΣΙΑΙ ΤΗΣ ΠΕΝΤΗΚΟΣΤΗΣ			ΚΑΤΑΒΑΣΙΕΣ ΤΗΣ ΠΕΝΤΗΚΟΣΤΗΣ
β. Καταβασίαι Ἰαμβικαὶ.			β. Καταβασιες Ἰαμβικές.
ΩιΔΗ Α΄.			ΩιΔΗ Α΄.
Θείῳ καλυφθεὶς ὁ βραδύγλωσσος γνόφῳ, Ἐρρητόρευσε τὸν θεόγραφον νόμον. Ἰλὺν γὰρ			Ἀφοῦ καλύφθηκε ἀπό θεϊκό σκοτάδι ὁ βραδύγλωσσος Μωυσῆς, ἐρρητόρευσε τό Νόμο τό γραμμένο ἀπό τόν Θεό·

ἐκτινάξας ὄμματος νόου, Ὁρᾷ τὸν ὄντα καὶ μυεῖται Πνεύματος, Γνῶσιν, γεραίρων ἐνθέοις τοῖς ᾄσμασιν. ΩιΔΗ Γ'. Ἔρρηξε γαστρὸς ἠτεκνωμένης πέδας, Ὕβριν τε δυσκάθεκτον εὐτεκνουμένης, Μόνη προσευχή τῆς προφήτιδος πάλαι, Ἄννης, φερούσης πνεῦμα συντετριμμένον, Πρὸς τὸν δυνάστην καὶ Θεὸν τῶν γνώσεων. ΩιΔΗ Δ'. Ἄναξ ἀνάκτων, οἷος ἐξ οἵου μόνος, Λόγος προελθών, Πατρὸς ἐξ ἀναιτίου, Ἰσοσθενές σου Πνεῦμα τοῖς Ἀποστόλοις, Νημερτὲς ἐξέπεμψας ὡς εὐεργέτης, Ἄιδουσι· Δόξα τῷ κράτει σου, Κύριε. ΩιΔΗ Ε'. Λυτήριον κάθαρσιν ἀμπλακημάτων, Πυρίπνοον δέξασθε Πνεύματος δρόσον, Ὦ τέκνα φωτόμορφα τῆς ἐκκλησίας. Νῦν ἐκ Σιὼν γὰρ ἐξελήλυθε νόμος, Ἡ γλωσσοπυρσόμορφος Πνεύματος χάρις. ΩιΔΗ ΣΤ'. Ἱλασμὸς ἡμῖν Χριστὲ καὶ σωτηρία, Ὁ Δεσπότης ἔλαμψας ἐκ τῆς Παρθένου, Ἵν', ὡς προφήτην θηρὸς ἐκ θαλαττίου Στέρνων Ἰωνᾶν, τῆς φθορᾶς			Καί ἀφοῦ πέταξε τή λάσπη (τήν ἀκαθαρσία) μακριά ἀπό τά μάτια τοῦ νοῦ του, βλέπει τόν Θεό τόν ἀληθινό, καί μυεῖται στή γνώση τοῦ Πνεύματος, δοξάζοντας τόν Θεό μέ θεϊκά ᾄσματα. ΩιΔΗ Γ'. Διέλυσε τά δεσμά τῆς στείρας κοιλιᾶςτῆς Ἄννας καί τήν ἀκατάσχετη (τήν ἀσυγκράτητη, ἀνυπόφορη) περιφρόνηση τῆς πολύτεκνης (Φεννάνας) μόνη ἡ προσευχή τῆς προφήτισσας Ἄννας παλαιά, ἡ ὁποία εἶχε πνεῦμα συντετριμμένο (ταπεινό), πρός τόν ἐξουσιαστή καί παντογνώστη Θεό. ΩιΔΗ Δ'. Βασιλιά Βασιλέων, Ἐσύ πού γεννήθηκες μόνος ἀπό Μόνο, δηλαδή Λόγος πού προῆλθες ἀπό Πατέρα ἀναίτιο, αὐθύπαρκτο, (πού δέν ἔχει ἀπό ἄλλον τήν αἰτία τῆς ὑπάρξεώς του). Ὡς εὐεργέτης ἔστειλες ἰσοδύναμο μ' ἐσένα, ἀψευδές (ἀλάνθαστο) Πνεῦμα στούς Ἀποστόλους, οἱ ὁποῖοι ψάλλουν· δόξα στή δύναμή σου, Κύριε. ΩιΔΗ Ε'. Ὦ τέκνα φωτόμορφα τῆς Ἐκκλησίας, δεχθεῖτε τήν πυρίπνοη δροσιά (τή δροσιά πού πνέει φωτιά) τοῦ Ἁγίου Πνεύματος, δηλαδή τήν κάθαρση πού ἀπαλλάσσει ἀπό τά ἁμαρτήματα· Διότι τώρα ἀπό τήν Ἱερουσαλήμ ἐβγῆκε ὡς ἄλλος νόμος, ἡ χάρη τοῦ Πνεύματος μέ μορφή πυρίνων γλωσσῶν. ΩιΔΗ ΣΤ'. Ὡς συγχώρηση γιά μᾶς, Χριστέ, καί σωτηρία, Ἐσύ ὁ Κύριος ἀνέτειλες ἀπό τήν Παρθένο, ὥστε, ὅπως τόν Προφήτη Ἰωνᾶ (τόν ἅρπαξες) ἀπό τά σπλάχνα τοῦ θαλάσσιου θηρίου, ἔτσι νά ἁρπάξεις ἀπό τή φθορά ὁλόκληρο τόν Ἀδάμ, στήν

διαρπάσης Ὅλον τὸν Ἀδάμ, παγγενῆ πεπτωκότα. ΩιΔΗ Ζ'. Σύμφωνον ἐθρόησεν ὀργάνων μέλος, Σέβειν τὸ χρυσότευκτον ἄψυχον βρέτας, Ἡ τοῦ Παρακλήτου δὲ φωσφόρος χάρις, Σεβασμιάζει τοῦ βοᾶν· Τριὰς μόνη, Ἰσοσθενής, ἄναρχος, εὐλογητὸς εἶ. ΩιΔΗ Η'. Αἰνοῦμεν, εὐλογοῦμεν καί προσκυνοῦμεν τόν Κύριον Λύει τὰ δεσμά, καὶ δροσίζει τὴν φλόγα, Ὁ τρισσοφεγγὴς τῆς θεαρχίας τύπος. Ὑμνοῦσι Παῖδες, εὐλογεῖ δὲ τὸν μόνον Σωτῆρα καὶ παντουργόν, ὡς εὐεργέτην, Ἡ δημιουργηθεῖσα σύμπασα κτίσις. ΩιΔΗ Θ'. Χαίροις Ἄνασσα, μητροπάρθενον κλέος· Ἅπαν γὰρ εὐδίνητον εὔλαλον στόμα, Ῥητρεῦον, οὐ σθένει σε μέλπειν ἀξίως, ἰλιγγιᾷ δὲ νοῦς ἅπας σου τὸν τόκον Νοεῖν· ὅθεν σε συμφώνως δοξάζομεν. 9. ΚΑΤΑΒΑΣΙΑΙΤΗΣ ΜΕΤΑΜΟΡΦΩΣΕΩΣ ΩιΔΗ Α'. Χοροὶ Ἰσραήλ, ἀνίκμοις ποσί, πόντον ἐρυθρόν, καὶ ὑγρὸν βυθὸν διελάσαντες, ἀναβάτας τριστάτας, δυσμενεῖς ὁρῶντες ἐν αὐτῷ ὑποβρυχίους, ἐν ἀγαλλιάσει ἔμελπον· Ἄισωμεν τῷ			ὁποία (φθορά) ἔπεσε μαζί μέ ὅλο τό γένος του. ΩιΔΗ Ζ'. Ὁμόφωνα ἀντήχησε ἡ μουσική τῶν ὀργάνων, γιά νά ἀποδώσουν λατρεία στό κατασκευασμένο ἀπό χρυσό ἄψυχο ξόανο (ἄγαλμα)· Ἡ φωτοφόρος ὅμως χάρη τοῦ Παρακλήτου, τοῦ Ἁγίου Πνεύματος, μᾶς προκαλεῖ σεβασμό, γιά νά φωνάζουμε· Τριάδα μόνη, ἰσοδύναμη καί ἄναρχη, αἰώνια, εἶσαι δοξασμένη. ΩιΔΗ Η'. Ὑμνοῦμε, δοξολογοῦμε καί προσκυνοῦμε τόν Κύριο. Λύει τά δεσμά καί δροσίζει τή φλόγα, ἡ τρίφωτη ἀπεικόνιση τῆς Θεαρχίας (τῆς Τριαδικῆς Θεότητας). Ὑμνοῦν οἱ νέοι, καί ὅλη ἡ φύση πού δημιουργήθηκε εὐλογεῖ τόν μόνο Σωτῆρα καί Δημιουργό τῶν πάντων, ὡς εὐεργέτη. ΩιΔΗ Θ'. Χαῖρε Βασίλισσα, δόξα τῶν μητέρων καί παρθένων· διότι κάθε στόμα, ὅσο κι ἄν εἶναι εὔστροφο καί εὔγλωττο, ρητορεύοντας, ἀδυνατεῖ, νά σέ ὑμνεῖ ἐπάξια· Καί αἰσθάνεται ἴλιγγο κάθε διάνοια, ὅταν προσπαθεῖ, νά κατανοήσει τή γέννησή σου· Γι' αὐτό ὁμόφωνα σέ δοξάζουμε. 9. ΚΑΤΑΒΑΣΙΕΣ ΤΗΣ ΜΕΤΑΜΟΡΦΩΣΕΩΣ ΩιΔΗ Α'. Τά πλήθη τοῦ Ἰσραήλ, ἀφοῦ μέ ἄβρεχα πόδια διαπέρασαν τήν Ἐρυθρά θάλασσα καί τόν ὑγρό βυθό, βλέποντας καταποντισμένους σ' αὐτόν τούς ἐχθρούς, τούς ἱππεῖς καί τούς ἁρματηλάτες, μέ ἀγαλλίαση ἔψαλλαν· Ἄς ψάλουμε στόν

Θεῷ ἡμῶν, ὅτι δεδόξασται. ᾨιΔΗ Γ'. Τόξον δυνατῶν ἠσθένησε, καὶ οἱ ἀσθενοῦντες, περιεζώσαντο δύναμιν· διὰ τοῦτο ἐστερεώθη, ἐν Κυρίῳ ἡ καρδία μου. ᾨιΔΗ Δ'. Εἰσακήκοα τὴν ἔνδοξον οἰκονομίαν σου, Χριστὲ ὁ Θεός, ὅτι ἐτέχθης ἐκ τῆς Παρθένου, ἵνα ἐκ πλάνης ῥύσῃ τοὺς κραυγάζοντας· Δόξα τῇ δυνάμει σου, Κύριε. ᾨιΔΗ Ε'. Ὁ τοῦ φωτὸς διατμήξας τὸ πρωτόγονον χάος, ὡς ἐν φωτὶ τὰ ἔργα ὑμνεῖ σε, Χριστέ, τὸν Δημιουργόν, ἐν τῷ φωτί σου τὰς ὁδοὺς ἡμῶν εὔθυνον. ᾨιΔΗ ΣΤ'. Ἐν τῷ θλίβεσθαί με, ἐβόησα πρὸς Κύριον, καὶ ἐπήκουσέ μου, ὁ Θεὸς τῆς σωτηρίας μου. ᾨιΔΗ Ζ'. Ἀβραμιαῖοι ποτέ, ἐν Βαβυλῶνι Παῖδες, καμίνου φλόγα κατεπάτησαν, καὶ ὑμνοῦντες ἔψαλλον· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ. ᾨιΔΗ Η'. Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσνοῦμεν τὸν Κύριον. Οἱ ἐν Βαβυλῶνι Παῖδες, τῷ θείῳ πυρπολούμενοι ζήλῳ, τυράννου καὶ φλογὸς ἀπειλήν, ἀνδρείως κατεπάτησαν, καὶ μέσον πυρὸς ἐμβληθέντες, δροσιζόμενοι ἔψαλλον· Εὐλογεῖτε			Θεό μας, διότι εἶναι δοξασμένος. ᾨιΔΗ Γ'. Τό τόξο τῶν δυνατῶν ἐξασθένησε, καί οἱ ἀσθενεῖς ζώσθηκαν μέ δύναμη· Γι' αὐτό στερεώθηκε ἡ καρδιά μου μέ τή δύναμη τοῦ Κυρίου. ᾨιΔΗ Δ'. Ἄκουσα τό ἔνδοξο σχέδιό σου γιά τή σωτηρία μας, Χριστέ Θεέ μου· Ὅτι δηλαδή γεννήθηκες ἀπό τήν Παρθένο, γιά νά λυτρώσεις ἀπό τήν πλάνη ἐκείνους πού κραυγάζουν· Δόξα στή δύναμή σου, Κύριε. ᾨιΔΗ Ε'. Ἐσύ πού διαχώρισες ἀπό τό φῶς τό ἀρχικό χάος (τό σκοτάδι), ὅπως μέσα σέ φῶς σέ ὑμνοῦν τά ἔργα σου ἐσένα, Χριστέ, τόν Δημιουργό, μέ τό φῶς τῶν ἐντολῶν σου κατεύθυνε τήν πορεία τῆς ζωῆς μας. ᾨιΔΗ ΣΤ'. Ὅταν βρισκόμουν σέ θλίψη, φώναξα δυνατά πρός τόν Κύριο. Καί μέ ἄκουσε ὁ Θεός τῆς σωτηρίας μου.. ᾨιΔΗ Ζ'. Κάποτε οἱ τρεῖς νέοι, οἱ ἀπόγονοι τοῦ Ἀβραάμ, στή Βαβυλώνα καταπάτησαν τή φλόγα τοῦ καμινιοῦ, καί ὑμνώντας ἔψαλλαν· Ὁ Θεός τῶν πατέρων μας εἶσαι δοξασμένος. ᾨιΔΗ Η'. Ὑμνοῦμε, δοξολογοῦμε καί προσκυνοῦμε τόν Κύριο. Οἱ νέοι στή Βαβυλώνα πυρπολούμενοι ἀπό τό θεϊκό ζῆλο καταπάτησαν μέ ἀνδρεία τήν ἀπειλή τοῦ τυράννου καί τῆς φλόγας· καί ἀφοῦ ρίχθηκαν μέσα στή φωτιά, δροσιζόμενοι ἔψαλλαν· Δοξολογεῖτε τόν Κύριο, ὅλα τά ἔργα του (τά δημι-

πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον. ᾨιΔΗ Θ'. Ὁ τόκος σου ἄφθορος ἐδείχθη, Θεὸς ἐκ λαγόνων σου προῆλθε, σαρκοφόρος, ὃς ὤφθη ἐπὶ γῆς, καὶ τοῖς ἀνθρώποις συνανεστράφη, σὲ Θεοτόκε· διὸ πάντες μεγαλύνομεν. 11. ΚΑΤΑΒΑΣΙΑΙ ΚΟΙΜΗΣ. ΤΗΣ ΘΕΟΤΟΚΟΥ ᾨιΔΗ Α'. Πεποικιλμένη τῇ θείᾳ δόξῃ, ἡ ἱερὰ καὶ εὐκλεής, Παρθένε, μνήμη Σου, πάντας συνηγάγετο, πρὸς εὐφροσύνην τοὺς πιστούς, ἐξαρχούσης Μαριάμ, μετὰ χορῶν καὶ τυμπάνων, τῷ Σῷ ᾄδοντας Μονογενεῖ· Ἐνδόξως ὅτι δεδόξασται. ᾨιΔΗ Γ'. Ἡ δημιουργική, καὶ συνεκτικὴ τῶν ἁπάντων, Θεοῦ σοφία καὶ δύναμις, ἀκλινῆ ἀκράδαντον, τὴν Ἐκκλησίαν στήριξον Χριστέ· μόνος γὰρ εἶ Ἅγιος, ὁ ἐν Ἁγίοις ἀναπαυόμενος. ᾨιΔΗ Δ'. Ῥήσεις προφητῶν καὶ αἰνίγματα, τὴν σάρκωσιν ὑπέφηναν, τὴν ἐκ Παρθένου Σου, Χριστέ, φέγγος ἀστραπῆς Σου, εἰς φῶς ἐθνῶν ἐξελεύσεσθαι· καὶ φωνεῖ Σοι ἄβυσσος, ἐν ἀγαλλιάσει· Τῇ δυνάμει Σου δόξα Φιλάνθρωπε. ᾨιΔΗ Ε'. Τὸ θεῖον καὶ ἄρρητον κάλλος, τῶν ἀρετῶν Σου, Χριστέ, διηγήσομαι· ἐξ ἀιδίου γὰρ δόξης συναΐδιον,			ουργήματά του). ᾨιΔΗ Θ'. Ο τοκετός σου (ἡ γέννησή σου) ἀποδείχθηκε χωρίς φθορά· Θεός προῆλθε ἀπό τή μήτρα σου φορώντας σάρκα, ὁ ὁποῖος ἐμφανίσθηκε ἐπάνω στή γῆ, καί συναναστράφηκε μέ τούς ἀνθρώπους· Γι' αὐτό, Θεοτόκε, ὅλοι σέ μεγαλύνουμε. 11. ΚΑΤΑΒΑΣΙΕΣ ΤΗΣ ΚΟΙΜΗΣΕΩΣ ΤΗΣ ΘΕΟΤΟΚΟΥ ᾨιΔΗ Α'. Ποικιλμένη (στολισμένη) μέ τή θεία δόξα ἡ ἱερή καί ἔνδοξη μνήμη σου, Παρθένε, συγκέντρωσε σέ χαρά ὅλους τούς πιστούς, μέ ἐπί κεφαλῆς τή Μαριάμ (τήν ἀδελφή τοῦ Μωυσῆ), μέ χορούς καί τύμπανα, πού ψάλλουν στό Μονογενῆ σου Υἱό, διότι εἶναι ὑπερβολικά δοξασμένος. ᾨιΔΗ Γ'. Ἐσύ, Χριστέ, ἡ δημιουργική σοφία καί δύναμη τοῦ Θεοῦ, πού συγκρατεῖς τά πάντα, στήριξε τήν Ἐκκλησία σου, νά μείνει ἀκλόνητη (ἀκράδαντη). Διότι εἶσαι μόνος ἅγιος, Ἐσύ πού ἀναπαύεσαι μεταξύ τῶν ἁγίων. ᾨιΔΗ Δ'. Λόγια τῶν Προφητῶν καί αἰνιγματικές προφητεῖες προφήτευσαν, Χριστέ, τή σάρκωσή σου ἀπό Παρθένο· Ὅτι δηλαδή ἡ λάμψη τῆς ἀστραπῆς σου (ἡ θεία παρουσία σου) θά βγεῖ ὡς φῶς, γιά νά φωτίσει τά ἔθνη. Καί φωνάζει ἡ ἄβυσσος (τά πλήθη τῶν ἐθνῶν πού φωτίσθηκαν) μέ ἀγαλλίαση. Δόξα στή δύναμή σου, Κύριε. ᾨιΔΗ Ε'. Τό θεϊκό καί ἀνέκφραστο κάλλος τῶν ἀρετῶν σου, Χριστέ, θέλω νά διηγηθῶ· Διότι ἀφοῦ ἔλαμψες ἀπό αἰώνια δόξα

καὶ ἐνυπόστατον λάμψας ἀπαύγασμα, παρθενικῆς ἀπὸ γαστρός, τοῖς ἐν σκότει καὶ σκιᾷ, σωματωθεὶς ἀνέτειλας ἥλιος ΩιΔΗ ΣΤ'. Ἅλιον ποντογενές, κητῷον ἐντόσθιον πῦρ, τῆς τριημέρου ταφῆς Σου τὶ προεικόνισμα, οὗ Ἰωνᾶς, ὑποφήτης ἀναδέδεικται· σεσωσμένος γὰρ ὡς καὶ προὐπέπωτο, ἀσινὴς ἐβόα· Θύσω Σοι μετὰ φωνῆς, αἰνέσεως Κύριε. ΩιΔΗ Ζ'. Ἰταμῷ θυμῷ τε καὶ πυρί, θεῖος ἔρως ἀντιταττόμενος, τὸ μὲν πῦρ ἐδρόσιζε, τῷ θυμῷ δὲ ἐγέλα, θεοπνεύστῳ λογικῇ, τῇ τῶν ὁσίων τριφθόγγῳ λύρᾳ ἀντιφθεγγόμενος, μουσικοῖς ὀργάνοις, ἐν μέσῳ φλογός· ὁ δεδοξασμένος, τῶν πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ. ΩιΔΗ Η'. Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον. Φλόγα δροσίζουσαν ὁσίους, δυσσεβεῖς δὲ καταφλέγουσαν, ἄγγελος Θεοῦ ὁ πανσθενής, ἔδειξε Παισί· ζωαρχικὴν δὲ πηγήν, εἰργάσατο τὴν Θεοτόκον, φθορὰν θανάτου καὶ ζωήν, βλυστάνουσαν τοῖς μέλπουσι· τὸν Δημιουργὸν μόνον ὑμνοῦμεν, οἱ λελυτρωμένοι, καὶ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας. ΩιΔΗ Θ'.			(τόν Πατέρα) τόν ἐπίσης αἰώνια καί προσωπική (μέ πρόσωπο) ἀκτινοβολία, παίρνοντας σῶμα ἀπό παρθενική κοιλιά, ἀνέτειλες ὡς Ἥλιος, γιά ὅσους ἦταν στό σκοτάδι (τῆς ἀγνοίας) καί στή σκιά (τῆς ἁμαρτίας). ΩιΔΗ ΣΤ'. Θαλασσινή φωτιά γεννημένη ἀπό τό πέλαγος μέσα ἀπό τά ἐντόσθια τοῦ κήτους, τί προεικόνιση πού ἦταν τῆς τριήμερης ταφῆς σου, τῆς ὁποίας Προφήτης ἀναδείχθηκε ὁ Ἰωνᾶς! Διότι ἀφοῦ διασώθηκε, ὅπως καί πρίν τόν καταπιεῖ τό κῆτος, ἄθικτος, φώναζε· Θά σοῦ προσφέρω θυσία μέ φωνή δοξολογίας, Κύριε. ΩιΔΗ Ζ'. Ὁ θεϊκός ἔρωτας ἐρχόμενος σέ ἀντιπαράθεση μέ τόν αὐθάδη θυμό καί τήν φωτιά, τήν φλόγα τήν δρόσιζε, καί τόν θυμό τόν περιέπαιζε (τόν περιγελοῦσα) μέ τή θεόπνευστη λογική, τήν τρίφωνη λύρα τῶν εὐσεβῶν νέων, ἀνταπαντώντας στά μουσικά ὄργανα μέσα ἀπό τή φλόγα· θεέ τῶν πατέρων καί δικός μας εἶσαι δοξασμένος. ΩιΔΗ Η'. Ὑμνοῦμε, δοξολογοῦμε καί προσκυνοῦμε τόν Κύριο. Φλόγα πού δρόσιζε τοῦς εὐσεβεῖς καί κατέκαιε τούς ἀσεβεῖς ἔδειξε στούς νέους πανίσχυρος Ἄγγελος τοῦ Θεοῦ· καί τήν Θεοτόκο τήν ἔκαμε ζωοπάροχη πηγή, ἀπό τήν ὁποία ἀναβλύζει ἡ φθορά τοῦ θανάτου, καί ἡ ζωή γιά ὅσους ψάλλουν· Τόν μόνο Δημιουργό ὑμνοῦμε οἱ λυτρωμένοι, καί τόν ὑπερυψώνουμε σέ ὅλους τούς αἰῶνες. ΩιΔΗ Θ'.

Αἱ γενεαὶ πᾶσαι, μακαρίζομέν Σε, τὴν μόνην Θεοτόκον. Νενίκηνται τῆς φύσεως οἱ ὅροι, ἐν Σοὶ Παρθένε ἄχραντε· παρθενεύει γὰρ τόκος, καὶ ζωὴν προμνηστεύεται θάνατος. Ἡ μετὰ τόκον παρθένος, καὶ μετὰ θάνατον ζῶσα, σῴζοις ἀεί, Θεοτόκε τὴν κληρονομίαν Σου.			Οἱ γενιές ὅλες μακαρίζουμε ἐσένα τή μόνη Θεοτόκο. Ἔχουν νικηθεῖ οἱ ὅροι (οἱ νόμοι) τῆς φύσεως στό πρόσωπό σου, Παρθένε Ἀμόλυντη· διότι διατηρεῖ (ἄθικτη) τήν παρθενία ἡ γέννηση, καί ὁ θάνατός σου εἶναι συνδεδεμένος μέ τή ζωή. Ἐσύ πού μετά τή γέννηση ἔμεινες Παρθένος, καί ζεῖς μετά τό θανατο, εἴθε νά σώζεις πάντοτε, Θεοτόκε, ἐμᾶς, τήν κληρονομιά σου.
ΩΡΟΛΟΓΙΟΝ: ΤΡΙΑΔΙΚΑ. ΩιΔΕΣ. ΦΩΤΑΓΩΓΙΚΑ ΩΡΕΣ. ΤΡΙΑΔΙΚΑ. ΗΧΟΣ Α΄. Σωματικαῖς μορφώσεσι, τῶν ἀσωμάτων Δυνάμεων, πρὸς νοερὰν καὶ ἄυλον ἀναγόμενοι ἔννοιαν, καὶ τρισαγίῳ μελῳδήματι, τρισυποστάτου Θεότητος, ἐκδεχόμενοι ἔλλαμψιν, χερουβικῶς βοήσωμεν· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός… σῶσον ἡ μᾶς. Δόξα... Μετὰ πασῶν τῶν οὐρανίων Δυνάμεων, χερουβικῶς τῷ ἐν ὑψίστοις βοήσωμεν, τὸν Τρισάγιον ἀναπέμποντες αἶνον, Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός ….σῶσον ἡ μᾶς. Καὶ νῦν... Ἐξεγερθέντες τοῦ ὕπνου, προσπίπτομέν σοι, Ἀγαθέ, καὶ τῶν ἀγγέλων τὸν ὕμνον, βοῶμέν σοι, Δυνατέ, Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός, διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.			ΩΡΟΛΟΓΙΟΝ. ΤΡΙΑΔΙΚΑ. ΩιΔΕΣ. ΦΩΤΑΓΩΓΙΚΑ. ΩΡΕΣ. ΤΡΙΑΔΙΚΑ. ΗΧΟΣ Α΄. Μέ σχήματα σωματικά ἀνεβαίνοντας πρός τήν πνευματική καί ἄυλη ἔννοια τῶν ἀσωμάτων Δυνάμεων, καί μέ τόν τρισάγιο ὕμνο προσδοκώντας τόν φωτισμό τῆς τριαδικῆς Θεότητας, ὅπως τά Χερουβίμ, ἄς φωνάξουμε στό μόνο Θεό: Εἶσαι Ἅγιος, Ἅγιος, Ἅγιος, Θεέ μας, … σῶσε μας. Δόξα... Μαζί μέ ὅλες τίς οὐράνιες Δυνάμεις, ὅπως τά Χερουβίμ, ἄς κραυγάσουμε στόν Ὕψιστο ἀναπέμποντας τόν τρισάγιο ὕμνο: Ἅγιος, Ἅγιος, Ἅγιος εἶσαι, Θεέ μας… σῶσε μας. Καί νῦν... Ἀφοῦ σηκωθήκαμε ἀπό τόν ὕπνο, πέφτουμε μπροστά σου, Ἀγαθέ, καί τόν ὕμνο τῶν Ἀγγέλλων σοῦ φωνάζουμε, Δυνατέ: Ἅγιος, Ἅγιος, Ἅγιος εἶσαι, Θεέ μας, μέ τίς πρεσβεῖες τῆς Θεοτόκου ἐλέησέ μας.

ΗΧΟΣ Β'. Ἄκτιστε φύσις, ἡ τῶν ὅλων δημιουργὸς τὰ χείλη ἡμῶν ἄνοιξον, ὅπως ἀναγγέλλωμεν τὴν αἴνεσίν σου βοῶντες·Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός ἡμῶν… σῶσον ἡ μᾶς. Δόξα... Τὰς ἄνω Δυνάμεις μιμούμενοι οἱ ἐπὶ γῆς, ἐπινίκιον ὕμνον προσφέρομέν σοι, Ἀγαθέ, Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός… σῶσον ἡ μᾶς. Καὶ νῦν... Τῆς κλίνης καὶ τοῦ ὕπνου, ἐξεγείρας με Κύριε, τὸν νοῦν μου φώτισον, καὶ τὴν καρδίαν καὶ τὰ χείλη μου ἄνοιξον, εἰς τὸ ὑμνεῖν σε, Ἁγία Τριάς, Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός, διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς. ΗΧΟΣ Γ'. Πατέρα ἄναρχον, Υἱὸν συνάναρχον, Πνεῦμα συναΐδιον, Θεότητα μίαν χερουβικῶς δοξολογεῖν τολμῶντες λέγομεν· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός …… σῶσον ἡ μᾶς. Δόξα... Τριὰς ὁμοούσιε καὶ ἀδιαίρετε, Μονὰς τρισυπόστατε καὶ συναΐδιε, σοὶ ὡς Θεῷ τῶν Ἀγγέλων τὸν ὕμνον κραυγάζομεν· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός… σῶσον ἡ μᾶς. Καὶ νῦν... Ἀθρόον ὁ Κριτὴς ἐπελεύσεται, καὶ ἑκάστου αἱ πράξεις γυμνωθήσονται· ἀλλὰ φόβῳ κράξωμεν ἐν			ΗΧΟΣ Β΄. Ἄκτιστη φύση, πού εἶσαι Δημιουργός τῶν ὅλων, ἄνοιξε τά χείλη μας, γιά νά ἀναγγέλλουμε τόν ὕμνο σου φωνάζοντας: Ἅγιος Ἅγιος, Ἅγιος εἶσαι, Θεέ μας, … σῶσε μας. Δόξα... Μιμούμενοι τίς ἄνω Δυνάμεις ἐμεῖς οἱ γήινοι, ἐπινίκιο ὕμνο σοῦ πρσφέρουμε, Ἀγαθέ: Ἅγιος, Ἅγιος, Ἅγιος εἶσαι, Θεέ μας, … σῶσε μας. Καί νῦν... Σηκώνοντάς με ἀπό τό κρεβάτι καί τόν ὕπνο, Κύριε, φώτισε τό νοῦ μου καί τήν καρδιά μου, καί ἄνοιξε τά χείλη μου, γιά νά σέ ὑμνῶ, Ἁγία Τριάδα: Ἅγιος, Ἅγιος, Ἅγιος εἶσαι, Θεέ μας, μέ τίς πρεσβεῖες τῆς Θεοτόκου ἐλέησέ μας. ΗΧΟΣ Γ΄. Πατέρα χωρίς ἀρχή, Υἱό ἐπίσης χωρίς ἀρχή, Πνεῦμα αἰώνιο μαζί τους, μία Θεότητα, τολμώντας νά τήν δοξολογοῦμε ὅπως τά Χερουβίμ, λέμε: Ἅγιος, Ἅγιος, Ἅγιος εἶσαι, Θεέ μας, ...σῶσε μας. Δόξα... Τριάδα μέ τήν ἴδια οὐσία καί ἀδιαίρετη, Μονάδα τριπρόσωπη καί μαζί αἰώνια, σ' ἐσένα ὡς Θεό τῶν Ἀγγέλων κραυγάζουμε τόν ὕμνο: Ἅγιος, Ἅγιος, Ἅγιος εἶσαι, Θεέ μας, …… σῶσε μας. Καί νῦν.... Βιαστικά (ξαφνικά) θά ἔλθει ὁ Κριτής καί θά

τῷ μέσῳ τῆς νυκτός· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός, διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς. ΗΧΟΣ Δ'. Τὸν ἄναρχόν σου Πατέρα, καὶ σέ, Χριστὲ ὁ Θεός, καὶ τὸ πανάγιόν σου Πνεῦμα, χερουβικῶς δοξολογεῖν τολμῶντες, λέγομεν· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός… σῶσον ἡ μᾶς. Δόξα... Ὡς αἱ τάξεις νῦν τῶν Ἀγγέλων ἐν οὐρανῷ, καὶ στάσεις φόβῳ ἀνθρώπων ἐπὶ τῆς γῆς, ἐπινίκιον ὕμνον προσφέρομέν σοι Ἀγαθέ· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός… σῶσον ἡ μᾶς. Καὶ νῦν... Τῶν νοερῶν σου λειτουργῶν, προσφέρειν, οἱ θνητοὶ τὸν ὕμνον τολμῶντες, λέγομεν· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός, διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς. ΗΧΟΣ ΠΛ. Α'. Ὑμνῳδίας ὁ καιρός, καὶ δεήσεως ὥρα, ἐκτενῶς βοήσωμέν σοι τῷ μόνῳ Θεῷ· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός… σῶσον ἡ μᾶς. Δόξα... Εἰκονίζειν τολμῶντες, τὰ νοερά σου στρατεύματα, Τριὰς ἄναρχε, στόμασιν ἀναξίοις βοῶμέν σοι· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός… σῶσον ἡμᾶς.			ἀπογυμνωθοῦν οἱ πράξεις τοῦ καθενός. Ἀλλά μέ φόβο ἄς κραυγάσουμε μέσα στή νύχτα: Ἅγιος, Ἅγιος, Ἅγιος εἶσαι, Θεέ μας, μέ τίς πρεσβεῖες τῆς Θεοτόκου ἐλέησέ μας. ΗΧΟΣ Δ’. Τόν ἄναρχο Πατέρα σου καί σένα, Χριστέ Θεέ μας, καί τό Πανάγιο Πνεῦμα τολμώντας νά δοξολογοῦμε, ὅπως τά Χερουβίμ, λέμε: Ἅγιος, Ἅγιος, Ἅγιος εἶσαι, Θεέ μας… σῶσε μας. Δόξα... Ὅπως τώρα τά τάγματα τῶν Ἀγγέλων στόν οὐρανό, καί ἡ στάση μας τῶν ἀνθρώπων μέ φόβο ἐπάνω στή γῆ, σοῦ προσφέρουμε ἐπινίκιο ὕμνο. Ἀγαθέ: Ἅγιος, Ἅγιος, Ἅγιος εἶσαι, Θεέ μας, … σῶσε μας. Καί νῦν... Τολμώντας οἱ θνητοί νά προσφέρουμε τόν ὕμνο τῶν πνευματικῶν σου ὑπηρετῶν, λέμε: Ἅγιος, Ἅγιος, Ἅγιος εἶσαι, Θεέ μας, μέ τίς πρεσβεῖες τῆς Θοτόκου ἐλέησέ μας. ΗΧΟΣ ΠΛ. Α΄. Εἶναι καιρός γιά ὑμνῳδία καί ὥρα γιά δέηση· Ἄς κραυγάσουμε ἐπίμονα στό μόνο Θεό: Ἅγιος, Ἅγιος, Ἅγιος εἶσαι ὁ Θεός μας… σῶσε μας. Δόξα... Τολμώντας νά εἰκονίζουμε (νά παίζουμε τό ρόλο τους) τά πνευματικά σου στρατεύματα, Τριάδα χωρίς ἀρχή, μέ στόματα ἀνάξια κραυγάζουμε: Ἅγιος, Ἅγιος, Ἅγιος εἶσαι , Θεέ μας … σῶσε μας.

Καὶ νῦν... Ὁ ἐν μήτρᾳ παρθενικῇ χωρηθείς, καὶ τῶν κόλπων τοῦ Πατρὸς μὴ χωρισθείς, σὺν Ἀγγέλοις καὶ ἡμᾶς πρόσδεξαι, Χριστὲ ὁ Θεός, βοῶντάς σοι· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός, διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς. ΗΧΟΣ ΠΛ. Β'. Παριστάμενα φόβῳ τὰ Χερουβίμ, ἐξιστάμενα τρόμῳ τὰ Σεραφίμ τὸν τρισάγιον ὕμνον προσφέρει, ἀσιγήτῳ φωνῇ, μεθ' ὧν καὶ ἡμεῖς βοῶμεν οἱ ἁμαρτωλοί· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός…σῶσον ή μᾶς. Δόξα... Ἀσωμάτοις στόμασιν, ἀσιγήτοις δοξολογίαις τὰ Ἑξαπτέρυγα ᾄδουσί σοι τὸν τρισάγιον ὕμνον, ὁ Θεὸς ἡμῶν, καὶ ἡμεῖς οἱ ἐπὶ γῆς, ἀναξίοις χείλεσιν αἶνόν σοι ἀναπέμπομεν· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός, …σῶσον ἡμᾶς. Καὶ νῦν... Τριαδικῆς μονάδος Θεότητα, ἀσυγχύτῳ ἑνώσει δοξάσωμεν, καὶ τῶν Ἀγγέλων τὸν ὕμνον βοήσωμεν· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός, διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς. ΗΧΟΣ ΒΑΡΥΣ Ὁ ὑψίστῃ δυνάμει χερουβικῶς ἀνυμνούμενος, καὶ θεϊκῇ δόξῃ ἀγγελικῶς προσκυνούμενος, πρόσδεξαι καὶ ἡμᾶς τοὺς ἁμαρτωλούς, ἀναξίως			Καί νῦν... Ἐσύ πού χώρεσες σέ μήτρα παρθενική, καί δέ χωρίσθηκες ἀπό τίς ἀγκάλες τοῦ Πατέρα, Χριστέ Θεέ μας, μαζί μέ τούς ἀγγέλους δέξου κι ἐμᾶς νά κραυγάζουμε σ' ἐσένα: Ἅγιος, Ἅγιος, Ἅγιος εἶσαι, Θεέ μας, μέ τίς πρεσβεῖες τῆς Θεοτόκου ἐλέησέ μας. ΗΧΟΣ ΠΛ. Β'. Παραστέκοντας μέ φόβο τά Χερουβίμ, ἔκπληκτα ἀπό τρόμο τά Σεραφίμ, τόν τρισάγιο ὕμνο ἀναπέμπουν μέ ἀκατάπαυστη φωνή· μαζί μέ αὐτά φωνάζουμε κι ἐμεῖς οἱ ἁμαρτωλοί: Ἅγιος, Ἅγιος, Ἅγιος εἶσαι Θεέ μας,…σῶσε μας. Δόξα... Μέ ἄυλα στόματα, μέ ἀκατάπαυστες δοξολογίες, τά Ἑξαπτέρυγα (τά Σεραφίμ) ψάλλουν σ' ἐσένα τόν τρισάγιο ὕμνο, Θεέ μας· Καί ἐμεῖς οἱ γήινοι μέ ἀνάξια χείλη ἀναπέμπουμε ὕμνο σ' ἐσένα: Ἅγιος, Ἅγιος, Ἅγιος εἶσαι, Θεέ μας, …σῶσε μας. Καί νῦν... Ἄς δοξάσουμε τή Θεότητα τῆς Τριαδικῆς Μονάδας μέ ἀσύγχυτη ἕνωση, καί ἄς κραυγάσουμε τόν ὕμνο τῶν Ἀγγέλων: Ἅγιος, Ἅγιος, Ἅγιος εἶσαι, Θεέ μας, μέ τίς πρεσβεῖεςτῆς Θεοτόκου ἐλέησέ μας. ΗΧΟΣ ΒΑΡΥΣ Ἐσύ πού μέ ὕψιστη δύναμη ἀνυμνεῖσαι ἀπό τά Χερουβίμ, καί μέ θεϊκή δόξα προσκυνεῖσαι ἀπό τούς Ἀγγέλους, δέξου καί ἐμᾶς τούς ἁμαρτωλούς, πού τολμοῦμε ἀνάξια νά κραγά-

τολμῶντας κραυγάζειν σοι· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός, …σῶσον ἡ μᾶς. Δόξα.... Τῇ ἀπροσίτῳ Θεότητι, τῇ ἐν Μονάδι Τριάδι, τῶν Σεραφὶμ τὸν Τρισάγιον ἀναπέμποντες αἶνον, μετὰ φόβου βοήσωμεν· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός, … σῶσον ἡ μᾶς. Καὶ νῦν... Ὡς ὕπνον τὸν ὄκνον, ἀποθεμένη ψυχή, διόρθωσιν πρὸς ἔγερσιν, δεῖξον τῷ Κριτῇ, καὶ ἐν φόβῳ βόησον· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός, διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς. ΗΧΟΣ ΠΛ. Δ' Εἰς οὐρανὸν τὰς καρδίας ἔχοντες, Ἀγγελικὴν μιμησώμεθα τάξιν, καὶ ἐν φόβῳ τῷ ἀδεκάστῳ προσπέσωμεν, ἐπινίκιον ἀνακράζοντες αἶνον· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός, …σῶσον ἡ μᾶς. Δόξα... Ὁρᾷν σε μὴ τολμῶντα τὰ Χερουβίμ, ἱπτάμενα κραυγάζει ἀλαλαγμῷ, τὸ ἔνθεον μέλος τῆς Τρισαγίας φωνῆς, μεθ' ὧν καὶ ἡμεῖς βοῶμεν οἱ ἁμαρτωλοί· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός ἡμῶν… σῶσον ἡ μᾶς. Καὶ νῦν... Κατακαμπτόμενοι τῷ πλήθει, τῶν πταισμάτων ἡμῶν, καὶ μὴ τολμῶντες ἀτενίσαι τῷ ὕψει σου, τὴν ψυχὴν σὺν τῷ σώματι κλίναντες, μετὰ Ἀγγέλων τὸν ὕμνον βοῶμέν σοι· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ			ζουμε σ' ἐσένα: Ἅγιος, Ἅγιος, Ἅγιος εἶσαι, Θεέ μας… σῶσε μας. Δόξα... Ἀναπέμποντας τόν τρισάγιο ὕμνο τῶνΣεραφίμ στήν ἀπλησίαστη (ὕψιστη) Θεότητα, στήν Τριαδική Μονάδα, μέ φόβο ἄς φωνάξουμε: Ἅγιος, Ἅγιος, Ἅγιος εἶσαι, Θεέ μας,… σῶσε μας. Καί νῦν... Ἀποθέτοντας, ψυχή μου, τήν ὀκνηρία (τήν τεμπελιά) ὡς ὕπνο, δεῖξε στόν Κριτή, ὅτι διορθώθηκες, γιά νά τόν ἐξυμνήσεις, καί μέ φόβο κραύγασε: Ἅγιος, Ἅγιος, Ἅγιος εἶσαι, Θεέ μας, μέ τίς πρεσβεῖες τῆς Θεοτόκου ἐλέησέ μας. ΗΧΟΣ ΠΛ. Δ΄. Ἔχοντας προσηλωμένες τίς καρδιές μας στόν οὐρανό, ἄς μιμηθοῦμε τά ἀγγελικά τάγματα· Καί ἄς προσπέσουμε στόν ἀδέκαστο Κριτή (πού δέ δωροδοκεῖται) κραυγάζοντας ἐπινίκιο ὕμνο: Ἅγιος, Ἅγιος, Ἅγιος εἶσαι, Θεέ μας,… σῶσε μας. Δόξα... Μή τολμώντας νά σέ βλέπουν τά Χερουβίμ, πετώντας κραυγάζουν μέ ἀλαλαγμό τή θεϊκή ὑμνῳδία τοῦ τρισάγιου ὕμνου· Μαζί μέ αὐτά καί ἐμεῖς οἱ ἁμαρτωλοί φωνάζουμε σ' ἐσένα: Ἅγιος, Ἅγιος, Ἅγιος εἶσαι, Θεέ μας, …σῶσε μας. Καί νῦν... Κυρτωμένοι ἀπό τό πλῆθος τῶν σφαλμάτων μας, καί μή τολμώντας νά ἀτενίσουμε στό ὕψος σου, σκύβοντας μέ τήν ψυχή καί τό σῶμα μαζί μέ τούς Ἀγγέλους φωνάζουμε σ'

Θεός, διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς. ΣΤΙΧΗΡΑ ΚΑΤΑΝΥΚΤΙΚΑ ΚΑΙ ΜΑΡΤΥΡΙΚΑ ΤΟΥ ΤΡΙΩιΔΙΟΥ ΗΧΟΣ Α'. ΤΗι ΚΥΡΙΑΚΗι ΕΣΠΕΡΑΣ Ὅτι τὸ πέλαγος πολύ, τῶνπαραπτωμάτων μου, Σωτήρ, καὶ δεινῶς βεβύθισμαι ταῖς πλημμελείαις μου, δός μοι χεῖρα, σῶσόν με, ὡς τῷ Πέτρῳ, ὁ Θεός, καὶ ἐλέησόν με. Ὅτι ἐννοίαις πονηραῖς, καὶ ἔργοις καταδεδίκασμαι, Σωτήρ, λογισμόν μοι δώρησαι, ἐπιστροφῆς ὁ Θεός, ἵνα κράζω· Σῶσόν με Εὐεργέτα ἀγαθέ, καὶ ἐλέησόν με. Ἄλλος σε κόσμος, ψυχὴ, ἀναμένει, καὶ Κριτής, τὰ σὰ μέλλων δημοσιεύειν κρυπτὰ καὶ δεινά· μὴ οὖν ἐμμείνῃς τοῖς ὧδε, ἀλλὰ πρόφθασον βοῶσα τῷ Κριτῇ, ὁ Θεὸς ἱλάσθητί μοι, καὶ σῶσόν με. Μὴ ἀποδοκιμάσῃς με, Σωτήρ μου, τῇ ῥαθυμίᾳ τῆς ἁμαρτίας συνεχόμενον, διέγειρόν μου τὸν λογισμὸν πρὸς μετάνοιαν, καὶ τοῦ σοῦ ἀμπελῶνος, ἐργάτην δόκιμον ἀνάδειξόν με, δωρούμενός μοι τῆς ἑνδεκάτης, ὥρας τὸν μισθόν, καὶ τὸ μέγα ἔλεος. ΤΗι ΤΕΤΑΡΤΗι. ΟΡΘΡΟΣ Ὁρῶσά σε Χριστέ, ἡ πανάμωμος Μήτηρ, νεκρὸν ἐπὶ Σταυροῦ, ἡπλωμένον ἐβόα· Υἱέ μου συνάναρχε, τῷ Πατρὶ καὶ τῷ Πνεύματι, τίς ἡ ἄφατος οἰκονομία σου αὕτη; δι' ἧς ἔσωσας, τὸ τῶν			ἐσένα τόν ὕμνο: Ἅγιος, Ἅγιος, Ἅγιος εἶσαι, Θεέ μας, μέ τίς πρεσβεῖες τῆς Θεοτόκου ἐλέησέ μας, ΣΤΙΧΗΡΑ ΚΑΤΑΝΥΚΤΙΚΑ ΚΑΙ ΜΑΡΤΥΡΙΚΑ ΤΟΥ ΤΡΙΩιΔΙΟΥ ΗΧΟΣ Α'. ΚΥΡΙΑΚΗ ΣΤΟΝ ΕΣΠΕΡΙΝΟ Ἐπειδή εἶναι ἀπέραντο τό πέλαγος τῶν παραπτωμάτων μου, Σωτήρα, καί εἶμαι βυθισμένος στά σφάλματά μου, δός μου χέρι, σῶσε με ὅπως τόν Πέτρο, Θεέ μου, καί ἐλέησέ με. Ἐπειδή εἶμαι καταδικασμένος ἐξ αἰτίας τῶν πονηρῶν σκέψεων καί ἔργων, Σωτήρα, δώρισέ μου λογισμό ἐπιστροφῆς, Θεέ μου, γιά νά κράζω: Σῶσε με, ἀγαθέ, καί ἐλέησέ με. Ἄλλος κόσμος, ψυχή, σέ περιμένει, καί Κριτής, πού πρόκειται νά κάνει φανερά τά κρυφά καί ἄθλια ἔργα σου· Μή λοιπόν προσκολληθεῖς σ' αὐτά πού ὑπάρχουν ἐδῶ, ἀλλά πρόφθασε καί φώναξε στόν Κριτή· Θεέ μου, συγχώρησέ με καί σῶσε με. Μήν ἀποδοκιμάσεις, Σωτήρα μου, ἐμένα πού κατέχομαι ἀπό τή ραθυμία (τήν ὀκνηρία) τῆς ἁμαρτίας· Παρακίνησε (ξεσήκωσε) τό λογισμό μου γιά μετάνοια, καί ἀνάδειξέ με ἐργάτη κατάλληλο γιά τό ἀμπέλι σου, δωρίζοντάς μου τό μισθό τῆς ἑνδεκάτης ὥρας καί τό μέγα ἔλεος. ΤΕΤΑΡΤΗ ΣΤΟΝ ΟΡΘΡΟ Βλέποντάς σε, Χριστέ, ἡ παναμόλυντη Μητέρα σου ἁπλωμένο νεκρό ἐπάνω στό Σταυρό: Υἱέ μου, πού μαζί μέ τόν Πατέρα καί τό Ἅγιο Πνεῦμα εἶσαι ἄναρχος, τί εἴδους εἶναι αὐτή ἡ συγκατάβασή σου; μέ τήν ὁποία ἔσωσες,

χειρῶν σου οἰκτίρμον, πλαστούργημα, Δέσποτα. Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ. Τοῦ Σταυροῦ σου τὸ ξύλον προσκυνοῦμεν, φιλάνθρωπε, ὅτι ἐν αὐτῷ προσηλώθης ἡ ζωὴ τῶν ἁπάντων, Παράδεισον ἠνέῳξας Σωτήρ, τῷ πίστει προσελθόντι σοι Ληστῇ, καὶ τρυφῆς κατηξιώθη ὁμολογῶν σοι· μνήσθητί μου, Κύριε, δέξαι ὥσπερ ἐκεῖνον καὶ ἡμᾶς, κραυγάζοντας· Ἡμάρτομεν, πάντες τῇ εὐσπλαγχνίᾳ σου, μὴ ὑπερίδῃς ἡμᾶς. Δόξα... Καὶ νῦν... Σταυροθεοτοκίον. Τὸν Ἄρνα ἐπὶ ξύλου ἡ ἀμνὰς καθορῶσα, μετὰ λῃστῶν μακροθύμως σταυρούμενόν σε, Λόγε, καὶ λόγχῃ κεντούμενον πλευράν ἠλάλαζε βοῶσα μητρικῶς· Τί τὸ ξένον καὶ φρικῶδες, Υἱέ μου μυστήριον, πῶς καλύπτει τάφος τὸν ἀπερίγραπτον Θεόν, ἄφραστον τὸ τελούμενον! Μή με τὴν τεκοῦσαν ἐάσῃς, Υἱέ μου γλυκύτατε. Εἰς τὴν Ζ'. Ὠιδὴν. Μαρτυρικὸν. Τὰς ἀλγηδόνας τῶν Ἁγίων, ἃς ὑπὲρ σοῦ ἔπαθον, δυσωπήθητι Κύριε, καὶ πάσας ἡμῶν τὰς ὀδύνας, ἴασαι, φιλάνθρωπε, δεόμεθα. ΠΑΡΑΣΚΕΥΗι ΠΡΩΪ. ΟΡΘΡΟΣ Σταυρωθέντος σου Χριστέ, ἀνῃρέθη ἡ τυραννίς, ἐπατήθη ἡ δύναμις τοῦ ἐχθροῦ· οὔτε γὰρ Ἄγγελος, οὐκ ἄνθρωπος, ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσας ἡμᾶς, δόξα σοι. Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ.			εὔσπλαχνε Κύριε, τό δημιούργημα τῶν χεριῶν σου. Στίχ.Ὑψώνετε τόν Κύριο, τόν Θεό μας, καί προσκυνεῖτε τό ὑποστήριγμα τῶν ποδιῶν του. Τοῦ Σταυροῦ σου τό ξύλο προσκυνοῦμε, Φιλάνθρωπε, διότι σ' αὐτόν ἐπάνω καρφώθηκες, Ἐσύ ἡ ζωή τῶν πάντων· ἄ νοιξες τόν παράδεισο, Σωτήρα, στό λῃστή πού ἦλθε κοντά σου μέ πίστη, καί ἔγινε ἄξιος τῆς ἀπολαύσεως ὁμολογώντας σ' ἐσένα: Θυμήσου με, Κύριε· δέξου, ὅπως ἐκεῖνον καί ἐμᾶς πού κραυγάζουμε· Ἁμαρτήσαμε ὅλοι στήν εὐσπλαχνία σου, μή μᾶς παραβλέψεις. Δόξα ... Καί νῦν... Σταυροθεοτοκίο. Βλέποντας ἡ Ἀμνάδα (ἡ προβατίνα) τόν Ἀμνό (τό ἀρνί), ἐσένα, Λόγε τοῦ Θεοῦ, σταυρωμένο μεγαλόψυχα μαζί μέ λῃστές ἐπάνω στό ξύλο, καί τραυματισμένο στήν πλευρά μέ τή λόγχη, φώναζε κραυγάζοντας ὡς μητέρα: Τί εἶναι αὐτό τό παράξενο καί φρικτό μυστήριο, Υἱέ μου; Πῶς καλύπτει τάφος τόν ἄπειρο Θεό; Εἶναι ἀνεκδιήγητο αὐτό πού γίνεται! Μή μέ ἀφήσεις, ἐμένα πού σ' ἐγέννησα, Υἱέ μου γλυκύτατε. Μαρτυρικό τῆς Ζ'. ᾠδῆς. Μπροστά στούς πόνους τῶν Ἁγίων, πού ἔπαθαν γιά σέ να, Κύριε, σέ παρακαλοῦμε, Φιλάνθρωπε, νά φανεῖς ἐπιεικής καί θεράπευσε ὅλους τούς δικούς μας πόνους. ΠΑΡΑΣΚΕΥΗ ΣΤΟΝ ΟΡΘΡΟ Ὅταν σταυρώθηκες, Χριστέ, ἐξουδετερώθηκε ἡ τυραννία, πατήθηκε ἡ δύναμη τοῦ ἐχθροῦ· διότι οὔτε Ἄγγελος, οὔτε ἄνθρωπος, ἀλλά Ἐσύ ὁ ἴδιος ὁ Κύριος μᾶς ἔσωσες· δόξα σ' ἐσένα. Στίχ. Ὑψώνετε τόν Κύριο τόν Θεό μας, καί προσκυνεῖτε τό ὑποστήριγμα τῶν ποδιῶν του.

Τὸ ὅπλον τοῦ Σταυροῦ, ἐν πολέμοις ἐδείχθη, ποτὲ τῷ εὐσεβεῖ, Βασιλεῖ Κωνσταντίνῳ, ἀήττητον τρόπαιον, κατ' ἐχθρῶν διὰ πίστεως, τοῦτο τρέμουσι, καὶ αἱ δυνάμεις τοῦ Ἅιδου, τοῦτο γέγονε, καὶ τῶν πιστῶν σωτηρία, καὶ Παύλου τὸ καύχημα. Δόξα...Καὶ νῦν...Σταυροθεοτοκίον. Οἱ τὴν σὴν προστασίαν, κεκτημένοι Ἄχραντε, καὶ ταῖς σαῖς ἱκεσίαις, τῶν δεινῶν ἐκλυτρούμενοι, τῷ Σταυρῷ τοῦ Υἱοῦ σου ἐν παντὶ φρουρούμενοι, καταχρέως σε πάντες, εὐσεβῶς μεγαλύνομεν. Εἰς τὴν Ζ'. Ὠιδὴν.Μαρτυρικὸν. Ἀθλήσεως καύχημα, καὶ στεφάνων ἀξίωμα οἱ ἔνδοξοι Ἀθλοφόροι περιβέβληνταί σε Κύριε· καρτερίᾳ γὰρ αἰκισμῶν, τοὺς ἀνόμους ἐτροπώσαντο, καὶ δυνάμει θεϊκῇ, ἐξ οὐρανοῦ τὴν νίκην ἐδέξαντο· αὐτῶν ταῖς ἱκεσίαις, δώρησαι ἡμῖν ὁ Θεός, τὸ μέγα σου ἔλεος. ΤΗι ΠΑΡΑΣΚΕΥΗι ΕΣΠΕΡΑΣ Τῇ πρεσβείᾳ Κύριε, πάντων τῶν Ἁγίων, καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων. Ἡ ἐν σταδίῳ ὑμῶν ὁμολογία Ἅγιοι, τῶν δαιμόνων κατέπτηξε τὴν δύναμιν, καὶ τῆς πλάνης τοὺς ἀνθρώπους ἠλευθέρωσε· διὸ καὶ τὰς κεφαλὰς ἀποτεμνόμενοι ἐκράζετε· Γενέσθω Κύριε, ἡ θυσία τῶν ψυχῶν ἡμῶν, εὐπρόσδεκτος ἐνώπιόν σου, ὅτι σὲ ποθήσαντες, κατεφρονήσαμεν τῆς προσκαίρου ζωῆς, φιλάνθρωπε.			Τό ὅπλο τοῦ Σταυροῦ δείχθηκε κάποτε στόν εὐσεβῆ βασιλιά Κωνσταντῖνο ὅπλο ἀνίκητο στούς πολέμους, σύμβολο νίκης κατά τῶν ἐχθρῶν μέ τήν πίστη· αὐτό τρέμουν οἱ δυνάμεις τοῦ ᾅδη, αὐτό ἔγινε καί αἰτία σωτηρίας τῶν πιστῶν καί τό καύχημα τοῦ Παύλου. Δόξα... Καί νῦν...Σταυροθεοτοκίο. Ὅσοι ἔχουμε κτῆμα μας τή δική σου προστασία, Ἀμόλυντη, καί μέ τίς δικές σου ἱκεσίες, λυτρωνόμαστε ἀπό τά δεινά, φρουρούμενοι σέ κάθε περίπτωση ἀπό τό Σταυρό τοῦ Υἱοῦ σου, ὅλοι, ὅπως ἔχουμε χρέος, σέ μεγαλύνουμε μέ εὐσέβεια. Μαρτυρικό τῆς Ζ'. ᾠδῆς. Οἱ ἔνδοξοι Ἀθλοφόροι, Κύριε, σέ ἔχουν φορέσει, ὡς καύχημα τῆς ἀθλήσεως καί ἀξίωμα τῶν στεφάνων· Διότι μέ τήν καρτερία τους στά βάσανα κατατρόπωσαν τούς τυράννους, καί μέ τή θεϊκή δύναμη δέχθηκαν τή νίκη ἀπό τόν οὐρανό· Μέ τίς δικές τους ἱκεσίες δώρισε σ' ἐμᾶς, Θεέ μου, τό μέγα σου ἔλεος. ΠΑΡΑΣΚΕΥΗ ΣΤΟΝ ΕΣΠΕΡΙΝΟ Μέ τήν πρεσβεία, Κύριε, ὅλων τῶν Ἁγίων καί τῆς Θεοτόκου δός μας τή δική σου εἰρήνη, καί ἐλέησέ μας, ὡς μόνος εὔσπλαχνος. Ἡ ὁμολογία σας στό στάδιο, Ἅγιοι, ἔκανε τή δύναμη τῶν δαιμόνων, νά ζαρώσει, καί ἐλευθέρωσε τούς ἀνθρώπους ἀπό τήν πλάνη· γι' αὐτό καί ἀποκεφαλιζόμενοι κραυγάζατε: Ἂς γίνει, Κύριε, ἡ θυσία μας εὐπρόσδεκτη μπροστά σ' ἐσένα, διότι ποθώντας ἐσένα καταφρονήσαμε τήν πρόσκαιρη ζωή, Φιλάνθρωπε.

Ὦ τῆς καλῆς ὑμῶν πραγματείας Ἅγιοι! ὅτι αἵματα ἐδώκατε, καὶ οὐρανοὺς ἐκληρονομήσατε, καὶ πρὸς καιρὸν πειρασθέντες, αἰωνίως ἀγάλλεσθε. Ὄντως καλὸν ὑμῶν τὸ ἐμπόρευμα· φθαρτὰ γὰρ καταλιπόντες, τὰ ἄφθαρτα ἀπελάβετε, καὶ σὺν Ἀγγέλοις χορεύοντες, ὑμνεῖτε ἀπαύστως Τριάδα ὁμοούσιον. Πανεύφημοι Μάρτυρες ὑμᾶς, οὐχ ἡ γῆ κατέκρυψεν, ἀλλ' οὐρανὸς ὑπεδέξατο, ὑμῖν ἠνοίγησαν Παραδείσου πύλαι, καὶ ἐντὸς γενόμενοι, τοῦ ξύλου τῆς ζωῆς ἀπολαύετε, Χριστῷ πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος. Δόξα... Ποία τοῦ βίου τρυφή, διαμένει λύπης ἀμέτοχος; ποία δόξα ἔστηκεν ἐπὶ γῆς ἀμετάθετος; πάντα σκιᾶς ἀσθενέστερα, πάντα ὀνείρων ἀπατηλότερα, μιᾷ ῥοπῇ, καὶ ταῦτα πάντα, θάνατος διαδέχεται. Ἀλλ' ἐν τῷ φωτὶ Χριστὲ τοῦ προσώπου σου, καὶ τῷ γλυκασμῷ τῆς σῆς ὡραιότητος, οὓς ἐξελέξω ἀνάπαυσον, ὡς φιλάνθρωπος. Καὶ νῦν ... Θεοτοκίον. Τὴν παγκόσμιον δόξαν, τὴν ἐξ ἀνθρώπων σπαρεῖσαν, καὶ τὸν Δεσπότην τεκοῦσαν, τὴν ἐπουράνιον πύλην, ὑμνήσωμεν Μαρίαν τὴν Παρθένον τῶν Ἀσωμάτων τὸ ᾄσμα, καὶ τῶν πιστῶν τὸ ἐγκαλλώπισμα· αὕτη γὰρ ἀνεδείχθη οὐρανός, καὶ ναὸς τῆς Θεότητος, αὕτη τὸ μεσότοιχον τῆς ἔχθρας καθελοῦσα, εἰρήνην			Ὦ στό καλό σας ἐμπόρευμα Ἅγιοι! διότι δώσατε αἵματα καί κληρονομήσατε οὐρανούς, καί ἀφοῦ δοκιμασθήκατε προσωρινά, ἀγάλλεσθε αἰώνια· Πράγματι, εἶναι ὡραῖο τό ἐμπόρευμά σας! Διότι, ἀφοῦ ἐγκαταλείψατε τά φθαρτά, ἀπολαύσατε τά ἄφθαρτα, καί πανηγυρίζοντας μαζί μέ τούς Ἀγγέλους ὑμνεῖτε ἀκατάπαυστα Τριάδα μέ μιά οὐσία. Φημισμένοι Μάρτυρες, ἐσᾶς δέν σᾶς κάλυψε ἡ γῆ, ἀλλά ὁ οὐρανός σᾶς ὑποδέχθηκε· Γιά σᾶς ἀνοίχθηκαν οἱ πύλες τοῦ Παραδείσου, καί ἀφοῦ μπήκατε μέσα, ἀπολαμβάνετε τό ξύλο τῆς ζωῆς· Πρεβεύσατε στό Χριστό, νά δωρηθεῖ στίς ψυχές μας ἡ εἰρήνη καί τό μέγα ἔλεος. Δόξα... Ποιά ἀπόλαυση τῆς ζωῆς μένει ἀμέτοχη στή λύπη; Ποιά δόξα στάθηκε ἀμετακίνητη ἐπάνω στή γῆ; Ὅλα εἶναι ἀσθενέστερα ἀπό τή σκιά, ὅλα εἶναι πιό ἀπατηλά ἀπό τά ὄνειρα· Μέ μιά μεταβολή ὅλα αὐτά τά διαδέχεται ὁ θάνατος. Ἀλλά, Χριστέ, μέσα στό φῶς τοῦ προσώπου σου καί τή γλυκύτητα τῆς δικῆς σου ὡραιότητας ἀνάπαυσε, αὐτούς πού διάλεξες ὡς φιλάνθρωπος. Καί νῦν... Θεοτοκίο. Τήν παγκόσμια δόξα, πού γεννήθηκε ἀπό ἀνθρώπους, κι ἐγέννησε τόν Κύριο, τήν ἐπουράνια πύλη, ἄς ὑμνήσουμε τήν Μαρία τήν Παρθένο, πού εἶναι ὁ ὕμνος τῶν Ἀγγέλων καί τό στολίδι τῶν ἀνθρώπων. Διότι αὐτή ἀναδείχθηκε οὐρανός καί ναός τῆς Θεότητος. Διότι αὐτή, ἀφοῦ κατεδάφισε τό διαχωριστικό τοῖχο τῆς ἔχθρας (μεταξύ τοῦ Θεοῦ καί τῶν ἀνθρώπων), στή θέση της ἔφερε εἰρήνη, καί ἄνοιξε τή Βασι-

ἀντεισῆξε, καὶ τὸ βασίλειον ἠνέῳξε. Ταύτην οὖν κατέχοντες τῆς Πίστεως τὴν ἄγκυραν, ὑπέρμαχον ἔχομεν, τὸν ἐξ αὐτῆς τεχθέντα Κύριον· θαρσείτω τοίνυν, θαρσείτω λαὸς τοῦ Θεοῦ· καὶ γάρ αὐτὸς πολεμήσει, τοὺς ἐχθροὺς ὡς παντοδύναμος.			λεία τοῦ Θεοῦ. Κατέχοντας λοιπόν αὐτή τήν ἄγκυρα τῆς πίστεως ἔχουμε ὑπερασπιστή τόν Κύριο πού γεννήθηκε ἀπ' αὐτήν. Ἄς ἔχει θάρρος λοιπόν, ἄς ἔχει θάρρος ὁ λαός τοῦ Θεοῦ, διότι αὐτός θά πολεμήσει τούς ἐχθρούς μας, ὡς παντοδύναμος.
ΗΧΟΣ Β'			ΗΧΟΣ Β΄.
ΤΗι ΚΥΡΙΑΚΗι ΕΣΠΕΡΑΣ			ΚΥΡΙΑΚΗ ΣΤΟΝ ΕΣΠΕΡΙΝΟ
Ἥμαρτον εἰς σὲ Σωτήρ, ὡς ὁ ἄσωτος Υἱός, δέξαι με Πάτερ, μετανοοῦντα, καὶ ἐλέησόν με ὁ Θεός.			Ἁμάρτησα σ' ἐσένα, Σωτήρα, ὅπως ὁ Ἄσωτος Υἱός· δέξου με, Πατέρα, μετανοημένο καί ἐλέησέ με, Θεέ μου.
Κράζω σοι Χριστὲ Σωτήρ, τοῦ Τελώνου τὴν φωνήν· Ἱλάσθητί μοι ὥσπερ ἐκείνῳ, καὶ ἐλέησόν με ὁ Θεός.			Κράζω σ' ἐσένα, Σωτήρα, τή φωνή τοῦ Τελώνη· συγχώρησέ με, ὅπως ἐκεῖνον, καί ἐλέησέ με, Θεέ μου.
Τῶν πεπραγμένων μου δεινῶν, ἐννοῶν τὰ ἄτοπα, ἐπὶ τοὺς σοὺς καταφεύγω οἰκτιρμούς, Τελώνην μιμούμενος, καὶ Πόρνην δακρύσασαν, καὶ τὸν Ἄσωτον Υἱόν· διὸ καὶ προσπίπτω σοι Ἐλεῆμον, πρίν με καταδικάσῃς, φεῖσαί μου ὁ Θεός, καὶ ἐλέησόν με.			Κατανοώντας τά λάθη τῶν φοβερῶν μου πράξεων καταφεύγω στή δική σου εὐσπλαχνία, μιμούμενος τόν Τελώνη καί τήν Πόρνη πού δάκρυσε, καί τόν Ἄσωτο Υἱό· γι' αὐτό καί πέφτω μπροστά σου, Ἐλεῆμον, πρίν μέ καταδικάσεις, σπλαχνίσου με, Θεέ μου, καί ἐλέησέ με.
Τὰς ἀνομίας μου πάριδε Κύριε, ὁ ἐκ Παρθένου τεχθείς, καὶ τὴν καρδίαν μου καθάρισον, ναὸν αὐτὴν ποιῶν τοῦ ἁγίου σου Πνεύματος, μή με ἐξουδενώσῃς ἀπὸ τοῦ σοῦ προσώπου, ὁ ἀμέτρητον ἔχων τὸ μέγα ἔλεος.			Παράβλεψε τίς ἀνομίες μου, Κύριε, ἐσύ πού γεννήθηκες ἀπό Παρθένο, καί καθάρισε τήν καρδιά μου, κάνοντάς την ναό τοῦ Ἁγίου σου Πνεύματος, μή μέ περιφρονήσεις ἀπό τό πρόσωπό σου, ἐσύ πού ἔχεις ἀμέτρητο τό μέγα ἔλεος.
ΤΗι ΤΕΤΑΡΤΗι. ΠΡΩΪ ΟΡΘΡΟΣ			ΤΕΤΑΡΤΗ ΣΤΟΝ ΟΡΘΡΟ
Τὸν ζωοποιὸν Σταυρὸν τῆς σῆς ἀγαθότητος, ὃν ἐδωρήσω ἡμῖν τοῖς ἀναξίοις Κύριε, σοὶ προσάγομεν εἰς πρεσβείαν. Σῶζε τοὺς βασιλεῖς καὶ τήν πόλιν σου, ἱκετεύοντας διὰ τῆς Θεοτόκου, μόνε			Τό ζωοποιό Σταυρό τῆς δικῆς σου ἀγαθότητας προσφέρουμε σ' ἐσένα, Κύριε, ὡς πρεσβεία· Σῶζε τούς Βασιλεῖς καί τήν πόλη σου δίνοντάς τους εἰρήνη μέσῳ τῆς Θεοτόκου, μόνε Φιλάνθρωπε.

φιλάνθρωπε. Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ. Ὃν τρόπον ἠχμαλώτευσεν ὁ ἐχθρὸς τὸν Ἀδάμ, διὰ ξύλου τῆς βρώσεως, Κύριε, ὡσαύτως ἠχμαλώτευσας καὶ αὐτὸς τὸν ἐχθρόν, διὰ ξύλου Σταυροῦ, καὶ τοῦ πάθους σου· ἐν τούτῳ γὰρ παρεγένου ὁ δεύτερος Ἀδάμ, ἀναζητῆσαι τὸν πλανηθέντα, ζωοποιῆσαι τὸν νεκρωθέντα, Θεέ μου, δόξα σοι. Δόξα... Καὶ νῦν...Σταυροθεοτοκίον. Ἡ παρθένος καὶ Μήτηρ σου, Χριστέ, ἐπὶ ξύλου ὁρῶσά σε νεκρὸν ἡπλωμένον, κλαίουσα πικρῶς· Υἱέ μου ἔλεγε· τί τὸ φοβερὸν τοῦτο μυστήριον, ὁ πᾶσι δωρούμενος ζωὴν τὴν αἰώνιον, ἑκουσίως ἐν Σταυρῷ, πῶς θνήσκεις θάνατον ἐπονείδιστον; Εἰς τὴν Ζ'. Ὠιδὴν. Μαρτυρικὸν. Ἀθλοφόροι Κυρίου, μακαρία ἡ γῆ, ἡ πιανθεῖσα τοῖς αἵμασιν ὑμῶν, καὶ ἅγιαι αἱ σκηναί, αἱ δεξάμεναι τὰ σώματα ὑμῶν· ἐν σταδίῳ γὰρ τὸν ἐχθρὸν ἐθριαμβεύσατε, καὶ Χριστὸν μετὰ παρρησίας ἐκηρύξατε, αὐτὸν ὡς ἀγαθὸν ἱκετεύσατε, σωθῆναι δεόμεθα τὰς ψυχὰς ἡμῶν. ΤΗι ΠΑΡΑΣΚΕΥΗι ΠΡΩΪ ΟΡΘΡΟΣ Τὴν ἄχραντον Εἰκόνα σου προσκυνοῦμεν Ἀγαθέ, αἰτούμενοι συγχώρησιν τῶν πταισμάτων ἡμῶν, Χριστὲ ὁ Θεός· βουλήσει γὰρ ηὐδόκησας σαρκὶ ἀνελθεῖν ἐν τῷ Σταυρῷ, ἵνα ῥύσῃ οὓς ἔπλασας ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ· ὅθεν			Στίχ. Ὑψώνετε τόν Κύριο, τόν Θεό μας, καί προσκυνεῖτε τό ὑποστήριγμα τῶν ποδιῶν του. Μέ τόν τρόπο πού αἰχμαλώτισε ὁ ἐχθρός τόν Ἀδάμ, μέ τή βρώση (τό φάγωμα) τοῦ καρποῦ τοῦ ξύλου, Κύριε, μέ τόν ἴδιο τρόπο αἰχμαλώτισες κι ἐσύ τόν ἐχθρό, μέ τό ξύλο τοῦ Σταυροῦ καί τοῦ πάθους σου· Διότι μέ αὐτόν ἦλθες Ἐσύ ὁ δεύτερος Ἀδάμ, γιά νά ἀναζητήσεις αὐτόν πού ἐξαπατήθηκε, νά δώσεις ζωή, σ' αὐτόν πού νεκρώθηκε, Θεέ μου, δόξα σ' ἐσένα. Δόξα... Καί νῦν... Σταυροθεοτοκίο. Ἡ Παρθένος καί Μητέρα σου, Χριστέ,βλέποντάς σε ἐπάνω στό ξύλο ἁπλωμένο νεκρό, κλαίοντας πικρά ἔλεγε· Υἱέ μου, τί εἶναι αὐτό τό φοβερό μυστήριο; Ἐσύ πού δωρίζεις τήν αἰώνια ζωή, πῶς πεθαίνεις μέ τή θέλησή σου ἐπάνω στό Σταυρό θάνατο ἐξευτελιστικό; Μαρτυρικό τῆς Ζ'. ᾠδῆς. Ἀθλοφόροι τοῦ Κυρίου, εἶναι μακάρια ἡ γῆ πού λιπάνθηκε μέ τά αἵματά σας καί ἅγιες οἱ κατοικίες πού δέχθηκαν τά σώματά σας! Διότι στό στάδιο θριαμβεύσατα κατά τοῦ ἐχθροῦ, καί κηρύξατε τό Χριστό μέ θάρρος. Αὐτόν, σᾶς παρακαλοῦμε, ἱκετεύσατε ὡς ἀγαθόν, γιά νά σωθοῦν οἱ ψυχές μας. ΠΑΡΑΣΚΕΥΗ ΣΤΟΝ ΟΡΘΡΟ Τήν ἀμόλυντη εἰκόνα σου προσκυνοῦμε, Ἀγαθέ, ζητώντας συγχώρηση τῶν σφάλμάτων μας, Χριστέ Θεέ μας· Διότι μέ τή θέλησή σου καταδέχθηκες νά ἀνεβεῖς στό Σταυρό, γιά νά γλυτώσεις, αὐτούς πού ἔπλασες ἀπό τή σκλαβιά τοῦ ἐχθροῦ· γι' αὐτό εὐχαρίστως φωνάζουμε σ' ἐσένα: γέμισες μέ

εὐχαρίστως βοῶμέν σοι· Χαρᾶς ἐπλήρωσας τὰ πάντα, ὁ Σωτὴρ ἡμῶν παραγενόμενος, εἰς τὸ σῶσαι τὸν Κόσμον. Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ. Σωτηρίαν εἰργάσω ἐν μέσῳ τῆς γῆς Χριστὲ ὁ Θεός, ἐπὶ Σταυροῦ τὰς ἀχράντους σου χεῖρας ἐξέτεινας, ἐπισυνάγων πάντα τὰ ἔθνη, κράζοντα· Κύριε δόξα σοι. Δόξα...Καὶ νῦν...Σταυροθεοτοκίον. Ὑπερδεδοξασμένη ὑπάρχεις, Θεοτόκε Παρθένε ὑμνοῦμέν σε· διὰ γὰρ τοῦ Σταυροῦ τοῦ Υἱοῦ σου, κατεβλήθη ὁ Ἅιδης, καὶ ὁ θάνατος τέθνηκε, νεκρωθέντες ἀνέστημεν, καὶ ζωῆς ἠξιώθημεν, τὸν Παράδεισον ἐλάβομεν, τὴν ἀρχαίαν ἀπόλαυσιν· διὸ εὐχαριστοῦντες δοξολογοῦμεν, ὡς κραταιὸν Χριστὸν τὸν Θεὸν ἡμῶν καὶ μόνον πολυέλεον. Εἰς τήν Ζ'. Ὠιδήν. Μαρτυρικόν. Ἐπὶ τὴν πέτραν τὴν ἀσάλευτον, θεμελιώσαντες οἱ Ἅγιοι, κατὰ τῶν τυράννων κραταιῶς ἠνδρίσαντο, καὶ διὰ βασάνων τῶν στεφάνων ἔτυχον, δι' αὐτῶν ὁ Θεός, σῶσον ἡμᾶς. ΤΗι ΠΑΡΑΣΚΕΥΗι ΕΣΠΕΡΑΣ Οἱ τὴν ἐπίγειον ἀπόλαυσιν μὴ ποθήσαντες, ἀθλοφόροι, οὐρανίων ἀγαθῶν ἠξιώθησαν, καὶ Ἀγγέλων συμπολῖται γεγόνασι, Κύριε, πρεσβείαις αὐτῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς. Τῶν ἁγίων Μαρτύρων πρεσβευόντων ὑπὲρ			χαρά τά πάντα, Σωτήρα μας, ἐρχόμενος νά σώσεις τόν κόσμο. Στίχ. Ὑψώνετε τόν Κύριο, τόν Θεό μας, καί προσκυνεῖτε τό ὑποστήριγμα τῶν ποδιῶν του. Πραγματοποίησες (ἔφερες) σωτηρία στή μέση τοῦ κόσμου, Χριστέ Θεέ μας, συγκεντρώνοντας ὅλα τά ἔθνη πού φωνάζουν· Κύριε, δόξα σ' ἐσένα. Δόξα... Καί νῦν... Σταυροθεοτοκίο. Εἶσαι ὑπερένδοξη, Θεοτόκε Παρθένε, γι' αὐτό σέ ὑμνοῦμε· Διότι μέ τό Σταυρό τοῦ Υἱοῦ σου νικήθηκε ὁ ᾅδης καί ὁ θάνατος πέθανε· Ὄντας νεκροί ἀναστηθήκαμε, καί κριθήκαμε ἄξιοι τῆς ζωῆς· Πήραμε τόν παράδεισο, τήν ἀρχαία ἀπόλαυση· Γι' αὐτό εὐχαριστώντας δοξολογοῦμε ὡς παντοδύναμο τό Χριστό, τόν Θεό μας, καί μόνο πολυέλεο. Μαρτυρικό τῆς Ζ'. ᾠδῆς. Βάζοντας θεμέλιο ἐπάνω στήν ἀσάλευτη πέτρα τῆς πίστης οἱ Ἅγιοι, ἔδειξαν μεγάλη ἀνδρεία κατά τῶν τυράννων, καί μέ βάσανα πέτυχαν τά στεφάνια· Μέσῳ αὐτῶν, ὦ Θεέ, σῶσε μας. ΠΑΡΑΣΚΕΥΗ ΣΤΟΝ ΕΣΠΕΡΙΝΟ Οἱ Ἀθλοφόροι, πού δέν πόθησαν τήν ἐπίγεια ἀπόλαυση, ἔγιναν ἄξιοι γιά οὐράνια ἀγαθά, καί ἔγιναν συμπολῖτες τῶν Ἀγγέλων. Κύριε, μέ τίς πρεσβεῖες αὐτῶν ἐλέησε καί σῶσε μας. Ἐπειδή οἱ ἅγιο Μάρτυρες πρεσβεύουν γιά μᾶς, καί

ἡμῶν, καὶ τὸν Χριστὸν ὑμνούντων, πᾶσα πλάνη πέπαυται, καὶ τῶν ἀνθρώπων τὸ γένος, πίστει διασῴζεται. Χοροὶ Μαρτύρων ἀντέστησαν, τοῖς τυράννοις λέγοντες· Ἡμεῖς στρατευόμεθα τῷ Βασιλεῖ τῶν Δυνάμεων, εἰ καὶ πυρὶ καὶ βασάνοις ἀναλώσετε ἡμᾶς, οὐκ ἀρνούμεθα τῆς Τριάδος τὴν δύναμιν. Μεγάλη ἡ δόξα, ἣν ἐκτήσασθε Ἅγιοι, διὰ τῆς πίστεως· οὐ μόνον γὰρ ἐν τῷ πάσχειν τὸν ἐχθρὸν ἐνικήσατε, ἀλλὰ καὶ μετὰ θάνατον πνεύματα ἀπελαύνετε, ἀσθενοῦντας θεραπεύετε, ψυχῶν καὶ σωμάτων ἰατροί, πρεσβεύσατε πρὸς Κύριον, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν. Δόξα... Οἴμοι οἷον ἀγῶνα ἔχει ἡ ψυχή, χωριζομένη ἐκ τοῦ σώματος! οἴμοι πόσα δακρύει τότε, καὶ οὐχ ὑπάρχει ὁ ἐλεῶν αὐτήν! πρός τούς Ἀγγέλους τὰ ὄμματα ῥέπουσα, ἄπρακτα καθικετεύει, πρὸς τοὺς ἀνθρώπους τὰς χεῖρας ἐκτείνουσα, οὐκ ἔχει τὸν βοηθοῦντα. Διὸ ἀγαπητοί μου ἀδελφοί, ἐννοήσαντες ἡμῶν τὸ βραχὺ τῆς ζωῆς, τοῖς μεταστᾶσι τὴν ἀνάπαυσιν, παρὰ Χριστοῦ αἰτησώμεθα, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος. Καὶ νῦν ... Θεοτοκίον. Παρῆλθεν ἡ σκιὰ τοῦ Νόμου, τῆς χάριτος ἐλθούσης· ὡς γὰρ ἡ βάτος οὐκ ἐκαίετο καταφλεγομένη, οὕτω παρθένος ἔτεκες, καὶ παρθένος ἔμεινας, ἀντὶ στύλου πυρός, δικαιοσύνης ἀνέτειλεν Ἥλιος, ἀντὶ Μωυσέως Χριστός, ἡ			ὑμνοῦν τό Χριστό, κάθε πλάνη ἔχει πάψει, καί τό γένος τῶν ἀνθρώπων διασώζεται μέ τήν πίστη. Πλήθη Μαρτύρων ἀντιστάθηκαν στούς τυράννους λέγοντας· Ἐμεῖς εἴμαστε ἐπιστρατευμένοι ἀπό τό Βασιλιά τῶν Δυνάμεων· καί ἄν μᾶς θανατώσετε μέ φωτιά καί μέ βάσανα, δέν ἀρνούμεθα τή δύναμη τῆς Ἁγίας Τριάδας. Μεγάλη ἡ δόξα, πού ἀποκτήσατε, Ἅγιοι, μέ τήν πίστη! διότι ὄχι μόνο νικήσατε τόν ἐχθρό πάσχοντας, ἀλλά καί μετά τό θάνατο διώχνετε πονηρά πνεύματα· θεραπεύετε ἀσθενεῖς, ἰατροί ψυχῶν καί σωμάτων· Πρεσβεύσατε πρός τόν Κύριο, νά ἐλεηθοῦν οἱ ψυχές μας. Δόξα... Ἀλλοίμονο! τί ἀγῶνα ἔχει ἡ ψυχή, ὅταν χωρίζεται ἀπό τό σῶμα! Ἀλλοίμονο! πόσο δακρύζει τότε, καί δέν ὑπάρχει, ἐκεῖνος πού θά τήν ἐλεήσει! Στρέφοντας τά μάτια πρός τούς Ἀγγέλους ἱκετεύει ἀνώφελα· Ἁπλώνοντας τά χέρια πρός τούς ἀνθρώπους δέν ἔχει βοηθό. Γι' αὐτό, ἀγαπητοί μου ἀδελφοί, ἐννοώντας πόσο σύντομη εἶναι ἡ ζωή μας, ἄς ζητήσουμε τήν ἀνάπαυση γιά τούς κεκοιμημένους, καί γιά τίς ψυχές μας τό μέγα ἔλεος.. Καί νῦν ... Θεοτοκίο. Πέρασε καί ἔφυγε ἡ σκιά τοῦ παλαιοῦ (τοῦ Ἑβραϊκοῦ) νόμου, διότι ἦλθε ὁ νόμος τῆς χάριτος (ὁ χριστιανικός)· Διότι, ὅπως ἡ βάτος τοῦ Μωυσῆ δέν καιγόταν, μολονότι ἔβγαζε φλόγες, ἔτσι Παρθένος ἐγέννησες καί Παρθένος ἔμεινες· ἀντί στύλου πυρός, (πού ὁδηγοῦσε τούς Ἑβραίους στήν

σωτηρία τῶν ψυχῶν ἡμῶν. ΗΧΟΣ Γ'. ΤΗι ΚΥΡΙΑΚΗι ΕΣΠΕΡΑΣ Ἑσπερινὸν ὕμνον, προσφέρομένσοι Χριστέ, μετὰ θυμιάματος, καὶ ᾠδῶν πνευματικῶν, ἐλέησον, Σωτὴρ, τὰς ψυχὰς ἡμῶν. Σῶσόν με Κύριε ὁ Θεός μου· σὺ γὰρ πάντων ἡ σωτηρία, ὁ κλύδων με τῶν παθῶν ἐκταράττει, καὶ τὸ βάρος τῶν ἀνομιῶν με βυθίζει· δός μοι χεῖρα βοηθείας, καὶ πρός φῶς ἀνάγαγέ με κατανύξεως, ὡς μόνος εὔσπλαγχνος, καὶ φιλάνθρωπος. Τὸν διεσπαρμένον μου νοῦν συνάγαγε Κύριε, καὶ τὴν χερσωθεῖσάν μου καρδίαν καθάρισον, ὡς τῷ Πέτρῳ διδούς μοι μετάνοιαν, ὡς τῷ Τελώνῃ στεναγμόν, καὶ ὡς τῇ Πόρνῃ δάκρυα, ἵνα μεγάλῃ τῇ φωνῇ κραυγάζω σοι· Θεέ μου, σῶσόν με, ὡς μόνος εὔσπλαγχνος καὶ φιλάνθρωπος. Πολλάκις τὴν ὑμνῳδίαν ἐκτελῶν εὑρέθην τὴν ἁμαρτίαν ἐκπληρῶν, τῇ μὲν γλώττῃ ᾄσματα φθεγγόμενος, τῇ δὲ ψυχῇ ἄτοπα λογιζόμενος, ἀλλ' ἑκάτερα διόρθωσον, Χριστὲ ὁ Θεός, διὰ τῆς μετανοίας, καὶ ἐλέησόν με. ΤΗι ΤΕΤΑΡΤΗι ΠΡΩΪ. ΟΡΘΡΟΣ Τὸ ἀναρίθμητον τῆς ἐξουσίας σου, καὶ τὸ ἑκούσιον τὸ τῆς σταυρώσεως, αἱ τῶν Ἀγγέλων στρατιαί, ἐξίσταντο καθορῶσαι, πῶς ὁ ἀθεώρητος, ἐν σαρκὶ ἐμαστίζετο, θέλων ἐκλυτρώσασθαι ἐκ			ἔρημο) ἀνέτειλε ὁ Ἥλιος τῆς δικαιοσύνης, ἀντί τοῦ Μωυσῆ ὁ Χριστός, ὁ Σωτήρας τῶν ψυχῶν μας. ΗΧΟΣ Γ'. ΚΥΡΙΑΚΗ ΣΤΟΝ ΕΣΠΕΡΙΝΟ Ἑσπερινό ὕμνο σοῦ προσφέρουμε, Χριστέ, μαζί μέ θυμίαμα καί ᾄσματα (ὕμνους) πνευματικά· Ἐλέησε, Σωτήρα, τίς ψυχές μας. Σῶσε με, Κύριε Θεέ μου, διότι ἐσύ εἶσαι ἡ σωτηρία ὅλων· ἡ τρικυμία τῶν παθῶν μέ ταράζει, καί τό βάρος τῶν ἀνομιῶν μέ βυθίζει· Δός μου χέρι βοηθείας, καί ὁδήγησέ με πρός τό φῶς τῆς κατανύξεως, ὡς μόνος εὔσπλαχνος καί φιλάνθρωπος. Τόν διασκορπισμένο μου νοῦ συγκέντρωσέ τον, Κύριε, καί τήν καρδιά μου, πού ἔχει χερσωθεῖ, καθάρισέ την δίνον τάς μου μετάνοια ὅπως στόν Πέτρο, στεναγμό ὅπως στόν Τελώνη, καί δάκρυα ὅπως στήν Πόρνη, γιά νά κραυγάζω σ' ἐσένα μέ μεγάλη φωνή· Θεέε μου, σῶσε με, ὡς μόνος εὔσπλαχνος καί φιλάνθρωπος. Πολλές φορές ἐκτελώντας τήν ὑμνῳδία βρέθηκα νά κάνω τήν ἁμαρτία· Διότι μέ τή γλῶσσα βέβαια ἔλεγα ᾄσματα, ἀλλά μέ τήν ψυχή σκεπτόμουν ἄπρεπα πράγματα· Ἀλλά διόρθωσε καί τά δύο, Χριστέ Θεέ μου, μέ τή μετάνοια καί ἐλέησέ με. ΤΕΤΑΡΤΗ ΣΤΟΝ ΟΡΘΡΟ Βλέποντας τήν ἄπειρη ἐξουσία σου, καί τή θεληματική σου Σταύρωση, οἱ στρατιές τῶν Ἀγγέλων ἀποροῦσαν. Πῶς ὁ ἀόρατος μαστιγωνόταν σωματικά θέλοντας νά λυτρώσει ἀπό τή φθορά τό ἀνθρώπινο γένος; γι' αὐτό ὡς ζωοδότη φωνά-

φθορᾶς τὸ ἀνθρώπινον; διὸ ὡς Ζωοδότῃ βοῶμέν σοι· δόξα, Χριστὲ τῇ Βασιλείᾳ σου. Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ. Σταυρὸς ἐπάγη ἐπὶ γῆς, καὶ ἥψατο τῶν οὐρανῶν, οὐχ ὡς τοῦ ξύλου φθάσαντος τὸ ὕψος, ἀλλὰ σοῦ τοῦ ἐν αὐτῷ πληροῦντος τὰ σύμπαντα, δόξα σοι. Δόξα...Καὶ νῦν...Σταυροθεοτοκίον. Ῥάβδον δυνάμεως κεκτημένοι, τὸν Σταυρὸν τοῦ Υἱοῦ σου Θεοτόκε, ἐν αὐτῷ καταβάλλομεν τῶν ἐχθρῶν τὰ φρυάγματα, οἱ πόθῳ σε ἀπαύστως μεγαλύνοντες. Εἰς τὴν Ζ'. Ὠιδὴν. Μαρτυρικὸν. Τῶν Ἀθλοφόρων σου τὴν μνήμην Κύριε, ὑπερεφαίδρυνας ὡς Παντοδύναμος, ὅτι ἐνίσχυσας αὐτοὺς τὰ πάθη σου μιμήσασθαι· ἐνίκησαν ἀνδρείως γὰρ τοῦ Βελίαρ τὴν δύναμιν· ὅθεν καὶ ἀπέλαβον, ἰαμάτων χαρίσματα, αὐτῶν ταῖς ἱκεσίαις φιλάνθρωπε, εἰρήνην παράσχου ταῖς ψυχαῖς ἡμῶν. ΤΗι ΠΑΡΑΣΚΕΥΗι ΠΡΩΪ ΟΡΘΡΟΣ Σταυρὸν καὶ θάνατον, παθεῖν ἑλόμενος, μέσον τῆς Κτίσεως τοῦτον κατέπηξας, ὅτε εὐδόκησας, Σωτήρ, τὸ σῶμά σου προσηλωθῆναι, τότε καὶ ὁ ἥλιος τὰς ἀκτῖνας ἀπέκρυψε, ταῦτα καὶ Ληστὴς ὁρῶν, Θεόν σε ὡμολόγησε, βοῶν σοι· μνήσθητί μου, Κύριε, καὶ ἔλαβε πιστεύσας τὸν Παράδεισον. Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ			ζουμε σ' ἐσένα: Δόξα, Χριστέ, στή Βασιλεία σου. Στίχ. Ὑψώνετε τόν Κύριο, τόν Θεό μας, καί προσκυνεῖτε τό ὑποστήριγμα τῶν ποδιῶν του. Ὁ Σταυρός καρφώθηκε στή γῆ καί ἄγγιξε τούς οὐρανούς, ὄχι ἐπειδή τό ξύλο ἔφθασε σ' αὐτό τό ὕψος, ἀλλά ἐπειδή Ἐσύ, πού εἶσαι ἐπάνω του, γεμίζεις τά σύμπαντα· Δόξα σ' ἐσένα. Δόξα... Καί νῦν... Σταυροθεοτοκίο. Ἔχοντας ὡς ραβδί δυνάμεως τό Σταυρό τοῦ Υἱοῦ σου, Θεοτόκε, μέ αὐτόν θά καταβάλουμε τήν ἀλαζονεία τῶν ἐχθρῶν, ἐμεῖς πού μέ πόθο σέ μεγαλύνουμε ἀκατάπαυστα. Μαρτυρικό Ζ'. ᾠδῆς. Τή μνήμη τῶν Ἀθλοφόρων σου, Κύριε, τήν ἔκανες πολύ λαμπρή ὡς Παντοδύναμος, διότι τούς ἐνίσχυσες, νά μιμηθοῦν τά πάθη σου· Διότι ἐνίκησαν μέ ἀνδρεία τή δύναμη τοῦ σατανᾶ· Γι' αὐτό καί ἔλαβαν ὡς ἀμοιβή χαρίσματα θεραπειῶν· Μέ τίς ἱκεσίες αὐτῶν, Φιλάνθρωπε, δῶσε εἰρήνη στίς ψυχές μας. ΠΑΡΑΣΚΕΥΗ ΣΤΟΝ ΟΡΘΡΟ Ἀφοῦ ἐπέλεξες, νά πάθεις, Σταυρό καί θάνατο, τά ὑπέμεινες αὐτά στό μέσο τοῦ κόσμου, ὅταν ἀνέχθηκες, Σωτήρα, νά καρφώσεις τό σῶμα σου· Τότε καί ὁ ἥλιος ἔκρυψε τίς ἀκτῖνες του· Αὐτά βλέποντας καί ὁ ληστής σέ ὁμολόγησε Θεό· φωνάζοντας σ' ἐσένα· θυμήσου με, Κύριε, καί ἀφοῦ πίστεψε, ἔλαβε τόν παράδεισο. Στίχ. Ὑψώνετε τόν Κύριο, τόν Θεό μας, καί προσκυνεῖτε

προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ. Ἐν κυπαρίσσῳ, καὶ πεύκῃ, καὶ κέδρῳ, ὑψώθης ὁ Ἀμνὸς τοῦ Θεοῦ, ἵνα σώσῃς τοὺς ἐν πίστει προσκυνοῦντας, τὴν ἑκούσιόν σου Σταύρωσιν· Χριστὲ ὁ Θεὸς δόξα σοι. Δόξα... Καὶ νῦν... Σταυροθεοτοκίον. Τὸν ἐπονείδιστον Οἰκτίρμον θάνατον, διὰ σταυρώσεως, ἑκὼν ὑπέμεινας· ὃν ἡ τεκοῦσά σε Χριστέ, ὁρῶσα ἐτιτρώσκετο· ἧς ταῖς παρακλήσεσι, διὰ σπλάγχνα ἐλέους σου, μόνε ὑπεράγαθε, καὶ φιλάνθρωπε Κύριε, οἰκτείρησον καὶ σῶσον τὸν Κόσμον, ὁ αἴρων τὴν τούτου ἁμαρτίαν. Εἰς τὴνΖ'. Ὠιδὴν. Μαρτυρικὸν. Ἐκλάμπετε διὰ τῆς πίστεως, ὑπέρλαμπροι φωστῆρες Ἅγιοι, θεοσεβείας ἰατροί, ἀθλοφόροι πανεύφημοι· τῶν τυράννων γὰρ τοὺς αἰκισμοὺς μὴ δειλανδρίσαντες, τῶν εἰδώλων τὰς δυσφημίας κατηδαφίσατε, τρόπαιον ἔχοντες ἀήττητον, τὸν Σταυρὸν τῆς ἀληθείας. ΤΗι ΠΑΡΑΣΚΕΥΗι ΕΣΠΕΡΑΣ Μεγάλη τῶν Μαρτύρων σου Χριστὲ ἡ δύναμις· ἐν μνήμασι γὰρ κεῖνται, καὶ πνεύματα διώκουσι, καὶ κατήργησαν ἐχθροῦ τὴν ἐξουσίαν, τῇ πίστει τῆς Τριάδος, ἀγωνισάμενοι ὑπὲρ τῆς εὐσεβείας. Προφῆται καὶ Ἀπόστολοι Χριστοῦ καὶ Μάρτυρες, ἐδίδαξαν ὑμνεῖσθαι, Τριάδα Ὁμοούσιον, καὶ ἐφώτισαν τὰ ἔθνη τὰ πεπλανημένα, καὶ κοινωνοὺς Ἀγγέλων ἐποίησαν, τοὺς υἱοὺς τῶν ἀνθρώπων. Οἱ Μάρτυρές σου Κύριε, πίστει στηριχθέντες,			τό ὑποστήριγμα τῶν ποδιῶν του. Ἐπάνω σέ κυπαρίσσι καί πεῦκο καί κέδρο ὑψώθηκες Ἐσύ ὁ ἀμνός (τό ἀρνί) τοῦ Θεοῦ, γιά νά σώσεις ἐκείνους πού μέ πίστη προσκυνοῦν τή θεληματική σου Σταύρωση· Χριστέ Θεέ μας, δόξα σ' ἐσένα. Δόξα... Καὶ νῦν... Σταυροθεοτοκίο. Ὑπέμεινες θεληματικά Εὔσπλαχνε, τόν ἐξευτελιστικό θάνατο μέ σταύρωση· πού βλέποντάς σε, Χριστέ, αὐτή πού σ' ἐγέννησε, πληγωνόταν· μέ τίς παρακλήσεις αὐτῆς γιά τήν εὐσπλαχνία τοῦ ἐλέους σου, μόνε ὑπεράγαθε καί φιλάνθρωπε Κύριε, λυπήσου καί σῶσε τόν κόσμο, ἐσύ πού σηκώνεις τήν ἁμαρτία του. Μαρτυρικό τῆς Ζ', ᾠδῆς. Λάμπετε ὑπερβολικά μέ τήν πίστη, ὑπέρλαμπροι φωστῆρες Ἅγιοι, θεοσεβεῖς ἰατροί, δοξασμένοι Ἀθλοφόροι· Διότι, χωρίς νά δειλιάσετε τά βασανιστήρια τῶν τυράννων, κατεδαφίσατε τίς ἀσεβεῖς λατρεῖες, ἔχοντας ὡς ἀνίκητο σύμβολο νίκης τό Σταυρό τῆς ἀλήθειας. ΠΑΡΑΣΚΕΥΗ ΣΤΟΝ ΕΣΠΕΡΙΝΟ Εἶναι μεγάλη ἡ δύναμη τῶν Μαρτύρων σου, Χριστέ· Διότι βρίσκονται στά μνήματα καί διώχνουν πνεύματα, καί κατάργησαν τήν ἐξουσία τοῦ ἐχθροῦ, ἀφοῦ ἀγωνίσθηκαν ὑπέρ τῆς εὐσεβείας μέ τήν πίστη τῆς Τριάδος. Προφῆτες καί Ἀπόστολοι τοῦ Χριστοῦ καί Μάρτυρες δίδαξαν νά ὑμνεῖται Τριάδα ὁμοούσια (μέ τή ἴδια οὐσία), καί φώτισαν τά πλανεμένα ἔθνη, καί ἔκαναν τούς ἀπογόνους τῶν ἀνθρώπων συμμέτοχους τῶν Ἀγγέλων. Οἱ Μάρτυρές σου, Κύριε, στηρίχθηκαν στήν πίστη, βε-

ἐλπίδι βεβαιωθέντες, τοῦ ἐχθροῦ τὴν τυραννίδα ἔλυσαν, καὶ τυχόντες τῶν στεφάνων, μετὰ τῶν Ἀσωμάτων πρεσβεύουσιν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Μεγάλη τοῦ Σταυροῦ σου, Κύριε, ἡ δύναμις· ἐπάγη γὰρ ἐν τόπῳ, καὶ ἐνεργεῖ ἐν Κόσμῳ, καὶ ἀνέδειξεν ἐξ ἁλιέων Ἀποστόλους, καὶ ἐξ ἐθνῶν Μάρτυρας, ἵνα πρεσβεύωσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Δόξα... Νεκρώσιμον. Πάντα ματαιότης τὰ ἀνθρώπινα, ὅσα οὐχ ὑπάρχει μετὰ θάνατον, οὐ παραμένει ὁ πλοῦτος, οὐ συνοδεύει ἡ δόξα· ἐπελθὼν γὰρ ὁ θάνατος, ταῦτα πάντα ἐξηφάνισται. Διὸ Χριστῷ τῷ ἀθανάτῳ Βασιλεῖ βοήσωμεν· Τοὺς μεταστάντας ἐξ ἡμῶν ἀνάπαυσον, ἔνθα πάντων ἐστὶν εὐφραινομένων ἡ κατοικία. Καὶ νῦν... Θεοτοκίον. Πῶς μὴ θαυμάσωμεν, τὸν θεανδρικόν σου τόκον πανσεβάσμιε; Πεῖραν γὰρ ἀνδρὸς μὴ δεξαμένη Πανάμωμε, ἔτεκες ἀπάτορα Υἱὸν ἐν σαρκί, τὸν πρὸ αἰώνων ἐκ Πατρός γεννηθέντα ἀμήτορα, μηδαμῶς ὑπομείναντα τροπήν, ἢ φυρμόν, ἢ διαίρεσιν, ἀλλ' ἑκατέρας οὐσίας τὴν ἰδιότητα σώαν φυλάξαντα. Διὸ Μητροπάρθενε Δέσποινα, αὐτόν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς τῶν ὀρθοδόξως, Θεοτόκον ὁμολογούντων σε. ΗΧΟΣ Δ'.			βαιώθηκαν μέ τήν ἐλπίδα, ἐνώθηκαν ψυχικά μέ τήν ἀγάπη τοῦ Σταυροῦ σου, καί κατέστρεψαν τήν τυραννία τοῦ ἐχθροῦ, καί ἔτσι ἐπέτυχαν τά στεφάνια, μαζί μέ τούς Ἀγγέλους καί πρεσβεύουν ὑπέρ τῶν ψυχῶν μας. Εἶναι μεγάλη ἡ δύναμη τοῦ Σταυροῦ σου, Κύριε· Διότι καρφώθηκε σέ ἕνα τόπο, ἀλλά ἐνεργεῖ σέ ὅλο τόν κόσμο· Καί ἀνέδειξε Ἀποστόλους ἀπό ψαράδες, καί ἀπό τά ἔθνη Μάρτυρες, γιά νά πρεσβεύουν ὑπέρ τῶν ψυχῶν μας. Δόξα... Νεκερώσιμο. Ὅλα τά ἀνθρώπινα εἶναι μάταια, ὅσα δέν ὑπάρχουν μετά τό θάνατο· Διότι δέν παραμένει ὁ πλοῦτος, δέν συνοδεύει ἡ δόξα· Διότι μόλις ἔλθει ὁ θάνατος, ὅλα αὐτά ἐξαφανίζονται. Γι' αὐτό ἄς φωνάξουμε στό Χριστό, τόν ἀθάνατο Βασιλέα: Ἀνάπαυσε, αὐτούς πού ἔφυγαν ἀπό μᾶς, ἐκεῖ ὅπου εἶναι ἡ κατοικία ὅλων αὐτῶν πού εὐφραίνονται. Καί νῦν.... Θεοτοκίο. Πῶς νά μή θαυμάσουμε τόν θεανθρώπινό σου τέκνο, Πάνσεμνη; Διότι, χωρίς νά ἔχεις σχετισθεῖ μέ ἄνδρα, Ἀμόλυντη, γέννησες Υἱό μέ σάρκα χωρίς πατέρα, αὐτόν ὁ ὁποῖος προαιώνια γεννήθηκε ἀπό Πατέρα χωρίς μητέρα, χωρίς νά ὑποστεῖ μετατροπή ἤ σύγχυση ἤ διαίρεση, ἀλλά ἀντιθέτως μέ τό νά φυλάξει τήν ἰδιότητά του ἄθικτη. Γι' αὐτό, Δέσποινα (Κυρία) Μητέρα καί Παρθένε, αὐτόν ἱκέτευε, νά σωθοῦν οἱ ψυχές αὐτῶν, πού μέ τρόπο ὀρθόδοξο σέ ἀναγνωρίζουν Θεοτόκο (Μητέρα Θεοῦ). ΗΧΟΣ Δ'.

ΤΗι ΚΥΡΙΑΚΗι ΕΣΠΕΡΑΣ Ἤθελον δάκρυσιν ἐξαλεῖψαι,τῶν ἐμῶν πταισμάτων Κύριε, τὸ χειρόγραφον, καὶ τὸ ὑπόλοιπον τῆς ζωῆς μου, διὰ μετανοίας εὐαρεστῆσαί σοι, ἀλλ' ὁ ἐχθρὸς ἀπατᾷ με, καὶ πολεμεῖ τὴν ψυχήν μου, Κύριε, πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με. Τίς χειμαζόμενος καὶ προστρέχων, τῷ λιμένι τούτῳ οὐ διασῴζεται; ἢ τὶς ὀδυνώμενος καὶ προσπίπτων, τῷ ἰατρείῳ τούτῳ οὐ θεραπεύεται; Δημιουργὲ τῶν ἁπάντων, καὶ ἰατρὲ τῶν νοσούντων, Κύριε, πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με. Πλῦνόν με τοῖς δάκρυσί μου, Σωτήρ, ὅτι ῥερύπωμαι ἐν πολλαῖς ἁμαρτίαις· διὸ καὶ προσπίπτω σοι. Ἥμαρτόν· ἐλέησόν με ὁ Θεός. Πρόβατόν εἰμι τῆς λογικῆς συποίμνης, καὶ πρὸς σὲ καταφεύγω, τὸν ποιμένα τὸν καλόν, ζήτησόν με τὸν πλανηθέντα ὁ Θεός, καὶ ἐλέησόν με. ΤΗι ΤΕΤΑΡΤΗι ΠΡΩΪ ΟΡΘΡΟΣ Ἐξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου, τῷ τιμίῳ σου Αἵματι, τῷ Σταυρῷ προσηλωθείς, καὶ τῇ λόγχῃ κεντηθείς, τὴν ἀθανασίαν ἐπήγασας ἀνθρώποις, Σωτὴρ ἡμῶν, δόξα σοι. Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ. Ταχὺ προκατάλαβε, πρὶν δουλωθῆναι ἡμᾶς, ἐχθροῖς βλασφημοῦσί σε, καὶ ἀπειλοῦσιν ἡμῖν,			ΚΥΡΙΑΚΗ ΣΤΟΝ ΕΣΠΕΡΙΝΟ Ἤθελα νά σβήσω μέ δάκρυα τό γραμμάτιο τῶν δικῶν μου σφαλμάτων, καί κατά τήν ὑπόλοιπη ζωή μου μέ τή μετάνοια νά γίνω εὐάρεστος σ' ἐσένα· ἀλλά ὁ ἐχθρός μέ ἐξαπατᾷ καί πολεμεῖ τήν ψυχή μου· Κύριε, πρίν χαθῶ τελείως σῶσε με. Ποιός πού θαλασσοδέρνεται καί καταφεύγει σ' αὐτό τό λιμάνι δέν διασώζεται; Ἤ ποιός πού ὑποφέρει καί καταφεύγει σ' αὐτό τό ἰατρεῖο δέ θεραπεύεται; Δημιουργέ τῶν ἁπάντων καί ἰατρέ τῶν ἀσθενῶν, Κύριε, πρίν χαθῶ τελειωτικά, σῶσε με. Πλῦνε με μέ τά δάκρυά μου, Σωτήρα, διότι ἔχω λερωθεῖ μέ πολλές ἁμαρτίες· γι' αὐτό καί πέφτω μπροστά σου· ἁμάρτησα· Ἐλέησέ με, Θεέ μου. Εἶμαι πρόβατο τοῦ λογικοῦ σου κοπαδιοῦ, καί καταφεύγω σ' ἐσένα τόν καλό βοσκό· ἀναζήτησέ με, Θεέ μου, ἐμένα τόν πλανεμένο, καί ἐλέησέ με. ΤΕΤΑΡΤΗ ΣΤΟΝ ΟΡΘΡΟ Μᾶς ἐξαγόρασες ἀπό τήν κατάρα τοῦ νόμου μέ τό τίμιο αἷμα σου, ἀφοῦ καρφώθηκες στό Σταυρό καί πληγώθηκες μέ τή λόγχη, πήγασες τήν ἀθανασία στούς ἀνθρώπους. Σωτήρα μας, δόξα σ' ἐσένα. Στίχ. Ὑψώνετε τόν Κύριο τόν Θεό μας, καί προσκυνεῖτε τό ὑποστήριγμα τῶν ποδιῶν του. Γρήγορα πρόφθασέ μας, πρίν ὑποδουλωθοῦμε σέ ἐχθρούς, πού βλασφημοῦν ἐσένα καί ἀπειλοῦν ἐμᾶς, Χριστέ

Χριστὲ ὁ Θεὸς ἡμῶν, ἄνελε τῷ Σταυρῷ σου, τοὺς ἡμᾶς πολεμοῦντας, γνώτωσαν πῶς ἰσχύει, Ὀρθοδόξων ἡ Πίστις, πρεσβείαις τῆς Θεοτόκου, μόνε φιλάνθρωπε.			Θεέ μας· Ἐξαφάνισε μέ τό Σταυρό σου, αὐτούς πού μᾶς πολεμοῦν· Ἄς μάθουν πόση δύναμη ἔχει τῶν ὀρθοδόξων ἡ πίστη μέ τίς πρεσβεῖες τῆς Θεοτόκου, μόνε Φιλάνθρωπε.
Δόξα...Καὶ νῦν...Σταυροθεοτοκίον.			Δόξα... Καί νῦν... Σταυροθεοτοκίο.
Παρθένε πανάμωμε, Μήτηρ Χριστοῦ τοῦ Θεοῦ, ῥομφαία διῆλθέ σου τὴν παναγίαν ψυχήν, ἡνίκα σταυρούμενον, ἔβλεψας ἑκουσίως τὸν Υἱὸν καὶ Θεόν σου, ὅν περ εὐλογημένη, δυσωποῦσα μὴ παύσῃ, συγχώρησιν πταισμάτων, ἡμῖν δωρήσασθαι.			Παρθένε Παναμόλυντη, Μητέρα τοῦ Χριστοῦ, τοῦ Θεοῦ, σπαθί διαπέρασε τήν πανάγια ψυχή σου, ὅταν εἶδες νά σταυρώνεται θεληματικά ὁ Υἱός καί Θεός σου· Τόν ὁποῖο, εὐλογημένη, μήν παύσεις νά παρακαλεῖς, νά δωρίσει σ' ἐμᾶς συγχώρηση πταισμάτων.
Εἰς τὴν Ζ'. Ὠιδὴν. Μαρτυρικὸν.			Ματυρικό Ζ'. ᾠδῆς.
Οἱ Μάρτυρές σου Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν, στεφάνους ἐκομίσαντο τῆς ἀφθαρσίας ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· σχόντες γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλον, ἔθραυσαν καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση. Αὐτῶν ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.			Οἱ Μάρτυρές σου, Κύριε, κατά τήν ἄθλησή τους ἔλαβαν στεφάνια τῆς ἀφθαρσίας ἀπό σένα τόν Θεό μας· Διότι ἔχοντας τή δύναμή σου νίκησαν τούς τυράννους, συνέτριψαν καί τῶν δαιμόνων τήν ἀνίσχυρη ἀλαζονεία. Μέ τίς ἱκεσίες αὐτῶν, Χριστέ Θεέ μας, σῶσε τίς ψυχές μας.
ΤΗι ΠΑΡΑΣΚΕΥΗι. ΟΡΘΡΟΣ			ΠΑΡΑΣΚΕΥΗ ΣΤΟΝ ΟΡΘΡΟ
Σταυρῷ σε προσήλωσαν οἱ Ἰουδαῖοι Σωτήρ, δι' οὗ ἐκ τῶν ἐθνῶν ἡμᾶς ἀνεκαλέσω τὸ πρίν, φιλάνθρωπε Κύριε, ἥπλωσας τὰς παλάμας, ἐν αὐτῷ τῇ βουλήσει, λόγχῃ δὲ τὴν πλευράν σου κατεδέξω νυγῆναι, τῷ πλήθει τῶν οἰκτιρμῶν σου, δόξα, Μακρόθυμε.			Σέ κάρφωσαν σέ Σταυρό οἱ Ἰουδαῖο, Σωτήρα, διά τοῦ ὁποίου μᾶς κάλεσες ἐξ ἀρχῆς ἀπό τά ἔθνη, Χριστέ Θεέ μας· ἅπλωσες τίς παλάμες σου ἐπάνω σ' αὐτόν μέ τή θέλησή σου, καί καταδέχθηκες νά πληγωθεῖς μέ λόγχη στήν πλευρά σου· δόξα στό πλῆθος τῆς εὐσπλαχνίας σου, Μακρόθυμε (Μεγαλόψυχε).
Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ.			Στίχ. Ὑψώνετε τόν Κύριο τόν Θεό μας, καί προσκυνεῖτε τό ὑποστήριγμα τῶν ποδιῶν του.
Τὸ φῶς τῶν ψυχῶν ἡμῶν, νῦν καθορῶντες Χριστέ, Σταυρόν σου τὸν ἄχραντον, καὶ			Παρατηρώντας τώρα, Χριστέ, τό φῶς τῶν ψυχῶν μας, πού εἶναι ὁ Σταυρός σου ὁ ἀμόλυντος, καί προσκυνώντας

προσκυνοῦντες αὐτόν, φαιδρῶς ἐκβοῶμέν σοι· Δόξα σοι ὁ ἐν τούτῳ, ὑψωθῆναι θελήσας, δόξα σοι ὁ φωτίσας, δι' αὐτοῦ πᾶσαν κτίσιν, ἐν ᾧ σε ἀκαταπαύστως, ὕμνοις δοξάζομεν. Δόξα...Καὶ νῦν... Σταυροθεοτοκίον. Σταυρῷ σε ὑψούμενον, ὡς ἐθεάσατο, ἡ ἄχραντος Μήτηρ σου, Λόγε Θεοῦ μητρικῶς, θρηνοῦσα ἐφθέγγετο· Τί τὸ καινὸν καὶ ξένον, τοῦτο Υἱέ μου θαῦμα; πῶς ἡ ζωὴ τῶν ὅλων ὁμιλεῖς τῷ θανάτῳ; ζωῶσαι τοὺς τεθνεῶτας, θέλων ὡς εὔσπλαγχνος. Εἰς τὴν Ζ'. Ὠιδὴν. Μαρτυρικόν. Ἡ σεπτὴ τῶν Ἀθλοφόρων πανήγυρις, Οὐρανὸν τὴν Ἐκκλησίαν ἔδειξε, καὶ τοῖς ἀνθρώποις συγχορεύουσιν Ἄγγελοι, ταῖς αὐτῶν ἱκεσίαις, Χριστὲ ὁ Θεός, σῶσον τάς ψυχὰς ἡμῶν. ΤΗι ΠΑΡΑΣΚΕΥΗι ΕΣΠΕΡΑΣ Ὁ ἐνδοξαζόμενος, ἐν ταῖς μνείαις τῶν Ἁγίων σου, Χριστὲ ὁ Θεός, ὑπ' αὐτῶν δυσωπούμενος, κατάπεμψον ἡμῖν τὸ μέγα ἔλεος. Ὁ τῶν ἁγίων Μαρτύρων δεξάμενος τὴν ὑπομονήν, καὶ παρ' ἡμῶν δέχου τὴν ὑμνῳδίαν φιλάνθρωπε, δωρούμενος ἡμῖν, ταῖς αὐτῶν, ἱκεσίαις, τὸ μέγα ἔλεος. Ἔχοντες παρρησίαν, πρὸς τὸν Σωτῆρα Ἅγιοι, πρεσβεύσατε ἀπαύστως, ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν, ἄφεσιν πταισμάτων αἰτούμενοι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος. Ἱερεῖα ἔμψυχα, ὁλοκαυτώματα λογικά,			τον, φωνάζουμε μέ χαρά σ' ἐσένα: Δόξα σ' ἐσένα πού θέλησες νά ὑψωθεῖς σ' αὐτόν· Δόξα σ' ἐσένα πού φώτισες μέ αὐτόν ὅλη τήν κτίση· Γιά τόν ὁποῖο ἀκατάπαυστα σέ δοξάζουμε μέ ὕμνους. Δόξα... Καί νῦν... Σταυροθεοτοκίο. Μόλις σέ εἶδε νά ὑψώνεσαι στό Σταυρό ἡ ἁγνή Μητέρα σου, Λόγε τοῦ Θεοῦ, θρηνώντας μητρικά ἔλεγε· τί εἶναι αὐτό τό καινούριο καί παράξενο θαῦμα, Υἱέ μου; Πῶς ἡ ζωή τῶν ὅλων συναντᾷς τό θάνατο, θέλοντας νά δώσεις ζωή στούς πεθαμένους ὡς εὔσπλαχνος. Μαρτυρικό τῆς Ζ'. ᾠδῆς. Ἡ σεβάσμια πανήγυρη τῶν Ἀθλοφόρων, ἀνέδειξε τήν Ἐκκλησία Οὐρανό, καί πανηγυρίζουν Ἄγγελοι μαζί μέ τούς ἀνθρώπους· Μέ τίς δικές τους ἱκεσίες, Χριστέ Θεέ μας, σῶσε τίς ψυχές μας. ΠΑΡΑΣΚΕΥΗ ΣΤΟΝ ΕΣΠΕΡΙΝΟ Ἐσύ πού δοξάζεσαι κατά τίς μνῆμες τῶν Ἁγίων σου, Χριστέ Θεέ μας, καθώς παρακαλεῖσαι ἀπ' αὐτούς, στεῖλε κάτω σ' ἐμᾶς τό μέγα ἔλεος. Ἐσύ πού δέχθηκες τήν ὑπομονή τῶν Ἁγίων Μαρτύρων, δέξου καί ἀπό μᾶς τήν ὑμνῳδία, Φιλάνθρωπε, δωρίζοντας σ' ἐμᾶς μέ τίς ἱκεσίες τους τό μέγα ἔλεος. Ἔχοντας θάρρος πρός τόν Σωτήρα, Ἅγιοι, πρεσβεύσατε ἀκατάπαυστα γιά μᾶς τούς ἁμαρτωλούς, ζητώντας συγχώρηση πταισμάτων, καί γιά τίς ψυχές μας τό μέγα ἔλεος. Ὑπήρξατε ἔμψυχα θύματα, ὁλοκληρωτικές λογικές θυσί-

Μάρτυρες Κυρίου, θύματα τέλεια Θεοῦ, Θεὸν γινώσκοντα, καὶ Θεῷ γινωσκόμενα, πρόβατα, ὧν ἡ μάνδρα λύκοις ἀνεπίβατος, πρεσβεύσατε καὶ ἡμᾶς, συμποιμανθῆναι ὑμῖν, ἐπὶ ὕδατος ἀναπαύσεως. Δόξα... Νεκρώσιμον. Ποῦ ἐστίν ἡ τοῦ Κόσμου προσπάθεια; ποῦ ἐστίν ἡ τῶν προσκαίρων φαντασία; ποῦ ἐστίν ὁ χρυσός, καὶ ὁ ἄργυρος; ποῦ ἐστί τῶν οἰκετῶν ἡ πλημμύρα, καὶ ὁ θόρυβος; πάντα τέφρα, πάντα κόνις, πάντα σκιά. Ἀλλὰ δεῦτε βοήσωμεν τῷ ἀθανάτῳ Βασιλεῖ, Κύριε τῶν αἰωνίων σου ἀγαθῶν ἀξίωσον, τοὺς μεταστάντας ἐξ ἡμῶν, καὶ ἀνάπαυσον αὐτούς, ἐν τῇ ἀγήρῳ μακαριότητι. Καὶ νῦν ... Θεοτοκίον. Ὁ διὰ σὲ θεοπάτωρ Προφήτης Δαυΐδ, μελῳδικῶς περὶ σοῦ προανεφώνησε, τῷ μεγαλεῖά σοι ποιήσαντι. Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου· σὲ γὰρ Μητέρα πρόξενον ζωῆς ἀνέδειξεν, ὁ ἀπάτωρ ἐκ σοῦ ἐνανθρωπῆσαι εὐδοκήσας Θεός, ἵνα τὴν ἑαυτοῦ ἀναπλάσῃ εἰκόνα, φθαρεῖσαν τοῖς πάθεσι, καὶ τὸ πλανηθὲν ὀρειάλωτον εὑρών, πρόβατον τοῖς ὤμοις ἀναλαβών, τῷ Πατρὶ προσαγάγῃ, καὶ τῷ ἰδίῳ θελήματι ταῖς οὐρανίαις συνάψῃ Δυνάμεσι, καὶ σώσῃ, Θεοτόκε, τὸν Κόσμον Χριστὸς ὁ ἔχων τὸ μέγα, καὶ πλούσιον ἔλεος. ΗΧΟΣ ΠΛ. Α΄. ΤΗι ΚΥΡΙΑΚΗ ΕΣΠΕΡΑΣ			ες, Μάρτυρες τοῦ Κυρίου, θύματα τέλεια τοῦ Θεοῦ, πού γνωρίζατε τόν Θεό καί σᾶς ἀναγνώριζε ὁ Θεός· Πρόβατα τῶν ὁποίων ἡ μάνδρα ἦταν ἀπλησίαστη ἀπό τούς λύκους· Πρσβεύσατε, ὥστε κι ἐμεῖς νά βοσκήσουμε μαζί σας σέ νερά ἀναπαύσεως. Δόξα ... Νεκρώσιμο. Ποῦ εἶναι ἡ προσπάθεια τοῦ κόσμου; ποῦ εἶναι ἡ φαντασία τῶν προσωρινῶν πραγμάτων; Ποῦ εἶναι τό χρυσάφι καί τό ἀσήμι; Ποῦ εἶναι ἡ πλημμύρα τῶν ὑπηρετῶν καί ὁ θόρυβος; Ὅλα εἶναι στάχτη, ὅλα σκόνη, ὅλα σκιά. Ἀλλά ἐλᾶτε, ἄς κραυγάσουμε στόν ἀθάνατο Βασιλιά: Κύριε, κάνε ἀξίους γιά τά αἰώνια ἀγαθά, αὐτούς πού ἔφυγαν ἀπό ἀνάμεσά μας, καί ἀνάπαυσέ τους στήν ἀγέραστη μακαριότητα. Καί νῦν... Θεοτοκίο. Ὁ προπάτορας τοῦ Θεανθρώπου, ὁ Προφήτης Δυΐδ, μελῳδικά προφήτευσε γιά σένα, ἀπευθυνόμενος σ' Ἐκεῖνον πού ἔδειξε μεγαλεῖα σ' ἐσένα (Παναγία): κάθισε ἡ Βασίλισσα στά δεξιά σου· διότι σέ ἀνέδειξε Μητέρα καί πρόξενο (αἰτία) τῆς ζωῆς ὁ Θεός, πού εὐδόκησε (μᾶς ἔκανε τή χάρη), νά γίνει ἄνθρωπος ἀπό σένα, γιά νά ἀναπλάσει (ἀνακαινίσει) τήν εἰκόνα του (τόν ἄνθρωπο), πού εἶχε φθαρεῖ ἀπό τά πάθη, καί ἀφοῦ βρῆκε τό πλανεμένο πρόβατο, πού περιπλανιόταν στά ὄρη, παίρνοντάς το στούς ὤμους του, νά τό φέρει στόν Πατέρα, καί μέ τό δικό του θέλημα νά τό ἑνώσει μέ τίς οὐράνιες δυνάμεις, καί γιά νά σώσει, Θεοτόκε, τόν κόσμο ὁ Χριστός, πού ἔχει τό μέγα καί πλούσιο ἔλεος. ΗΧΟΣ ΠΛ. Α΄. ΚΥΡΙΑΚΗ ΣΤΟΝ ΕΣΠΕΡΙΝΟ

Κύριε ἁμαρτάνων οὐ παύομαι, φιλανθρωπίας ἀξιούμενος οὐ γινώσκω, νίκησόν μου τὴν πώρωσιν, μόνε Ἀγαθέ, καὶ ἐλέησόν με. Κύριε, καὶ τὸν φόβον σου πτοοῦμαι, καὶ τὸ πονηρὸν ποιεῖν οὐ παύομαι, τίς ἐν δικαστηρίῳ τὸν δικαστὴν οὐ πτοεῖται; ἢ τὶς ἰαθῆναι βουλόμενος, τὸν ἰατρὸν παροργίζει ὡς κἀγώ; Μακρόθυμε Κύριε, ἐπὶ τῇ ἀσθενείᾳ μου σπλαγχνίσθητι, καὶ ἐλέησόν με. Οἴμοι! τὶ ὁμοιώθην ἐγώ, τῇ ἀκάρπῳ συκῇ, καὶ πτοοῦμαι τὴν κατάραν σὺν τῇ ἐκκοπῇ, ἀλλ' ἐπουράνιε γεωργὲ Χριστὲ ὁ Θεός, τὴν χερσωθεῖσάν μου ψυχήν, καρποφόρον ἀνάδειξον, καὶ ὡς τὸν ἄσωτον Υἱόν, δέξαι με καὶ ἐλέησόν με. Τὰ πλήθη τῶν πταισμάτων μου πάριδε Κύριε, ὁ ἐκ Παρθένου τεχθείς, καὶ πάσας ἐξάλειψον τὰς ἀνομίας μου, λογισμόν μοι παρέχων ἐπιστροφῆς, ὡς μόνος φιλάνθρωπος, δέομαι καὶ ἐλέησόν με. ΤΗι ΤΕΤΑΡΤΗι. ΟΡΘΡΟΣ. Τὸν σταυρωθέντα Σωτῆρα, καὶ Λυτρωτὴν ἡμῶν, ἑκουσίως ὡς οἶδε καὶ ὡς ηὐδόκησεν, ἀνυμνοῦμεν οἱ πιστοί, καὶ δοξάζομεν, ὅτι προσήλωσεν αὐτὸς τὰς ἁμαρτίας τῶν βροτῶν, ῥυσάμενος ἐκ τῆς πλάνης, τὸ γένος τὸ τῶν ἀνθρώπων, καὶ βασιλείας ἡμᾶς κατηξίωσε. Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ. Ὁ Σταυρὸν ὑπομείνας ἑκουσίᾳ βουλῇ, καὶ φθορᾶς τοὺς ἀνθρώπους ἐλευθερώσας Σωτήρ,			Κύριε, δέν παύω νά ἁμαρτάνω, καί ἐνῷ μέ κρίνεις ἄξιο φιλανθρωπίας, ἐγώ δέν τό κατανοῶ· Νίκησε τήν πόρωσή μου, μόνε Ἀγαθέ, καί ἐλέησέ με. Κύριε, καί δειλιάζω μπροστά στό φόβο σου, καί δέν παύω νά κάνω τό πονηρό· Ποιός δέν φοβᾶται τό δικαστή στό δικαστήριο; καί ποιός, πού θέλει νά θεραπευθεῖ, ἐξοργίζει τόν ἰατρό, ὅπως ἐγώ; Μεγαλόψυχε Κύριε, σπλαχνίσου με γιά τήν ἀσθένειά μου καί ἐλέησέ με. Ἀλλοίμονο! Γιατί ὁμοιώθηκα ἐγώ μέ τή ἄκαρπη συκιά καί φοβοῦμαι τήν κατάρα μαζί μέ τό κόψιμο· ἀλλά ἐπουράνιε γεωργέ, Χριστέ Θεέ μου, τήν ψυχή μου πού ἔμεινε χέρσα, ἀνάδειξέ την καρποφόρα, καί ὅπως τόν Ἄσωτο Υἱό δέξου με καί ἐλέησέ με. Τά πλήθη τῶν πταισμάτων μου παράβλεψέ τα, Κύριε, ἐσύ πού γεννήθηκες ἀπό Παρθένο, καί σβῆσε ὅλες τίς ἀνομίες μου, σέ παρακαλῶ, δίνοντάς μου λογισμό μετανοίας ὡς μόνος φιλάνθρωπος καί ἐλέησέ με. ΤΕΤΑΡΤΗ ΣΤΟΝ ΟΡΘΡΟ Τό Σωτήρα καί Λυτρωτή μας, πού σταυρώθηκε θεληματικά, ὅπως γνωρίζει καί ὅπως καταδέχθηκε, ἀνυμνοῦμε οἱ πιστοί καί δοξάζουμε· Διότι αὐτός κάρφωσε στό Σταυρό τίς ἁμαρτίες τῶν ἀνθρώπων καί λύτρωσε ἀπό τήν πλάνη τό γένος τῶν ἀνθρώπων, καί μᾶς ἔκανε ἀξίους γιά τή Βασιλεία του. Στίχ. Ὑψώνετε τόν Κύριο τόν Θεό μας, καί προσκυνεῖτε τό ὑποστήριγμα τῶν ποδιῶν του. Ἐσύ πού ὑπόμεινες Σταυρό μέ θεληματική ἀπόφαση, καί ἐλευθέρωσες τούς ἀνθρώπους, Σωτήρα, σέ ἀνυμνοῦμε οἱ πι-

ἀνυμνοῦμεν οἱ πιστοί, καὶ προσκυνοῦμέν σε, ὅτι ἐφώτισας ἡμᾶς, τῇ δυνάμει τοῦ Σταυροῦ, καὶ πάντες δοξολογοῦμεν, φιλάνθρωπε, καὶ οἰκτίρμον, ὡς ζωοδότην καὶ Κύριον. Δόξα...Καὶ νῦν...Σταυροθεοτοκίον. Τῷ σταυρῷ τοῦ Κυρίου παρισταμένη, θρηνῳδῦσα βόα ἡ Θεοτόκος· Οἴμοι ὦ Τέκνον μου! οἴμοι φῶς τῶν ἐμῶν ὀφθαλμῶν! πῶς ἐτανύθης ἐν Σταυρῷ ὁ ἐκτείνας θεϊκῶς τὸν οὐρανὸν ὡσεὶ δέρριν, καὶ ἐκ θαλάσσης ἀνάγων, πηγὰς ὑδάτων τῷ σῷ προστάγματι. Εἰς τὴν Ζ'. Ὠιδὴν. Μαρτυρικὸν. Τοὺς Ἀθλοφόρους σου Κύριε, μεγάλους ἀντιλήπτορας ἀνέδειξας, Σωτὴρ, τῇ Οἰκουμένῃ, δι' ὧν τὰ πάθη φυγαδεύονται· ταῖς αὐτῶν πρεσβείαις σῶσον τὰς ψυχὰς ἡμῶν. ΤΗι ΠΑΡΑΣΚΕΥΗι ΟΡΘΡΟΣ Τόπος Κρανίου Παράδεισος γέγονε· μόνον γὰρ ἐπάγη τὸ ξύλον τοῦ Σταυροῦ, εὐθὺς ἐβλάστησε τὸν βότρυν τῆς ζωῆς, σὲ Σωτὴρ εἰς ἡμῶν εὐφροσύνην, δόξα σοι. Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ. Τὸ ξύλον τοῦ Σταυροῦ σου, Σωτὴρ ἡμῶν, τῷ Κόσμῳ ἀνεδείχθη σωτήριον· ἐν αὐτῷ γὰρ βουλήσει προσηλωθείς, τῆς κατάρας ἐρρύσω τοὺς γηγενεῖς, ἡ πάντων χαρά, Κύριε, δόξα σοι. Δόξα...Καὶ νῦν ... Σταυροθεοτοκίον. Ἐν Σταυρῷ σε ὁρῶσα, Χριστὲ ἡ Μήτηρ σου,			στοί καί σέ προσκυνοῦμε, διότι μᾶς φώτισες μέ τή δύναμη τοῦ Σταυροῦ· κί ὅλοι σέ δοξολογοῦμε, φιλάνθρωπε καί εὔσπλαχνε, ὡς ζωοδότη καί Κύριο. Δόξα... Καί νῦν... Σταυροθεοτοκίο. Παραστέκοντας στό Σταυρό τοῦ Κυρίου θρηνώντας φώναζε ἡ Θεοτόκος: Ἀλλοίμονο τέκνο μου! Ἀλλοίμονο τό φῶς τῶν ματιῶν μου! Πῶς ἁπλώθηκες στό Σταυρό, Ἐσύ πού μέ θεία δύναμη ἅπλωσες τόν οὐρανό ὡς δέρμα, καί ἀνεβάζεις ἀπό τή θάλασσα ὑδάτινες πηγές μέ τό πρόσταγμά σου; Μαρτυρικό τῆς Ζ'. ᾠδῆς. Τούς Ἀθλοφόρους σου, Κύριε, τούς ἀνέδειξες μεγάλους βοηθούς στήν οἰκουμένη, Σωτήρα, διά τῶν ὁποίων φυγαδεύονται τά πάθη· Μέ τίς πρεσβεῖες αὐτῶν σῶσε τίς ψυχές μας. ΠΑΡΑΣΚΕΥΗ ΣΤΟΝ ΟΡΘΡΟ Ὁ Τόπος τοῦ Κρανίου (ὁ Γολγοθᾶς) ἔγινε παράδεισος· Διότι ἄφοῦ μόνο καρφώθηκε στή γῆ τό ξύλο τοῦ Σταυροῦ, εὐθύς βλάστησε τό σταφύλι τῆς ζωῆς, ἐσένα Σωτήρα, γιά τη δική μας εὐφροσύνη· δόξα σοι. Στίχ. Ὑψώνετε τόν Κύριο τόν Θεό μας, καί προσκυνεῖτε τό ὑποστήριγμα τῶν ποδιῶν του. Τό ξύλο τοῦ Σταυροῦ σου, Σωτήρα μας, γιά τόν κόσμο ἀναδείχθηκε σωτήριο· Διότι, ἀφοῦ καρφώθηκες σ' αὐτό θεληματικά, γλύτωσες ἀπό τήν κατάρα τούς γήινους (τούς ἀνθρώπους)· Ἐσύ ἡ χαρά τῶν πάντων Κύριε, δόξα σοι. Δόξα… Καί νῦν… Σταυροθεοτοκίο. Βλέποντάς σε, Χριστέ, ἡ Μητέρα σου κρεμασμένον στόν

ἑκουσίως ἐν μέσῳ ληστῶν κρεμάμενον, κοπτομένη μητρικῶς, τὰ σπλάγχνα ἔλεγεν· Ἀναμάρτητε Υἱέ, πῶς ἀδίκως ἐν Σταυρῷ, ὥσπερ κακοῦργος ἐπάγης; τὸ γένος τὸ τῶν ἀνθρώπων, ζωῶσαι θέλων, ὡς ὑπεράγαθος. Εἰς τὴν Ζ'. Ὠιδὴν.Μαρτυρικὸν. Λάμπει σήμερον ἡ μνήμη τῶν Ἀθλοφόρων· ἔχει γὰρ καὶ οὐρανόθεν ἀπαύγασμα, ὁ χορός τῶν Ἀγγέλων πανηγυρίζει, καὶ τῶν ἀνθρώπων τὸ γένος συνεορτάζει. Διὸ πρεσβεύουσι τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν. ΤΗι ΠΑΡΑΣΚΕΥΗι ΕΣΠΕΡΑΣ Τῶν ἐπιγείων ἁπάντων καταφρονήσαντες, καὶ τῶν βασάνων ἀνδρείως κατατολμήσαντες, τῶν μακαρίων ἐλπίδων οὐκ ἠστοχήσατε, ἀλλ' οὐρανῶν Βασιλείας κληρονόμοι γεγόνατε, πανεύφημοι Μάρτυρες, ἔχοντες παρρησίαν, πρὸς τὸν φιλάνθρωπον Θεόν, τῷ Κόσμῳ τὴν εἰρήνην αἰτήσασθε, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος. Τὸν θυρεὸν τῆς Πίστεως περιβαλλόμενοι, καὶ τῷ τύπῳ τοῦ Σταυροῦ, ἑαυτοὺς διαναστήσαντες, πρὸς τὰς βασάνους ἀνδρείως ἀπηυτομόλησαν, καὶ διαβόλου τὴν πλάνην, καὶ τὸ θράσος κατήργησαν, οἱ Ἅγιοί σου Κύριε· αὐτῶν ταῖς ἱκεσίαις, ὡς παντοδύναμος Θεός, τῷ Κόσμῳ τὴν εἰρήνην κατάπεμψον, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος. Πρεσβεύσατε ὑπὲρ ἡμῶν, ἅγιοι Μάρτυρες, ἵνα ῥυσθῶμεν τῶν ἀνομιῶν ἡμῶν· ὑμῖν γὰρ ἐδόθη χάρις, πρεσβεύειν ὑπὲρ ἡμῶν.			Σταυρό θελληματικά ἀνάμεσα σέ λῃστές μέ τά σπλάχνα γεμᾶτα συντριβή, ἔλεγε ὡς μητέρα· Ἀναμάρτητε Υἱέ, πῶς καρφώθηκες ἄδικα στό Σταυρό ὡς κακοῦργος; θέλοντας νά δώσεις ζωή στό γένος τῶν ἀνθρώπων ὡς ὑπεράγαθος. Μαρτυρικό τῆς Ζ'. ᾠδῆς. Λάμπει σήμερα ἡ μνήμη τῶν ἀθλοφόρων· διότι ἔχει φωτισμό καί ἀπό τόν οὐρανό· Τό πλῆθος τῶν ἀγγέλων πανηγυρίζει καί τῶν ἀνθρώπων τό γένος συνεορτάζει. Γι' αὐτό πρεσβεύουν στό Κύριο νά ἐλεηθοῦν οἱ ψυχές μας. ΠΑΡΑΣΚΕΥΗ ΣΤΟΝ ΕΣΠΕΡΙΝΟ Ἀφοῦ καταφρονήσατε ὅλα τά ἐπίγεια, καί μέ ἀνδρεία δείξατε τόλμη στά βασανιστήρια, δέν πέσατε ἔξω στίς μακάριες ἐλπίδες, ἀλλά γίνατε κληρονόμοι τῆς Βασιλείας τῶν οὐρανῶν, φημισμένοι Μάρτυρες· Ἔχοντας θάρρος πρός τόν φιλάνθρωπο Θεό, ζητῆστε γιά τόν κόσμο εἰρήνη, καί γιά τίς ψυχές μας τό μέγα ἔλεος. Ἀφοῦ ντύθηκαν τήν ὁλόσωμη ἀσπίδα τῆς πίστης, καί μέ τό σημεῖο τοῦ Σταυροῦ παρακίνησαν τούς ἑαυτούς τους, προχώρησαν μόνοι τους μέ ἀνδρεία πρός τά βάσανα καί κατάργησαν τήν πλάνη καί τό θράσος τοῦ διαβόλου οἱ Ἅγιοί σου, Κύριε· Μέ τίς ἱκεσίες αὐτῶν, ὡς παντοδύναμος Θεός, στεῖλε κάτω στόν κόσμο τήν εἰρήνη, καί στίς ψυχές μας τό μέγα ἔλεος. Πρεσβεύσατε γιά μᾶς, Ἅγιοι Μάρτυρες, γιά νά ἀπαλλαγοῦμε ἀπό τίς ἀνομίες μας, διότι σ' ἐσᾶς δόθηκε χάρη νά πρεσβεύετε γιά μᾶς.

Ἀκορέστῳ διαθέσει ψυχῆς, Χριστὸν οὐκ ἀρνησάμενοι, ἅγιοι Μάρτυρες, οἵτινες διαφόρους αἰκισμούς, παθημάτων ὑπομείναντες, τῶν τυράννων τὰ θράση κατηδαφίσατε, ἀκλινῆ καὶ ἄτρωτον τὴν Πίστιν φυλάξαντες, εἰς Οὐρανοὺς μετέστητε· ὅθεν καὶ παρρησίας τυχόντες πρὸς αὐτόν, αἰτήσασθε δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος. Δόξα... Ἐμνήσθην τοῦ Προφήτου βοῶντος· Ἐγώ εἰμι γῆ καὶ σποδός, καὶ πάλιν κατενόησα ἐν τοῖς μνήμασι, καὶ εἶδον τὰ ὀστᾶ τὰ γεγυμνωμένα, καὶ εἶπον· Ἄρα τίς ἐστι βασιλεύς, ἢ στρατιώτης, ἢ πλούσιος, ἢ πένης, ἢ δίκαιος, ἢ ἁμαρτωλός; Ἀλλὰ ἀνάπαυσον, Κύριε, μετὰ Δικαίων τοὺς δούλους σου, ὡς φιλάνθρωπος. Καὶ νῦν ... Θεοτοκίον. Ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ, τῆς ἀπειρογάμου νύμφης εἰκὼν διεγράφη ποτέ· ἐκεῖ Μωϋσῆς διαιρέτης τοῦ ὕδατος, ἐνθάδε Γαβριὴλ ὑπηρέτης τοῦ θαύματος· τότε τὸν βυθόν ἐπέζευσεν ἀβρόχως Ἰσραήλ, νῦν δὲ τὸν Χριστὸν ἐγέννησεν, ἀσπόρως ἡ Παρθένος, ἡ θάλασσα, μετὰ τὴν πάροδον τοῦ Ἰσραὴλ ἔμεινεν ἄβατος· ἡ Ἄμεμπτος μετὰ τὴν κύησιν τοῦ Ἐμμανουήλ, ἔμεινεν ἄφθορος· ὁ ὢν καὶ προών, καὶ φανεὶς ὡς ἄνθρωπος Θεός, ἐλέησον ἡμᾶς. ΗΧΟΣ ΠΛ. Β' ΤΗι ΚΥΡΙΑΚΗι ΕΣΠΕΡΑΣ Μετάνοιαν οὐ κέκτημαι, ἀλλ' οὐδὲ πάλιν			Μέ ἀχόρταγη ψυχική διάθεση, μή ἀρνούμενοι τό Χριστό, ἅγιοι Μάρτυρες, ὑπομείνατε τά φοβερά καί διάφορα βασανιστήρια τῶν παθημάτων· Κατεδαφίσατε τό θράσος τῶν τυράννων· καί φυλάγοντας ἀκλόνητη καί ἄτρωτη τήν πίστη, μετατεθήκατε στούς οὐρανούς· Γι' αὐτό καί ἐπειδή βρήκατε θάρρος πρός αὐτόν, ζητῆστε νά δωρηθεῖ σ' ἐμᾶς τό μέγα ἔλεος. Δόξα... Θυμήθηκα τόν Προφήτη πού φωνάζει, ἐγώ εἶμαι χῶμα καί στάχτη· Καί πάλι παρατήρησα στά μνήματα καί εἶδα τά γυμνωμένα ὀστά καί εἶπα· ἄραγε ποιός εἶναι; Βασιλιάς ἤ στρατιώτης ἤ πλούσιος ἤ φτωχός, ἤ δίκαιος ἤ ἁμαρτωλός; Ἀλλά ἀνάπαυσε, Κύριε, τούς δούλους σου μαζί μέ τούς Δικαίους ὡς φιλάνθρωπος. Καί νῦν Θεοτοκίο.... Στήν Ἐρυθρά θάλασσα κάποτε ἀπεικονίσθηκε ἡ εἰκόνα τῆς ἀνύπανδρης Νύμφης· Ἐκεῖ ὁ Μωυσῆς ἦταν ὁ διαχωριστής τοῦ νεροῦ, ἐδῶ ὁ Γαβριήλ ὑπηρέτης τοῦ θαύματος. Τότε πέρασε τό βυθό πεζός ὁ λαός τοῦ Ἰσραήλ, καί τώρα γέννησε τόν Χριστό ἀσπόρως (χωρίς ἄνδρα) ἡ Παρθένος· Ἡ θάλασσα μετά τό πέρασμα τοῦ Ἰσραήλ ἔμεινε ἀδιάβατη· ἡ Ἀμόλυντη μετά τή γέννηση τοῦ Ἐμμανουήλ ἔμεινε ἄφθορη. Ὁ Θεός πού ὑπάρχεις καί προϋπῆρχες καί φάνηκες ὡς ἄνθρωπος, ἐλέησέ μας. ΗΧΟΣ ΠΛ. Β'. ΚΥΡΙΑΚΗ ΣΤΟΝ ΕΣΠΕΡΙΝΙΟ Μετάνοια δέν ἔχω, ἀλλά οὔτε πάλι δάκρυα· Γι' αὐτό σέ

δάκρυα· διὰ τοῦτο ἱκετεύω σε, Σωτήρ, πρὸ τέλους ἐπιστρέψαι, καὶ δοῦναι μοι κατάνυξιν, ὅπως ῥυσθήσωμαι τῆς κολάσεως. Ἐν τῇ φρικτῇ παρουσίᾳ σου, Χριστέ, μὴ ἀκούσωμεν· οὐκ οἶδα ὑμᾶς· τὴν γὰρ ἐλπίδα ἐπὶ σοὶ τῷ Σωτῆρι ἐθέμεθα, εἰ καὶ τὰ σὰ προστάγματα οὐ πράττομεν, διὰ τήν ἀμέλειαν ἡμῶν, ἀλλὰ φεῖσαι τῶν ψυχῶν ἡμῶν δεόμεθα. Τὰ τῆς καρδίας μου τραύματα, ἐκ πολλῶν ἁμαρτημάτων φυέντα μοι, ἰάτρευσον Σωτήρ, ὁ τῶν ψυχῶν, καὶ τῶν σωμάτων ἰατρός, ὁ παρέχων τοῖς αἰτοῦσι, πταισμάτων τὴν συγχώρησιν ἀεί, παράσχου μοι δάκρυα μετανοίας, διδούς μοι τὴν λύσιν τῶν ὀφλημάτων Κύριε, καὶ ἐλέησόν με. Γυμνόν με εὑρὼν τῶν ἀρετῶν ὁ ἐχθρός, τῷ βέλει τῆς ἁμαρτίας ἔτρωσεν· ἀλλὰ σὺ ὡς ἰατρὸς ψυχῶν τε καὶ σωμάτων, τὰ τραύματα τῆς ψυχῆς μου θεράπευσον, ὁ Θεός, καὶ ἐλέησόν με. ΤΗι ΤΕΤΑΡΤΗι ΠΡΩΪ. ΟΡΘΡΟΣ Σήμερον τὸ προφητικὸν πεπλήρωται λόγιον· ἰδοὺ γὰρ προσκυνοῦμεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες σου Κύριε, καὶ ξύλου σωτηρίας γευσάμενοι, τῶν ἐξ ἁμαρτίας παθῶν, ἐλευθερίας ἐτύχομεν, πρεσβείαις τῆς Θεοτόκου μόνε φιλάνθρωπε. Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ. Ὁ Σταυρός σου Κύριε ἡγίασται· ἐν αὐτῷ γὰρ γίνονται ἰάματα, τοῖς ἀσθενοῦσιν ἐν ἁμαρτίαις· δι'			ἱκετεύω, Σωτήρα, νά μέ ἐπιστρέψεις κοντά σου πρό τοῦ τέλους, καί νά μοῦ δώσεις κατάνυξη, γιά νά λυτρωθῶ ἀπό τήν κόλαση. Κατά τή φρικτή σου παρουσία, Χριστέ, ἄς μήν ἀκούσουμε: Δέν σᾶς γνωρίζω· διότι στηρίξαμε τήν ἐλπίδα σ' ἐσένα τόν Σωτήρα, μολονότι δέν ἐκτελοῦμε τά προστάγματά σου ἐξ αἰτίας τῆς ἀμελείας μας· Ἀλλά παρακαλοῦμε, λυπήσου τίς ψυχές μας. Τά τραύματα τῆς καρδιᾶς μου, πού μοῦ φύτρωσαν ἀπό πολλά μαρτήματα, γιάτρεψέ τα, Σωτήρα, Ἐσύ ὁ ἰατρός τῶν ψυχῶν καί τῶν σωμάτων· ἐσύ πού δίνεις σ' αὐτούς πού ζητοῦν συγχώρηση τῶν πταισμάτων πάντοτε, δός μου δάκρυα μετανοίας, δίνοντάς μου τή λύση τῶν σφαλμάτων, Κύριε, καί ἐλέησέ με. Βρίσκοντάς με γυμνόν ἀπό ἀρετές ὁ ἐχθρός μέ τραυμάτισε μέ τό βέλος τῆς ἁμαρτίας· Ἀλλά Ἐσύ, ὡς ἰατρός καί τῶν ψυχῶν καί τῶν σωμάτων, θεράπευσε τά τραύματα τῆς ψυχῆς μου, ὦ Θεέ, καί ἐλέησέ με. ΤΕΤΑΡΤΗ ΣΤΟΝ ΟΡΘΡΟ Σήμερα ἐκπληρώθηκε ὁ προφητικός λόγος· Διότι νά, προσκυνοῦμε στόν τόπο, Κύριε, ὅπου στηρίχθηκαν τά πόδια σου· Καί ἀφοῦ γευθήκαμε τό ξύλο τῆς σωτηρίας, ἐπιτύχαμε τήν ἐλευθερία ἀπό τά πάθη, πού προέρχονται ἀπό τήν ἁμαρτία, μέ τίς πρεσβεῖες τῆς Θεοτόκου, μόνε φιλάνθρωπε. Στίχ. Ὑψώνετε τόν Κύριο τόν Θεό μας, καί προσκυνεῖτε τό ὑποστήριγμα τῶν ποδιῶν του. Ὁ Σταυρός σου, Κύριε, εἶναι ἁγιασμένος· διότι μέ αὐτόν γίνονται θεραπεῖες, σ' αὐτούς πού ἀσθενοῦν ἀπό τίς

αὐτοῦ σοι προσπίπτομεν· Ἐλέησον ἡμᾶς. Δόξα...Καὶ νῦν...Σταυροθεοτοκίον. Ἡ σὲ κυήσασα Χριστέ, ἀειπάρθενος Κόρη, ἐν τῷ Σταυρῷ σε δι' ἡμᾶς, ὑψωθέντα ὁρῶσα, ἐτέτρωτο λύπης ῥομφαίᾳ τὴν ψυχήν, καὶ ἔκλαιε θρηνῳδοῦσα μητρικῶς· αὐτῆς ταῖς παρακλήσεσιν, ἐλέησον ἡμᾶς, Κύριε τοῦ ἐλέους. Εἰς τὴν ζ' Ὠιδὴν. Μαρτυρικὸν. Ἀθλητικαὶ ἐνστάσεις ἐπὶ τῷ σκάμματι, τυραννικαὶ αἰκίσεις ἐπὶ τοὺς Μάρτυρας, καὶ ἵσταντο χοροὶ τῶν Ἀσωμάτων, βραβεῖα κατέχοντες τῆς νίκης, ἐξέστησαν τυράννους καὶ βασιλεῖς οἱ σοφοί, καθεῖλον τὸν Βελίαρ ὁμολογίᾳ Χριστοῦ, ὁ ἐνισχύσας αὐτούς, Κύριε δόξα σοι. ΤΗι ΠΑΡΑΣΚΕΥΗι ΠΡΩΪ. ΟΡΘΡΟΣ Μόνον ἐπάγη τὸ ξύλον, Χριστὲ, τοῦ Σταυροῦ σου, τὰ θεμέλια ἐσαλεύθη τοῦ θανάτου Κύριε· ὃν γὰρ κατέπιε πόθῳ ὁ Ἅιδης, ἀπέλυσε τρόμῳ, ἔδειξας ἡμῖν τὸ σωτήριόν σου, Ἅγιε, καὶ δοξολογοῦμέν σε, Υἱὲ, Θεοῦ· Ἐλέησον ἡμᾶς. Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ. Κύριε κατέκρινάν σε Ἰουδαῖοι, θανάτῳ τὴν ζωὴν τῶν ἁπάντων, οἱ τὴν Ἐρυθρὰν ῥάβδῳ πεζεύσαντες, Σταυρῷ σε προσήλωσαν, καὶ οἱ ἐκ πέτρας μέλι θηλάσαντες, χολήν σοι προσήνεγκαν· ἀλλ' ἑκὼν ὑπέμεινας, ἵνα ἡμᾶς ἐλευθερώσῃς τῆς			ἁμαρτίες τους· Μέσῳ αὐτοῦ πέφτουμε μπροστά σου· Ἐλέησέ μας. Δόξα... Καί νῦν... Σταυροθεοτοκίο. Ἡ Κόρη πού σ' ἐγέννησε, Χριστέ, ἡ παντοτεινή Παρθένος, βλέποντάς σε ὑψωμένο γιά μᾶς στό Σταυρό, πληγωνόταν μέ τό σπαθί τῆς λύπης στήν ψυχή, καί ἔκλαιε θρηνώντας ὡς μητέρα. Μέ τίς παρακλήσεις της ἐλέησέ μας, Κύριε τοῦ Ἐλέους. Μαρτυρικό Ζ'. ᾠδῆς. Ὑπῆρχαν ἀθλητικές ἀντιστάσεις στό ἀγωνιστικό σκάμμα, καί τυραννικά βασανιστήρια σέ βάρος τῶν Μαρτύρων· καί περίμεναν τά πλήθη τῶν Ἀσωμάτων κατέχοντας τά βραβεῖα τῆς νίκης· κατέπληξαν τυράννους καί βασιλεῖς οἱ σοφοί Μάρτυρες, κατανίκησαν τό σατανᾶ μέ τήν ὁμολογία τοῦ Χριστοῦ· Ἐσύ πού τούς ἐνίσχυσες, Κύριε, δόξα σ' ἐσένα. ΠΑΡΑΣΚΕΥΗ ΣΤΟΝ ΟΡΘΡΟ Μόλις καρφώθηκες στό ξύλο τοῦ Σταυροῦ σου, τά θεμέλια τοῦ θανάτου σαλεύθηκαν, Κύριε· διότι αὐτόν πού κατάπιε μέ πόθο ὁ ᾅδης τόν ἄφησε μέ τρόμο. Ἔδειξες σ' ἐμᾶς τή σωτηρία σου, Ἅγιε, καί σέ δοξολογοῦμε,Υἱέ τοῦ Θεοῦ, ἐλέησέ μας. Στίχ. Ὑψώνετε τόν Κύριο τόν Θεό μας, καί προσκυνεῖτε τό ὑποστήριγμα τῶν ποδιῶν του. Κύριε, καταδίκασαν οἱ Ἰουδαῖοι σέ θάνατο, ἐσένα τή ζωή τῶν πάντων· Αὐτοί πού μέ τή ράβδο τοῦ Μωυσῆ πέρασαν πεζοί τήν Ἐρυθρά θάλασσα, σ' ἐκάρφωσαν στό Σταυρό· Καί αὐτοί πού θήλασαν μέλι ἀπό πέτρα, σοῦ πρόσφεραν χολή· ἀλλά θέλοντας ὑπέμεινες, γιά νά ἐλευθερώσεις ἐμᾶς ἀπό τή

δουλείας τοῦ ἐχθροῦ, Χριστὲ ὁ Θεὸς ἡμῶν, δόξα σοι. Δόξα...Καὶ νῦν...Σταυροθεοτοκίον. Θεοτόκε Παρθένε, ἱκέτευε τὸν Υἱόν σου, τὸν ἑκουσίως προσπαγέντα ἐν Σταυρῷ, καὶ ἀναστάντα ἐκ νεκρῶν, Χριστὸν τὸν Θεὸν ἡμῶν, σωθῆναι τὰς ψυχὰς ἡμῶν. Εἰς τὴν Ζ'. Ὠιδὴν. Μαρτυρικὸν. Τοὺς ἐν σταδίῳ τὸν Χριστὸν κηρύξαντας, καὶ τῶν ἀνόμων ἀπειλὰς μὴ πτήξαντας, ἐθαυμάστωσεν ὁ Κύριος· καθεῖλον γὰρ ἀθλητικῇ καρτερίᾳ, τὰ θράση τῶν παρανόμων, ἔλαβον παρὰ Χριστοῦ ἐπαξίως τὴν χάριν τῶν ἰαμάτων, ἀπαύστως δεόμενοι, σωθῆναι τὰς ψυχὰς ἡμῶν. ΤΗι ΠΑΡΑΣΚΕΥΗι ΕΣΠΕΡΑΣ Οἱ Μάρτυρές σου Κύριε, οὐκ ἠρνήσαντό σε, οὐκ ἀπέστησαν ἀπὸ τῶν ἐντολῶν σου, ταῖς αὐτῶν πρεσβείαις ἐλέησον ἡμᾶς. Οἱ μαρτυρήσαντες διὰ σὲ Χριστέ, πολλὰς βασάνους ὑπέμειναν, πρεσβείαις Κύριε, καὶ εὐχαῖς αὐτῶν, πάντας ἡμᾶς διαφύλαξον. Οἱ ἀθλοφόροι Μάρτυρες, καὶ οὐρανοπολῖται, ἐπὶ γῆς ἀθλήσαντες, πολλὰς βασάνους ὑπέμειναν, καὶ τέλειον ἀπέλαβον τὸν στέφανον ἐν οὐρανοῖς, ἵνα πρεσβεύωσιν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Ὁ Σταυρός σου Κύριε, τοῖς Μάρτυσι γέγονεν ὅπλον ἀήττητον· ἔβλεπον γὰρ τὸν προκείμενον θάνατον, καὶ προβλέποντες τὴν μέλλουσαν ζωήν, τῇ ἐλπίδι τῇ εἰς σὲ ἐνεδυναμοῦντο· αὐτῶν ταῖς			σκλαβιά τοῦ ἐχθροῦ· Χριστέ Θεέ μας, δόξα σ' ἐσένα. Δόξα ... Καί νῦν... Σταυροθεοτοκίο. Θεοτόκε Παρθένε, ἱκέτευε τόν Υἱό σου, ὁ ὁποῖος θέλοντας καρφώθηκε στό Σταυρό, καί ἀναστήθηκε ἀπό τούς νεκρούς, ὁ Χριστός ὁ Θεός μας, γιά νά σωθοῦν οἱ ψυχές μας. Μαρτυρικό τῆς Ζ'. ᾠδῆς. Αὐτούς πού στό μαρτυρικό στάδιο κήρυξαν τό Χριστό, καί δέν φοβήθηκαν τίς ἀπειλες τῶν ἀνόμων, τούς πλούτισε μέ θαύματα ὁ Κύριος· Διότι μέ τήν ἀθλητική καρτερία τους νίκησαν τά θράση τῶν παρανόμων· Ἔλαβαν ἐκ μέρους τοῦ Χριστοῦ ἐπάξια τή χάρη τῶν θεραπειῶν παρακαλώντας ἀκατάπυστα νά σωθοῦν οἱ ψυχές μας. ΠΑΡΑΣΚΕΥΗ ΣΤΟΝ ΕΣΠΕΡΙΝΟ Οἱ Μάρτυρές σου, Κύριε, δέν σέ ἀρνήθηκαν, δέν ἀπομακρύνθηκαν ἀπό τίς ἐντολές σου, μέ τίς πρεσβεῖες αὐτῶν ἐλέησέ μας. Αὐτοί πού μαρτύρησαν γιά χάρη σου, Χριστέ, πολλά βάσανα ὑπέφεραν, καί δέχθηκαν τέλειο τό στεφάνι στούς οὐρανούς, γιά νά πρεσβεύουν γιά τίς ψυχές μας. Οἱ Ἀθλοφόροι Μάρτυρες καί Πολῖτες τοῦ οὐρανοῦ πού ἄθλησαν ἐπάνω στή γῆ ὑπέμειναν πολλά βασανιστήρια, καί δέχθηκαν τέλειο τό στεφάνι στούς οὐρανούς, γιά νά πρσβεύουν γιά τίς ψυχές μας. Ὁ Σταυρός σου, Κύριε, γιά τούς Μάρτυρες ἔγινε ὅπλο ἀκατανίκητο· διότι ἔβλεπαν τό θάνατο, πού ἦταν μπροστά τους, ἀλλά προβλέποντας τή μελλοντική ζωή, ἐνδυναμώνονταν μέ τή ἐλπίδα σ' ἐσένα. Μέ τίς παρακλήσεις

παρακλήσεσιν, ἐλέησον ἡμᾶς. Δόξα... Νεκρώσιμον. Ἀρχή μοι καὶ ὑπόστασις, τὸ πλαστουργόν σου γέγονε πρόσταγμα· βουληθεὶς γὰρ ἐξ ἀοράτου τε, καὶ ὁρατῆς με, ζῷον συμπῆξαι φύσεως, γῆθέν μου τὸ σῶμα διέπλασας, δέδωκας δέ μοι ψυχήν, τῇ θείᾳ σου καὶ ζωοποιῷ ἐμπνεύσει. Διὸ Σωτὴρ τοὺς δούλους σου, ἐν χώρᾳ ζώντων, ἐν σκηναῖς Δικαίων ἀνάπαυσον. Καὶ νῦν ... Θεοτοκίον. Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μοι ἀνυμνήσει σου, τὸν ἀλόχευτον τόκον· ὁ γὰρ ἀχρόνως, ἐκ Πατρὸς ἐκλάμψας, Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν. ΗΧΟΣ ΒΑΡΥΣ ΤΗι ΚΥΡΙΑΚΗι ΕΣΠΕΡΑΣ Ὡς ὁ ἄσωτος Υἱός, ἦλθον κἀγὼ οἰκτίρμον, δέξαι με προσπίπτοντα, ὡς ἕνα τῶν μισθίων σου, ὁ Θεὸς καὶ ἐλέησόν με. Ὡς ὁ περιπεσὼν εἰς τοὺς ληστάς, καὶ τετραυματισμένος, οὕτω κἀγὼ περιέπεσα, ἐξ ἐμῶν ἁμαρτιῶν, καὶ τετραυματισμένη, ὑπάρχει μου ἡ ψυχή, πρὸς τίνα καταφύγω ὁ ὑπεύθυνος ἐγώ, εἰμὴ			αὐτῶν ἐλέησέ μας. Δόξα... Νεκρώσιμο. Γιά μένα ἀρχή καί αἰτία τῆς ὑπάρξεώς μου ἔγινε τό πλαστουργό (τό δημιουργικό) σου πρόσταγμα· Ἐπειδή θέλησες νά μέ δημιουργήσεις ὡς πλάσμα ἀπό ἀόρατη καί ὁρατή φύση, ἔπλασες τό σῶμα μου ἀπό τή γῆ, καί μοῦ ἔδωσες ψυχή μέ τή θεϊκή καί ζωοποιό πνοή σου· Γι' αὐτό, Σωτήρα, τούς δούλους σου ἀνάπαυσέ τους σέ χώρα ζωντανῶν, σέ κατοικίες Δικαίων. Καί νῦν.... Θεοτοκίο. Ποιός νά μή σέ μακαρίσει, Παναγία Παρθένε; Ποιός νά μήν ἀνυμνήσει τήν παρθενική σου γέννηση; διότι αὐτός πού ἔλαμψε προαιώνια ἀπό τόν Πατέρα, ὁ Υἱός ὁ Μονογενής, ὁ ἴδιος προῆλθε ἀπό σένα τήν Ἁγνή, καί σαρκώθηκε κατά τρόπονν ἀνέκφραστο, αὐτός πού ὑπῆρχε Θεός ἀπό τή φύση του, καί ἔγινε ὡς πρός τή φύση ἄνθρωπος γιά μᾶς, χωρίς νά διαιρεῖται σέ δύο πρόσωπα, ἀλλά νά ἀναγνωρίζεται μέ δύο φύσεις, χωρίς νά συγχέονται. Αὐτόν ἱκέτευε, Σεμνή Παμμακάριστη, νά ἐλεηθοῦν οἱ ψυχές μας. ΗΧΟΣ ΒΑΡΥΣ ΚΥΡΙΑΚΗ ΣΤΟΝ ΕΣΠΕΡΙΝΟ Ὅπως ὁ Ἄσωτος Υἱός ἦλθα κι ἐγώ, εὔσπλαχνε, Δέξου ἐμένα πού πέφτω μπροστά σου, ὡς ἕνα ἀπό τούς μισθωταύς σου, Θεέ μου, καί ἐλέησέ με. Ὅπως ἐκεῖνος πού ἔπεσε στά χέρια τῶν ληστῶν καί τραυματίσθηκε, ἔτσι καί ἐγώ ἔπεσα ἐξ αἰτίας τῶν δικῶν μου ἁμαρτιῶν, καί εἶναι τραυματισμένη ἡ ψυχή μου· Σέ ποιόν νά καταφύγω, γιά νά θεραπευθῶ ἐγώ ὁ ἔνοχος, παρά σ' ἐσένα

πρὸς σὲ τὸν εὔσπλαγχνον, τῶν ψυχῶν τὸν ἰατρόν; ἐπίχεε ἐπ' ἐμὲ ὁ Θεός, τὸ μέγα σου ἔλεος. Ὡς τὴν συκῆν τὴν ἄκαρπον, μὴ ἐκκόψῃς με, Σωτὴρ, τὸν ἁμαρτωλόν, ἀλλ' ἐπὶ πολλῷ τῷ ἔτει, συγχώρησίν μοι δώρησαι, ἀρδεύων μου τὴν ψυχήν, τοῖς δάκρυσι τῆς μετανοίας, ἵνα καρπὸν προσενέγκω σοι ἐλεημοσύνης. Ὡς Ἥλιος ὑπάρχων δικαιοσύνης, φωταγώγησον τὰς καρδίας, τῶν σὲ ὑμνούντων, Κύριε δόξα σοι. ΤΗι ΤΕΤΑΡΤΗι ΠΡΩΪ. ΟΡΘΡΟΣ Ἡ Ἐκκλησία βοᾷ σοι Χριστὲ ὁ Θεός, ἐν κέδρῳ καὶ πεύκῃ, καὶ κυπαρίσσῳ προσκυνοῦσά σε. Νίκας τοῖς Βασιλεῦσιν ἡμῶν, διὰ τῆς Θεοτόκου δωρούμενος, ἐλέησον ἡμᾶς. Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ. Ὁ δι' ἐμὲ ἀνασχόμενος, τῆς ἐν Σταυρῷ προσηλώσεως, δέξαι μου τὴν ἄγρυπνον αἴνεσιν, Χριστὲ ὁ Θεὸς, ὡς φιλάνθρωπος. Δόξα..Καὶ νῦν..Σταυροθεοτοκίον. Τὸν σταυρωθέντα ὑπὲρ ἡμῶν Χριστὸν τὸν Θεόν, καὶ καθελόντα τοῦ θανάτου τὸ κράτος, ἀπαύστως ἱκέτευε Θεοτόκε, ἵνα σώσῃ τὰς ψυχὰς ἡμῶν. Εἰς τὴν Ζ'. Ὠιδὴν. Μαρτυρικὸν. Τῆς ἀθεότητος τῶν τυράννων καταφρονήσαντες καὶ τῶν βασάνων τὸ ἄλγος παραβλεψάμενοι, ἅγιοι, τὴν πίστιν τὴν εἰς Χριστὸν			τόν εὔσπλαχνο, τόν ἰατρό τῶν ψυχῶν; Χύσε ἐπάνω μου, Θεέ μου, τό μέγα σου ἔλεος. Μή με κόψεις, Σωτήρα, ὅπως τήν ἄκαρπη συκιά ἐμένα τόν ἁμαρτωλό, ἀλλά δώρισέ μου γιά πολλά χρόνια συγχώρηση ποτίζοντας τήν ψυχή μου μέ τά δάκρυα τῆς μετανοίας, γιά νά σοῦ προσφέρω καρπό ἐλεημοσύνης. Ἐπειδή εἶσαι ὁ Ἥλιος τῆς δικαιοσύνης, φωταγώγησε τίς καρδιές αὐτῶν πού σέ ὑμνοῦν· Κύριε, δόξα σ' ἐσένα. ΤΕΤΑΡΤΗ ΣΤΟΝ ΟΡΘΡΟ Ἡ Ἐκκλησία κραυγάζει σ' ἐσένα, Χριστέ Θεέ μας, προσκυνώντας σε μέ τόν κέδρο, τό πεῦκο καί τό κυπαρίσσι (τά τρία τμήματα τοῦ Σταυροῦ, δωρίζοντας νίκες στούς βασιλεῖς μας διά μέσου τῆς Θεοτόκου, ἐλέησέ μας. Στίχ. Ὑψώνετε τόν Κύριο τόν Θεό μας, καί προσκυνεῖτε τό ὑποστήριγμα τῶν ποδιῶν του. Ἐσύ πού γιά χάρη μου ἀνέχθηκες τό κάρφωμα στό Σταυρό, δέξου τόν ἄγρυπνόν μου ὕμνο, Χριστέ Θεέ μας, ὡς φιλάνθρωπος. Δόξα... Καί νῦν... Σταυροθεοτοκίο. Τόν Χριστό τόν Θεό μας, πού σταυρώθηκε γιά μᾶς καί κατήργησε τό κράτος τοῦ θανάτου, ἱκέτευε ἀκατάπαυστα, Θεοτόκε Παρθένε, νά σώσει τίς ψυχές μας. Μαρτυρικό τῆς Ζ'. ᾠδῆς. Καταφρονώντας τήν ἀθεότητα τῶν τυράννων, καί παραβλέποντας τόν πόνο τῶν βασάνων, Ἅγιοι, δέν ἀρνηθήκατε τήν πίστη στό Χριστό· Γι' αὐτό παρακαλέστε τόν φιλάνθρωπο

οὐκ ἠρνήσασθε· διὸ ἱκετεύσατε τόν φιλάνθρωπον Θεόν, σωθῆναι τὰς ψυχὰς ἡμῶν. ΤΗι ΠΑΡΑΣΚΕΥΗι ΠΡΩΪ. ΟΡΘΡΟΣ Πυρὸς φωτεινότερον, φλογὸς ἐναργέστερον, τὸ ξύλον ἀνέδειξας τὸ τοῦ Σταυροῦ σου, καταφλέγον ἁμαρτίας τῶν νοσούντων, καὶ φωτίζον τὰς καρδίας τῶν ὑμνούντων, τὴν ἑκούσιόν σου Σταύρωσιν, Χριστὲ ὁ Θεὸς, δόξα σοι. Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ. Ὁ δεσπόζων τῶν ἀσωμάτων Δυνάμεων, καὶ γινώσκων τῆς ψυχῆς μου τὸ ῥάθυμον, τῷ Σταυρῷ σου σῶσόν με Χριστὲ ὁ Θεός, ὡς φιλάνθρωπος. Δόξα... Καὶ νῦν... Σταυροθεοτοκίον. Τὸν σταυρωθέντα ὑπὲρ ἡμῶν Χριστὸν τὸν Θεόν, καὶ καθελόντα τοῦ θανάτου τὸ κράτος, ἀπαύστως ἱκέτευε Θεοτόκε Παρθένε, ἵνα σώσῃ τὰς ψυχὰς ἡμῶν. Εἰς τὴν Ζ'. Ὠιδὴν, Μαρτυρικὸν. Οἱ Μάρτυρές σου Κύριε, τὸν ἐχθρὸν ἐτροπώσαντο, καὶ τὴν πλάνην τῶν εἰδώλων κατῄσχυναν, καθωπλισάμενοι τοῦ Σταυροῦ τὴν δύναμιν· διὸ καὶ σὺν Ἀγγέλοις ἀνυμνοῦντες κραυγάζουσι, τὸν ἐπινίκιον ὕμνον, δοξολογοῦντές σε, Χριστέ, δι' αὐτῶν σε δυσωποῦμεν· Σῶσον ἡμᾶς. ΤΗι ΠΑΡΑΣΚΕΥΗι ΕΣΠΕΡΑΣ Δόξα σοι Χριστὲ ὁ Θεός, Ἀποστόλων καύχημα, Μαρτύρων ἀγαλλίαμα, ὧν τὸ κήρυγμα, Τριὰς ἡ ὁμοούσιος.			Θεό, νά σωθοῦν οἱ ψυχές μας. ΠΑΡΑΣΚΕΥΗ ΣΤΟΝ ΟΡΘΡΟ Φωτεινότερο ἀπό τή φωτιά, καθαρότερο ἀπό τή φλόγα ἀνέδειξες, Χριστέ, τό ξύλο τοῦ Σταυροῦ σου, πού κατακαίει τίς ἁμαρτίες τῶν ἀσθενῶν, καί φωτίζει τίς καρδιές, αὐτῶν πού ὑμνοῦν τή θεληματική σου Σταύρωση, Χριστέ Θεέ μας, δόξα σ' ἐσένα. Στίχ. Ὑψώνετε τόν Κύριο, τόν Θεό μας, καί προσκυνεῖτε τό ὑποστήριγμα τῶν ποδιῶν του. Ἐσύ πού κυριαρχεῖς στίς Ἀσώματες Δυνάμεις, καί γνωρίζεις τήν ραθυμία (τήν τεμπελιά) τῆς ψυχῆς μου, μέ τό Σταυρό σου σῶσε με, Χριστέ Θεέ μου, ὡς φιλάνθρωπος. Δόξα ... Καί νῦν... Σταυροθεοτοκίο. Τόν Χριστό, τόν Θεό μας, πού σταυρώθηκε γιά μᾶς καί κατήργησε τό κράτος τοῦ θανάτου, ἱκέτευε ἀκατάπαυστα, Θεοτόκε Παρθένε, νά σώσει τίς ψυχές μας. Μαρτυρικό Ζ'. ᾠδῆς. Οἱ Μάρτυρές σου, Κύριε, κατατρόπωσαν τόν ἐχθρό καί ντρόπιασαν ὁλοκληρωτικά τήν πλάνη τῶν εἰδώλων ὁπλισμένοι μέ τή δύναμη τοῦ Σταυροῦ· Γι' αὐτό καί ἀνυμνώντας μαζί μέ τούς Ἀγγέλους κραυγάζουν τόν ἐπινίκιο ὕμνογώντας σε, Χριστέ· Μέσῳ αὐτῶν σέ παρακαλοῦμε, σῶσε τίς ψυχές μας. ΠΑΡΑΣΚΕΥΗ ΣΤΟΝ ΕΣΠΕΡΙΝΟ Δόξα σ' ἐσένα, Χριστέ Θεέ, καύχημα τῶν Ἀποστόλων, ἀγαλλίαμα τῶν Μαρτύρων, τῶν ὁποίων τό κήρυγμα ἦταν ἡ Ἁγία Τριάδα μέ τήν ἴδια οὐσία.

Ἅγιοι Μάρτυρες, οἱ καλῶς ἀθλήσαντες, καὶ στεφανωθέντες, πρεσβεύσατε πρὸς Κύριον, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν. Καταφρονήσαντες πάντων τῶν ἐπὶ γῆς, ἅγιοι μάρτυρες, καὶ ἐν σταδίῳ τὸν Χριστόν, ἀνδρείως κηρύξαντες, ἀμοιβὰς τῶν βασάνων παρ' αὐτοῦ ἐκομίσασθε, ἀλλ' ὡς ἔχοντες παρρησίαν, αὐτὸν ἱκετεύσατε, ὡς Θεὸν παντοδύναμον, τὰς ψυχὰς ἡμῶν σῶσαι, τῶν εἰς ὑμᾶς προστρεχόντων δεόμεθα. Πανεύφημοι Μάρτυρες, θρέμματα πνευματικά, ὁλοκαυτώματα λογικά, θυσία δεκτή, εὐάρεστος τῷ Χριστῷ, ὑμᾶς οὐχ ἡ γῆ κατέκρυψεν, ἀλλ' οὐρανὸς ὑπεδέξατο, Ἀγγέλων συμμέτοχοι γεγόνατε, μεθ' ὧν ἱκετεύσατε δεόμεθα, τῷ Σωτῆρι καὶ Θεῷ ἡμῶν, εἰρηνεῦσαι τὸν Κόσμον, καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν. Δόξα... Νεκρώσιμον. Ἀνάπαυσον Σωτὴρ ἡμῶν ζωοδότα, οὓς μετέστησας ἀδελφοὺς ἡμῶν, ἐκ τῶν προσκαίρων, κράζοντας, Κύριε δόξα σοι. Καὶ νῦν... Θεοτοκίον. Μήτηρ μὲν ἐγνώσθης, ὑπὲρ φύσιν Θεοτόκε, ἔμεινας δὲ παρθένος, ὑπὲρ λόγον καὶ ἔννοιαν, καὶ τὸ θαῦμα τοῦ τόκου σου, ἑρμηνεῦσαι γλῶσσα οὐ δύναται· παραδόξου γὰρ οὔσης τῆς συλλήψεως Ἁγνή, ἀκατάληπτός ἐστιν ὁ τρόπος τῆς κυήσεως· ὅπου γὰρ βούλεται Θεός, νικᾶται φύσεως τάξις. Διό σε πάντες Μητέρα τοῦ Θεοῦ γινώσκοντες,			Ἅγιοι Μάρτυρες, πού ἀγωνισθήκατε ὡραῖα καί στεφανωθήκατε, πρεσβεύσατε πρός τόν Κύριο, νά ἐλεηθοῦν οἱ ψυχές μας. Ἀφοῦ καταφρονήσατε ὅλα τά ἐπίγεια, Ἅγιοι Μάρτυρες, καί ἀφοῦ κηρύξατε μέ ἀνδρεία τό Χριστό στό στάδιο, πήρατε ἀπ' αὐτόν ἀμοιβές γιά τά βάσανά σας· ἀλλά σᾶς παρακαλοῦμε, ἐπειδή ἔχετε τό θάρρος, παρακαλέστε τον, ὡς Θεό παντοδύναμο, νά σώσει τίς ψυχές ἡμῶν, οἱ ὁποῖοι τρέχουμε κοντά σας. Πολυφημισμένοι Μάρτυρες, πρόβατα πνευματικά, ὁλοκληρωτικά θύματα λογικά, θυσία δεκτή, εὐάρεστη στόν Θεό, ἐσᾶς δέν σᾶς κάλυψε ἡ γῆ, ἀλλά σᾶς ὑποδέχθηκε ὁ οὐρανός· γίνατε συμμέτοχοι τῶν Ἀγγέλων, μαζί μέ τούς ὁποίους, παρακαλοῦμε, ἱκετεύσατε τό Σωτήρα καί Θεό μας, νά εἰρηνεύσει τόν κόσμο, καί νά σώσει τίς ψυχές μας. Δόξα... Νεκρώσιμο. Ἀνάπαυσε, Σωτήρα μας, πού δίνεις ζωή, τούς ἀδελφούς μας πού μετέθεσες ἀπό τά πρόσκαιρα, οἱ ὁποῖοι κράζουν· Κύριε, δόξα σ' ἐσένα. Καί νῦν... Θεοτοκίο. Ἀναγνωρίσθηκες βέβαια Μητέρα ἀνώτερη ἀπό τή φύση, Θεοτόκε, ἔμεινες ὅμως Παρθένος ἐπάνω ἀπό τή λογική καί τό νοῦ. Καί τό θαῦμα τῆς γεννήσεώς σου δέν μπορεῖ νά τό ἐξηγήσει γλῶσσα· Διότι ὑπάρχοντας παράδοξη ἡ σύλληψη, Ἁγνή, εἶναι ἀκατανόητος ὁ τρόπος τῆς κυοφορίας (τῆς ἐγκυμοσύνης)· ἀλήθεια! ὅπου θέλει ὁ Θεός, νικιέται ἡ τάξη τῆς φύσεως. Γι' αὐτό ὅλοι ἀναγνωρίζοντάς σε Μητέρα τοῦ

δεόμεθά σου ἐκτενῶς. Πρέσβευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν. ΗΧΟΣ ΠΛ. Δ' ΤΗι ΚΥΡΙΑΚΗι ΕΣΠΕΡΑΣ Σὲ τὸν Βασιλέα καὶ Δεσπότην, Ἄγγελοι ἀπαύστως ἀνυμνοῦσιν· ἐγὼ δέ σοι προσπίπτω ὡς ὁ Τελώνης κράζων· ὁ Θεὸς ἱλάσθητί μοι, καὶ σῶσόν με. Ἀθάνατος ὑπάρχουσα ψυχή μου, τοῖς κύμασι τοῦ βίου μὴ καλύπτου, ἀνάνηψον βοῶσα· πρὸς τὸν σὸν Εὐεργέτην ὁ Θεὸς ἱλάσθητί μοι, καὶ σῶσόν με. Δάκρυά μοι δὸς ὁ Θεός, ὡς ποτὲ τῇ γυναικὶ τῇ ἁμαρτωλῷ, καὶ ἀξίωσόν με βρέχειν τοὺς πόδας σου, τοὺς ἐμὲ ἐκ τῆς ὁδοῦ τῆς πλάνης ἐλευθερώσαντας, καὶ μύρον εὐωδίας σοι προσφέρειν, βίον καθαρόν, ἐν μετανοίᾳ μοι κτισθέντα, ἵνα ἀκούσω κἀγὼ τῆς εὐκταίας σου φωνῆς. Ἡ πίστις σου σέσωκέ σε, πορεύου εἰς εἰρήνην. Ὅταν λάβω κατὰ νοῦν, τὰ πλήθη τῶν πεπραγμένων μοι δεινῶν, καὶ εἰς ἔννοιαν ἔλθω, τῆς φοβερᾶς ἐκείνης ἐτάσεως, τρόμῳ συνεχόμενος, πρὸς σὲ καταφεύγω, τὸν φιλάνθρωπον Θεόν. Διὸ μή με παρίδῃς, ἱκετεύω σε μόνε ἀναμάρτητε, δώρησαι κατάνυξιν, τῇ ταπεινῇ μου ψυχῇ, πρὸ τελευτῆς καὶ σῶσόν σε. ΤΗι ΤΕΤΑΡΤΗι ΠΡΩΪ. Βλέπων ὁ Λῃστής, τὸν Ἀρχηγὸν τῆς ζωῆς, ἐπὶ			Θεοῦ, σέ παρακαλοῦμε διαρκῶς· Πρέσβευε, νά σωθοῦν οἱ ψυχές μας. ΗΧΟΣ ΠΛ. Δ΄. ΚΥΡΙΑΚΗ ΣΤΟΝ ΕΣΠΕΡΙΝΟ Ἐσένα τό Βασιλέα καί Κύριο, σέ ἀνυμνοῦν Ἄγγελοι ἀκατάπαυστα· καί ἐγώ πέφτω μπροστά σου κράζοντας ὅπως ὁ Τελώνης, Θεέ μου, συγχώρησέ με καί σῶσε με. Ἐπειδή εἶσαι ἀθάνατη, ψυχή μου, μή καλύπτεσαι ἀπό τά κύματα τῆς ζωῆς· Γίνε νηφάλια (ἄγρυπνη, διαυγής) φωνάζοντας πρός τόν εὐεργέτη σου: Θεέ μου συγχώρησέ με καί σῶσε με. Δός μου δάκρυα, Θεέ μου, ὅπως κάποτε στήν ἁμαρτωλή γυναίκα, καί ἀξίωσέ με, νά βρέχω τά πόδια σου, πού μέ ἐλευθέρωσαν ἀπό τό δρόμο τῆς πλάνης· Καί νά σοῦ προσφέρω ὡς εὐῶδιαστό μύρο καθαρή ζωή, πού μοῦ ἔγινε μέ μετάνοια, γιά νά ἀκούσω κι ἐγώ τή φωνή σου πού εὔχομαι: Ἡ πίστη σου σέ ἔσωσε, πήγαινε μέ εἰρήνη (πήγαινε στό καλό). Ὅταν σκεφθῶ τά πλήθη τῶν κακῶν πού ἔγιναν ἀπό μένα, καί ἐννοήσω τή φοβερή ἐκείνη ἐξέταση (δίκη), κατεχόμενος ἀπό τρόμο καταφεύγω σ' ἐσένα τόν φιλάνθρωπο Θεό. Γι' αὐτό σέ παρακαλῶ, μόνε Ἀναμάρτητε, μή μέ παραβλέψεις· δώρισε κατάνυξη στήν ταπεινή μου ψυχή πρό τοῦ τέλους καί σῶσε με. ΤΕΤΑΡΤΗ ΣΤΟΝ ΟΡΘΡΟ Βλέποντας ὁ λῃστής ἐσένα τόν ἀρχηγό τῆς ζωῆς κρεμα-

Σταυροῦ κρεμάμενον ἔλεγεν· Εἰμὴ Θεὸς ὑπῆρχε σαρκωθείς, ὁ σὺν ἡμῖν σταυρωθείς, οὐκ ἂν ὁ ἥλιος τὰς ἀκτῖνας ἐναπέκρυψεν, οὐδὲ ἡ γῆ σειομένη ἐκυμαίνετο· ἀλλ' ὁ πάντων ἀνεχόμενος, μνήσθητί μου, Κύριε, ἐν τῇ Βασιλείᾳ σου. Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ. Ἐν μέσῳ δύο λῃστῶν, ζυγὸς δικαιοσύνης, εὑρέθη ὁ Σταυρός σου, τοῦ μὲν καταγομένου εἰς Ἅιδην, τῷ βάρει τῆς βλασφημίας, τοῦ δὲ κουφιζομένου πταισμάτων, πρός γνῶσιν θεολογίας, Χριστὲ ὁ Θεὸς δόξα σοι. Δόξα... Καὶ νῦν... Σταυροθεοτοκίον. Τὸν Ἀμνὸν καὶ Ποιμένα, καὶ Σωτῆρα τοῦ Κόσμου, ἐν τῷ Σταυρῷ θεωροῦσα, ἡ τεκοῦσα ἔλεγε δακρύουσα· Ὁ μὲν Κόσμος ἀγάλλεται, δεχόμενος τὴν λύτρωσιν, τὰ δὲ σπλάγχνα μου φλέγονται, ὁρώσης σου τὴν σταύρωσιν, ἣν ὑπὲρ πάντων ὑπομένεις, ὁ Υἱὸς καὶ Θεός μου. Εἰς τὴν Ζ'. Ὠιδὴν. Μαρτυρικὸν. Τῆς στενῆς καὶ τεθλιμμένης ὁδοῦ, ἀκλινεῖς ὁδοιπόροι γεγόνατε, ἅγιοι Μάρτυρες· τῶν γὰρ πειρασμῶν τὴν τρικυμίαν ὑπεμείνατε, καὶ τῶν ἀσωμάτων Λειτουργῶν τήν πολιτείαν ἀνελάβετε, πέτρα ὑπομονῆς, καὶ θεμέλιοι εὐσεβείας ἀνεδείχθητε, πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν. ΤΗι ΠΑΡΑΣΚΕΥΗι ΠΡΩΪ. ΟΡΘΡΟΣ			σμένο ἐπάνω σέ Σταυρό ἔλεγε· Ἐάν δέν ἦταν Θεός πού πῆρε σάρκα, αὐτός πού σταυρώθηκε μαζί μας, δέν θά ἔκρυβε τίς ἀκτῖνες ὁ ἥλιος, οὔτε ἡ γῆ θά κυμαινόταν (θά κλονιζόταν ὡς κύμα). Ἀλλά Ἐσύ πού ἀνέχεσαι ὅλους, θυμήσου με, Κύριε, στή Βασιλεία σου. Στίχ. Ὑψώνετε τόν Κύριο τόν Θεό μας, καί προσκυνεῖτε τό ὑποστήριγμα τῶν ποδιῶν του. Ἀνάμεσα σέ δύο λῃστές βρέθηκε ὡς ζυγαριά δικαιοσύνης ὁ Σταυρός σου· Διότι ὁ μέν ἕνας κατέβαινε στόν ᾅδη ἐξ αἰτίας τοῦ βάρους τῆς βλασφημίας, ὁ δέ ἄλλος ξαλάφρωνε ἀπό τά πταίσματα, ὁδηγούμενος στή γνώση τῆς θεολογίας. Χριστέ Θεέ μας, δόξα σ' ἐσένα. Δόξα ...Καί νῦν …Σταυροθεοτοκίο. Τόν Ἀμνό (τό ἀρνί) καί Ποιμένα (βοσκό) καί Λυτρωτή βλέποντας ἡ Ἀμνάς (ἡ προβατίνα) ἐπάνω στό Σταυρό ὀλόλυζε (θρηνοῦσε ἀλαλάζοντας) δακρύζοντας, καί ἐκραύγαζε πικρά· Ὁ κόσμος ἀγάλλεται δεχόμενος τή λύτρωση, τά σπλάχνα μου ὅμως καίονται βλέποντας τή σταύρωσή σου, τήν ὁποία ὑπομένεις γιά ὅλους, Ἐσύ ὁ Υἱός καί Θεός μου. Μαρτυρικό τῆς Ζ'. ᾠδῆς. Γίνατε ἀταλάντευτοι ὁδοιπόροι τοῦ στενοῦ καί θλιμμένου δρόμου, ἅγιοι Μάρτυρες· Διότι ὑπομείνατε τήν τρικυμία τῶν πειρασμῶν, καί δεχθήκατε τόν τρόπο τῆς ζωῆς τῶν ἀσωμάτων Λειτουργῶν· ἀναδειχθήκατε πέτρα ὑπομονῆς καί θεμέλια τῆς εὐσεβείας· πρεσβεύσατε στό Χριστό τόν Θεό μας ὑπέρ τῶν ψυχῶν μας. ΠΑΡΑΣΚΕΥΗ ΣΤΟΝ ΟΡΘΡΟ

Ἐν μέσῳ τῆς Ἐδέμ, ξύλον ἤνθησε τὸν θάνατον, ἐν μέσῳ πάσης γῆς, ξύλον ἐβλάστησε τὴν ζωήν· γευσάμενοι γὰρ τοῦ πρώτου, ἄφθαρτοι ὄντες, φθαρτοὶ γεγόναμεν, τυχόντες δὲ τοῦ δευτέρου, τῆς ἀφθαρσίας κατετρυφήσαμεν· ἐν τῷ Σταυρῷ γὰρ σῴζεις ὡς Θεός, τὸ γένος τῶν ἀνθρώπων. Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ. Ἐν Παραδείσῳ μὲν τὸ πρίν, ξύλῳ ἐγύμνωσεν, ἐπὶ τῇ γεύσει ὁ ἐχθρός, εἰσφέρων νέκρωσιν, τοῦ Σταυροῦ δὲ τὸ ξύλον τῆς ζωῆς τὸ ἔνδυμα, ἀνθρώποις φέρον ἐπάγη ἐπὶ τῆς γῆς, καὶ Κόσμος ὅλος ἐπλήσθη πάσης χαρᾶς, ὃν ὁρῶντες ὑψούμενον, Θεῷ ἐν πίστει λαοί, συμφώνως ἀνακράξωμεν· πλήρης δόξης ὁ οἶκος αὐτοῦ. Δόξα... Καὶ νῦν... Σταυροθεοτοκίον. Τὸν ἐξ αἱμάτων σου ἀγνῶν σωματωθέντα, καὶ ὑπὲρ ἔννοιαν ἐκ σοῦ Σεμνὴ τεχθέντα, ἐπὶ ξύλου κρεμάμενον μέσον τῶν κακούργων, ὁρῶσα τὰ σπλάγχνα ἤλγεις, καὶ μητρικῶς, θρηνοῦσα ἐβόας· Οἴμοι Τέκνον ἐμόν! τίς ἡ θεία καὶ ἄφατος, Οἰκονομία σου, δι' ἧς, ἐζώωσας τὸ πλάσμα σου; Ἀνυμνῶ σου τὸ εὔσπλαγχνον. Εἰς τὴν Ζ'. Ὠιδὴν. Μαρτυρικὸν Δι' ἐγκρατείας τῶν παθῶν τὰς πυριφλέκτους, ἀπονεκρώσαντες ὁρμάς, καὶ τὰς κινήσεις, τοῦ Χριστοῦ οἱ Μάρτυρες ἔλαβον τὴν χάριν, τὰς νόσους ἀποδιώκειν τῶν ἀσθενῶν, καὶ ζῶντες, καὶ μετὰ			Στή μέση τοῦ Παραδείσου, ἕνα δένδρο ἔφερε ὡς ἄνθος (καρπό) τό θάνατο, καί στή μέση τῆς γῆς δένδρο βλάστησε τή ζωή· διότι ἀφοῦ γευθήκαμε τό πρῶτο, ἐνῶ ἤμασταν ἄφθαρτοι, γίναμε φθαρτοί,καί ἀφοῦ συναντήσαμε τό δεύτερο, ἀπολαύσαμε τήν ἀφθαρσία· διότι ἐπάνω στό Σταυρό ἔσωσε ὁ Χριστός τό γένος τῶν ἀνθρώπων. Στίχ. Ὑψώνετε τόν Κύριο, τόν Θεό μας, καί προκυνεῖτε τό ὑποστήριγμα τῶν ποδιῶν του. Μέσα στόν παράδεισο προηγουμένως μέ ἕνα δένδρο ὁ ἐχθρός μέ γύμνωσε, μέ τοῦ ὁποίου τή γεύση εἰσάγει τή νέκρωση· τό ξύλο ὅμως τοῦ Σταυροῦ καρφώθηκε ἐπάνω στή γῆ προσφέροντας στούς ἀνθρώπους τό ἔνδυμα τῆς ζωῆς, καί ὅλος ὁ κόσμος γέμισε ἀπό κάθε χαρά· τόν ὁποῖο Σταυρό βλέποντας νά ὑψώνεται, ἄς φωνάξουμε, λαοί, ὁμόφωνα μέ πίστη στόν Θεό. Εἶναι γεμάτος ἀπό δόξα ὁ ναός του. Δόξα ...Καί νῦν... Σταυροθεοτοκίο. Ὅταν ἔβλεπες, Σεμνή, αὐτόν πού ἔλαβε σῶμα ἀπό τά ἁγνά σου αἵματα, καί γεννήθηκε ἀπό σένα πέρα ἀπό κάθε λογική, νά κρέμεται ἐπάνω στό ξύλο ἀνάμεσα στούς κακούργους, πονοῦσες στά σπλάχνα σου, καί θρηνώντας ὡς μητέρα κραύγαζες· ἀλλοίμονο, παιδί μου! τί εἴδους μυστηριώδης εἶναι ἡ οἰκονομία σου (τό σχέδιο τῆς σωτηρίας), μέ τήν ὁποία ἔδωσες ζωή στό πλάσμα σου! Ἀνυμνῶ τήν εὐσπλαχνία σου. Μαρτυρικό τῆς Ζ'. ᾠδῆς. Ἀφοῦ ἀπονέκρωσαν μέ τήν ἐγκράτεια τίς φλογισμένες ὁρμές καί τίς κινήσεις τῶν παθῶν οἱ Μάρτυρες τοῦ Χριστοῦ, πῆραν τή χάρη, νά διώχνουν τίς ἀσθένειες τῶν ἀρρώστων, καί νά θαυματουργοῦν καί ζωντανοί καί μετά θάνατον·

τέλος θαυματουργεῖν, ὄντως θαῦμα παράδοξον! ὅτι ὀστέα γυμνά, ἐκβλύζουσιν ἰάματα. Δόξα τῷ μόνῳ σοφῷ, καὶ κτίστῃ Θεῷ. ΤΗι ΠΑΡΑΣΚΕΥΗι ΕΣΠΕΡΑΣ Μάρτυρες Κυρίου, πάντα τόπον ἁγιάζετε, καὶ πᾶσαν νόσον θεραπεύετε, καὶ νῦν πρεσβεύσατε, ῥυσθῆναι τῶν παγίδων τοῦ ἐχθροῦ, τὰς ψυχὰς ἡμῶν δεόμεθα. Μάρτυρες Κυρίου, ἱκετεύσατε τὸν Θεὸν ἡμῶν, καὶ αἰτήσασθε ταῖς ψυχαῖς ἡμῶν, πλῆθος οἰκτιρμῶν, καὶ τὸν ἱλασμόν, τῶν πολλῶν παραπτωμάτων δεόμεθα. Οἱ Μάρτυρές σου Κύριε, ἐπιλαθόμενοι τῶν ἐν τῷ βίῳ, καταφρονήσαντες καὶ τῶν βασάνων, διὰ τὴν μέλλουσαν ζωήν, ταύτης κληρονόμοι ἀνεδείχθησαν· ὅθεν καὶ Ἀγγέλοις συναγάλλονται. Αὐτῶν ταῖς ἱκεσίαις, δώρησαι τῷ λαῷ σου τὸ μέγα ἔλεος. Εἴ τις ἀρετή, καὶ εἴ τις ἔπαινος, πρέπει τοῖς Ἁγίοις· ξίφεσι γὰρ ἔκλιναν τοὺς αὐχένας, διὰ σὲ τὸν κλίναντα οὐρανοὺς καὶ καταβάντα, ἐξέχεαν τὸ αἷμα αὐτῶν, διὰ σὲ τὸν κενώσαντα ἑαυτόν, καὶ μορφὴν δούλου λαβόντα, ἐταπεινώθησαν ἕως θανάτου, τὴν πτωχείαν σου μιμούμενοι. Ὧν ταῖς εὐχαῖς, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ὁ Θεὸς ἐλέησον ἡμᾶς. Δόξα... Νεκρώσιμον Θρηνῶ καὶ ὀδύρομαι, ὅταν ἐννοήσω τὸν θάνατον, καὶ ἴδω ἐν τοῖς τάφοις κειμένην τὴν κατ'			Ἀληθινά εἶναι παράδοξο θαῦμα! ὅτι δηλαδή γυμνά ὀστά (κόκκαλα) ἀναβλύζουν θεραπεῖες. Δόξα στό μόνο σοφό καί Δημουργό Θεό. ΠΑΡΑΣΚΕΥΗ ΣΤΟΝ ΕΣΠΕΡΙΝΟ Μάρτυρες τοῦ Κυρίου, ἁγιάζετε κάθε τόπο καί θεραπεύετε κάθε ἀσθένεια· Καί τώρα παρακαλοῦμε, πεσβεύσατε νά ἀπαλλαγοῦν οἱ ψυχές μας ἀπό τίς παγίδες τοῦ ἐχθροῦ. Μάρτυρες τοῦ Κυρίου, ἱκετεύσατε τόν Θεό μας, καί σᾶς παρακαλοῦμε, ζητῆστε γιά τίς ψυχές μας πλῆθος εὐσπλαχνίας , καί τή συγχώρηση τῶν πολλῶν σφαλμάτων μας. Οἱ Μάρτυρές σου, Κύριε, λησμονώντας τά σχετικά μέ τή ζωή, καί καταφρονώντας καί τά βάσανα γιά χάρη τῆς μέλλουσας ζωῆς ἀναδείχθηκαν κληρονόμοι της· Γι' αὐό καί ἀγάλλονται μαζί μέ τούς Ἀγγέλους. Μέ τίς ἱκεσίες αὐτῶν δώρισε στόν λαό σου τό μέγα ἔλεος. Ἄν ὑπάρχει κάποια ἀρετή ἤ κάποιος ἔπαινος, ἀξίζει στούς Ἁγίους! διότι ἔγειραν τό λαιμό τους στά ξίφη, γιά σένα πού ἔγειρες τούς οὐρανούς καί κατέβηκες· Ἔχυσαν τό αἷμα τους γιά σένα, ὁ ὁποῖος ἄδειασες ἀπό τή δόξα τόν ἑαυτό σου καί ἔλαβες μορφή δούλου· ταπεινώθηκαν μέχρι τό θάνατο, μιμούμενοι τήν πτωχεία σου (τήν ταπείνωσή σου). Μέ τῶν ὁποίων τίς εὐχές, Θεέ μας, ἐλέησέ μας σύμφωνα μέ τό πλῆθος τῆς εὐσπλαχνίας σου. Δόξα... Νεκρώσιμο. Θρηνῶ καί κλαίω μεγαλόφωνα, ὅταν σκεφθῶ τό θάνατο, καί ἰδῶ, νά κοίτεται στούς τάφους, ἡ ὡραιότητα πού πλάσθη-

εἰκόνα Θεοῦ, πλασθεῖσαν ἡμῖν ὡραιότητα, ἄμορφον, ἄδοξον, μὴ ἔχουσαν εἶδος· ὢ τοῦ θαύματος! τί τὸ περὶ ἡμᾶς τοῦτο γέγονεν μυστήριον; πῶς παρεδόθημεν τῇ φθορᾷ; πῶς συνεζεύχθημεν τῷ θανάτῳ; ὄντως Θεοῦ προστάξει, ὡς γέγραπται, τοῦ παρέχοντος τοῖς μεταστᾶσι τὴν ἀνάπαυσιν. Καὶ νῦν... Θεοτοκίον. Ὁ Βασιλεὺς τῶν οὐρανῶν διὰ φιλανθρωπίαν, ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη· ἐκ Παρθένου γὰρ ἁγνῆς, σάρκα προσλαβόμενος, καὶ ἐκ ταύτης προελθὼν μετὰ τῆς προσλήψεως· εἷς ἐστίν Υἱός, διπλοῦς τὴν φύσιν, ἀλλ' οὐ τὴν ὑπόστασιν. Διὸ τέλειον αὐτὸν Θεόν, καὶ τέλειον ἄνθρωπον, ἀληθῶς κηρύττοντες, ὁμολογοῦμεν Χριστὸν τὸν Θεὸν ἡμῶν, ὃν ἱκέτευε Μῆτερ ἀνύμφευτε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν. ΑΙ ΕΝΝΕΑ ΒΙΒΛΙΚΑΙ ΩιΔΑΙ ΩΙΔΗ ΠΡΩΤΗ. Ἔξοδος. (ΙΕ΄.). (Ἀρχὴ). Τῷ Κυρίῳ ᾄσωμεν· ἐνδόξως γὰρ δεδόξασται. Ἄισωμεν τῷ Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται, ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν. Βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν, οὗτός μου Θεός, καὶ δοξάσω αὐτόν, Θεὸς τοῦ Πατρός μου, καὶ ὑψώσω αὐτόν. Κύριος συντρίβων πολέμους, Κύριος ὄνομα			κε γιά μᾶς «κατ' εἰκόνα Θεοῦ», χωρίς μορφή, χωρίς δόξα, χωρίς ὀμορφιά· ὦ τί θλιβερό θαῦμα! γιατί συνέβη σ' ἐμᾶς αὐτό τό μυστήριο; πῶς παραδοθήκαμε στή φθορά; πῶς δεθήκαμε μαζί μέ τό θάνατο; ἀληθινά ὅπως εἶναι γραμμένο, αὐτά ἔγιναν μέ τήν προσταγή τοῦ Θεοῦ, πού δίνει τήν ἀνάπαυση, σ' αὐτούς πού ἔφυγαν ἀπό τή ζωή. Καί νῦν... Θεοτοκίο. Ὁ Βασιλιάς τῶν οὐρανῶν ἀπό φιλανθρωπία ἐμφανίσθηκε ἐπάνω στή γῆ, καί συναναστράφηκε μέ τούς ἀνθρώπους· διότι, ἀφοῦ ἔλαβε σάρκα ἀπό Παρθένο ἁγνή, καί ἀφοῦ προῆλθε ἀπό αὐτήν, μαζί μέ αὐτό πού ἔλαβε (τή σάρκα), εἶναι ἕνας Υἱός, διπλός ὡς πρός τή φύση, ἀλλά ὄχι ὡς πρός τό πρόσωπο. Γι' αὐτό κηρύττοντάς τον τέλειο Θεό καί τέλειον ἄνθρωπο ὁμολογοῦμε τόν Χριστόν τόν Θεό μας· Αὐτόν ἱκέτευε, Μητέρα ἀνύπανδρη, νά ἐλεηθοῦν οἱ ψυχές μας. ΟΙ ΕΝΝΕΑ ΒΙΒΛΙΚΕΣ ΩιΔΕΣ ΩΙΔΗ ΠΡΩΤΗ. Ἔξοδος. (ΙΕ΄.). (Ἀρχή). Ἄς ψάλουμε στόν Κύριο, διότι εἶναι ὑπερβολικά δοξασμένος. Ἄς ψάλουμε στόν Κύριο, διότι εἶναι ὑπερβολικά δοξσμένος. Τά ἄλογα τῶν Αἰγυπτίων καί τούς ἀναβάτες τους τούς ἔρριξε στή θάλασσα. Ἔγινε βοηθός καί σκεπαστής μου, γιά νά σωθῶ· Αὐτός εἶναι Θεός μου καί θά τόν δοξάσω, εἶναι Θεός τοῦ πατέρα μου καί θά τόν ὑψώσω. Εἶναι ὁ Κύριος πού συντρίβει τούς ἐχθρούς, Κύριος εἶναι

αὐτῷ. Ἅρματα Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ ἔρριψεν εἰς θάλασσαν, ἐπιλέκτους ἀναβάτας τριστάτας κατεπόντισεν ἐν Ἐρυθρᾷ, θαλάσσῃ. Πόντῳ ἐκάλυψεν αὐτούς, κατέδυσαν εἰς βυθὸν ὡσεὶ λίθος. Ἡ δεξιά σου, Κύριε, δεδόξασται ἐν ἰσχύϊ, ἡ δεξιά σου χείρ, Κύριε, ἔθραυσεν ἐχθρούς. Καὶ τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους. Ἀπέστειλας τὴν ὀργήν σου, κατέφαγεν αὐτοὺς ὡσεὶ καλάμην. Καὶ διὰ πνεύματος τοῦ θυμοῦ σου διέστη τὸ ὕδωρ, ἐπάγη ὡσεὶ τεῖχος τὰ ὕδατα, ἐπάγη τὰ κύματα ἐν μέσῳ τῆς θαλάσσης. Εἶπεν ὁ ἐχθρός· διώξας καταλήψομαι, μεριῶ σκῦλα, ἐμπλήσω ψυχήν μου, ἀνελῶ τῇ μαχαίρᾳ μου, κυριεύσει ἡ χείρ μου. Ἀπέστειλας τὸ πνεῦμά σου, ἐκάλυψεν αὐτοὺς θάλασσα, ἔδυσαν ὡσεὶ μόλυβδος ἐν ὕδατι σφοδρῷ. Τὶς ὅμοιός σοι ἐν θεοῖς, Κύριε; τὶς ὅμοιός σοι; Δεδοξασμένος ἐν Ἁγίοις, θαυμαστὸς ἐν δόξαις, ποιῶν τέρατα. Ἐξέτεινας τὴν δεξιάν σου, κατέπιεν αὐτοὺς γῆ. Ὡδήγησας τῇ δικαιοσύνῃ σου τὸν λαόν σου τοῦτον, ὃν ἐλυτρώσω, παρεκάλεσας τῇ ἰσχύϊ σου εἰς κατάλυμα ἅγιόν σου.			τό ὄνομά του. Τά ἅρματα τοῦ Φαραώ καί τή δύναμή του τά ἔρριξε στή θάλασσα· Ἐκλεκτούς ἀναβάτες, ἔμπειρους ἁρματηλάτες, τούς καταπόντισε στήν Ἐρυθρά θάλασσα. Τούς ἐσκέπασε μέ τό πέλαγος, καταποντίσθηκαν στό βυθό ὡς πέτρα. Τό δεξιό σου χέρι, Κύριε, δοξάσθηκε μέ τή δύναμή σου, τό δεξιό σου χέρι, Κύριε, συνέτριψε τούς ἐχθρούς. Καί μέ τήν ἀπέραντη δόξα σου συνέτριψες τούς ἀντιπάλους· Ἔστειλες ἐναντίον τους τήν ὀργή σου, καί τούς κατέφαγε, ὅπως ἡ φωτιά τήν καλαμιά. Καί μέ τήν πνοή τοῦ θυμοῦ σου διαιρέθηκε στά δύο τό νερό· Ἔγιναν στερεά τά νερά, στερεοποιήθηκαν τά κύματα στή μέση τῆς θάλασσας. Εἶπε ὁ ἐχθρός, θά τούς καταδιώξω καί θά τούς συλλάβω, θά μοιράσω τά ὑπάρχοντά τους ὡς λάφυρα, θά χορτάσει ἡ ψυχή μου, θά σφάξω μέ τό σπαθί μου, θά τούς κυριεύσει τό χέρι μου. Ἐσύ ὅμως ἐξαπέλυσες τήν πνοή σου (τόν ἄνεμο), τούς σκέπασε ἡ θάλασσα, βυθίσθηκαν ὡς μολύβι στά βαθιά νερά. Ποιός ἀπό τούς θεούς εἶναι ὅμοιός σου, Κύριε; Ποιός εἶναι ὅμοιός σου; Εἶσαι δοξασμένος ἀνάμεσα στούς ἁγίους, θαυμαστός μέ τά ἔνδοξα ἔργα σου, ἐσύ ὁ ὁποῖος κάνεις τέτοια θαύματα. Ἅπλωσες τό χέρι σου, καί τούς κατάπιε ἡ γῆ. Ὁδήγησες μέ τήν ἀγαθότητά σου τόν λαό σου αὐτόν, τόν ὁποῖο ἐλευθέρωσες ἀπό τή σκλαβιά· Τόν ἐνίσχυσες μέ τή δύναμή σου, καί τόν ὁδήγησες στό ἅγιο κατάλυμά σου, στή γῆ

Ἤκουσαν ἔθνη, καὶ ὠργίσθησαν, ὠδῖνες ἔλαβον κατοικοῦντας Φιλιστιείμ. Τότε ἔσπευσαν ἡγεμόνες Ἐδώμ, καὶ ἄρχοντες τῶν Μωαβιτῶν, ἔλαβεν αὐτοὺς τρόμος, ἐτάκησαν πάντες οἱ κατοικοῦντες Χαναάν. Ἐπιπέσοι ἐπ' αὐτοὺς φόβος καὶ τρόμος, μεγέθει βραχίονός σου ἀπολιθωθήτωσαν. Ἕως ἂν παρέλθῃ ὁ λαός σου, Κύριε, ἕως ἂν παρέλθῃ ὁ λαός σου οὗτος, ὃν ἐκτήσω. Εἰσαγαγὼν καταφύτευσον αὐτοὺς εἰς ὄρος κληρονομίας σου, εἰς ἕτοιμον κατοικητήριόν σου, ὃ κατειργάσω, Κύριε, ἁγίασμα, ὃ ἡτοίμασαν αἱ χεῖρές σου. (Τέλος): Κύριος βασιλεύων τῶν αἰώνων, καὶ ἐπ' αἰῶνα, καὶ ἔτι. Ὅτι εἰσῆλθεν ἵππος Φαραὼ σὺν ἅρμασι καὶ ἀναβάταις εἰς θάλασσαν, καὶ ἐπήγαγεν ἐπ' αὐτοὺς Κύριος τὸ ὕδωρ τῆς θαλάσσης, οἱ δὲ υἱοὶ Ἰσραὴλ ἐπορεύθησαν διὰ ξηρᾶς ἐν μέσῳ τῆς θαλάσσης. Δόξα... Καὶ νῦν... ᾨιΔΗ ΔΕΥΤΕΡΑ Δευτερονόμιον. (ΛΒ'.143). (Ἀρχή). Νόμου γραφέντος αὖθις ᾠδὴ Μωσέως.			τῆς ἐπαγγελίας. Τά ἄκουσαν αὐτά τά εἰδωλολατρικά ἔθνη καί ταράχθηκαν· Πόνοι ὅπως τῆς γέννας κυρίευσαν αὐτούς πού κατοικοῦν τή χώρα τῶν Φιλισταίων, (τήν Χαναάν, τήν Παλαιστίνη). Τότε ἀνασταντώθηκαν οἱ ἡγεμόνες τῆς Ἰδουμαίας καί οἱ ἄρχοντες τῶν Μωαβιτῶν· Τούς κατέλαβε τρόμος, ἔλιωσαν ὅλοι πού κατοικοῦσαν τή Χαναάν. Ἄς πέσει ἐπάνω τους φόβος καί τρόμος, ἀπό τό μέγεθος τῆς δύναμής σου ἄς ἀπολιθωθοῦν μένοντας ἀκίνητοι. Μέχρι νά περάσει ὁ λαός σου, Κύριε, μέχρι νά περάσει ὁ λαός σου αὐτός πού εἶναι κτῆμα σου. Βάλε τους μέσα καί ἐγκατάστησέ τους μέ ἀσφάλεια στό ὄρος, τό ὁποῖο τούς ἔδωσες ὡς κληρονομιά, στό ἕτοιμο κατοικητήριό σου, τό ὁποῖο ἔκανες ἁγιασμένο ναό σου, Κύριε, πού ἑτοίμασαν τά χέρια σου. (Τέλος). Ὁ Κύριος εἶναι πού βασιλεύει πάντοτε καί στούς αἰῶνες, καί πέρα ἀπό τούς αἰῶνες. (Ἄς εἶναι δοξασμένος ὁ Κύριος), διότι εἰσῆλθε τό ἱππικό τοῦ Φαραώ στή θάλασσα μαζί μέ τά ἅρματα καί τούς ἀναβάτες, καί ἐξαπέλυσε ὁ Κύριος ἐναντίον τους τό νερό τῆς θάλασσας. Οἱ Ἰσρηλῖτες ὅμως πέρασαν διά ξηρᾶς μέσα ἀπό τή θάλασσα. Δόξα... Καί νῦν... ΩιΔΗ ΔΕΥΤΕΡΑ. Δευτερονόμιο. (ΛΒ'. 143). (Ἀρχή). Ἀφοῦ γράφηκε ὁ Νόμος, πάλι αὐτός εἶναι ὁ δεύτερος ὕμνος τοῦ Μωυσῆ.

Πρόσεχε οὐρανέ, καὶ λαλήσω, καὶ ἀκουέτω ἡ γῆ ρήματα ἐκ στόματός μου. Προσδοκάσθω ὡς ὑετὸς τὸ ἀπόφθεγμά μου, καὶ καταβήτω ὡς δρόσος τὰ ρήματά μου, ὡς ὄμβρος ἐπ᾽ ἄγρωστιν καὶ ὡσεὶ νιφετὸς ἐπὶ χόρτον. Ὅτι τὸ ὄνομα Κυρίου ἐκάλεσα· δότε μεγαλωσύνην τῷ Θεῷ ἡμῶν. Θεός, ἀληθινὰ τὰ ἔργα αὐτοῦ, καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ κρίσεις· Θεὸς πιστός, καὶ οὐκ ἔστιν ἀδικία, δίκαιος καὶ ὅσιοςΚύριος. Ἡμάρτοσαν οὐκ αὐτῷ τέκνα μωμητά, γενεὰ σκολιὰ καὶ διεστραμμένη. Ταῦτα Κυρίῳ ἀνταποδίδοτε; Οὗτος λαὸς μωρὸς καὶ οὐχὶ σοφός; οὐκ αὐτὸς οὗτός σου πατὴρ ἐκτήσατό σε καὶ ἐποίησέ σε καὶ ἔπλασέ σε; Μνήσθητε ἡμέρας αἰῶνος, σύνετε ἔτη γενεᾶς γενεῶν· ἐπερώτησον τὸν πατέρα σου, καὶ ἀναγγελεῖ σοι, τοὺς πρεσβυτέρους σου, καὶ ἐροῦσί σοι. Ὅτε διεμέριζεν ὁ Ὕψιστος ἔθνη, ὡς διέσπειρεν υἱοὺς Ἀδάμ, ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν Ἀγγέλων Θεοῦ, Καὶ ἐγενήθη μερὶς Κυρίου λαὸς αὐτοῦ Ἰακώβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ.			Πρόσεχε οὐρανέ, διότι θά μιλήσω, καί ἄς ἀκούει ἡ γῆ τά λόγια ἀπό τό στόμα μου. Ἄς περιμένουν οἱ ἄνθρωποι ὡς βροχή τά ἀποφθέγματά μου, καί ἄς κατεβοῦν τά λόγια μου ὡς δροσιά, ὡς βροχή, στή χλόη καί ὡς χιόνι στό χόρτο. Διότι ἀνέφερα τό ὄνομα τοῦ Κυρίου· Δοξάστε καί ἐξυψῶστε τόν Θεό μας. Εἶναι Θεός καί εἶναι ἀληθινά τά ἔργα του καί ὅλες οἱ ἐντολές του ἀποπνέουν δικαιοσύνη. Εἶναι Θεός ἀξιόπιστος καί δέν ὑπάρχει σ᾽ αὐτόν ἀδικία· Ὁ Κύριος εἶναι δίκαιος καί ἅγιος. Ἁμάρτησαν οἱ Ἰσραηλῖτες ἀπέναντί του ὄχι ὡς δικά του παιδιά, ἀλλά ὡς παιδιά γεμάτα μομφή (ἀξιοκατάκριτα), εἶναι γενιά ἄδικη καί διεστραμμένη. Αὐτά λοιπόν ἀνταποδίδετε στόν Κύριο; Εἶσθε λαός τόσο μωρός καί ὄχι σοφός; Δέν εἶναι αὐτός ὁ ἴδιος Πατέρας σας, πού σᾶς ἔκανε δικούς του υἱούς, καί σᾶς ἔφερε στήν ὕπαρξη, καί σᾶς ἔπλασε; Θυμηθεῖτε τούς περασμένους αἰῶνες, ἀναλογισθεῖτε τά χρόνια τῶν περασμένων γενεῶν. Ρώτησε τόν πατέρα σου καί θά σοῦ ἀναγγείλει, ποιός εἶναι ὁ Θεός σου, ρώτησε τούς μεγαλυτέρους σου καί θά σοῦ ποῦν. Ὅταν διεμέριζε ὁ Ὕψιστος τά ἔθνη, ὅταν διέσπειρε τούς ἀπογόνους τοῦ Ἀδάμ, καθόριζε καί τά σύνορα τῶν ἐθνῶν σύμφωνα μέ τόν ἀριθμό τῶν Ἀγγέλλων πού θά ἦταν φύλακές τους. Τότε ἔγινε ἰδιαίτερο μερίδιο τοῦ Κυρίου, ὁ λαός τοῦ Ἰακώβ, ἰδιαίτερο κληρονομικό μερίδιό του ὁ λαός τοῦ Ἰσραήλ.

Αὐτάρκησεν αὐτὸν ἐν γῇ ἐρήμῳ, ἐν δίψει καύματος ἐν γῇ ἀνύδρῳ· ἐκύκλωσεν αὐτὸν καὶ ἐπαίδευσεν αὐτὸν καὶ διεφύλαξεν αὐτὸν ὡς κόρην ὀφθαλμοῦ. Ὡς ἀετὸς σκεπάσαι νοσσιὰν αὐτοῦ καὶ ἐπὶ τοῖς νεοσσοῖς αὐτοῦ ἐπεπόθησε, διεὶς τὰς πτέρυγας αὐτοῦ ἐδέξατο αὐτοὺς καὶ ἀνέλαβεν αὐτοὺς ἐπὶ τῶν μεταφρένων αὐτοῦ. Κύριος μόνος ἦγεν αὐτοὺς καὶ οὐκ ἦν μετ᾽ αὐτῶν θεὸς ἀλλότριος. Ἀνεβίβασεν αὐτοὺς ἐπὶ τὴν ἰσχὺν τῆς γῆς, ἐψώμισεν αὐτοὺς γενήματα ἀγρῶν· Ἐθήλασαν μέλι ἐκ πέτρας καὶ ἔλαιον ἐκ στερεᾶς πέτρας. Βούτυρον βοῶν καὶ γάλα προβάτων μετὰ στέατος ἀρνῶν καὶ κριῶν, υἱῶν ταύρων καὶ τράγων, μετὰ στέατος νεφρῶν πυροῦ, καὶ αἷμα σταφυλῆς ἔπιον οἶνον. Καὶ ἔφαγεν Ἰακὼβ καὶ ἐνεπλήσθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος, ἐλιπάνθη, ἐπαχύνθη, ἐπλατύνθη· καὶ ἐγκατέλιπε τὸν Θεὸν τὸν ποιήσαντα αὐτὸν καὶ ἀπέστη ἀπὸ Θεοῦ Σωτῆρος αὐτοῦ. Παρώξυνάν με ἐπ᾽ ἀλλοτρίοις, ἐν βδελύγμασιν αὐτῶν ἐξεπίκρανάν με· Ἔθυσαν δαιμονίοις καὶ οὐ Θεῷ, θεοῖς, οἷς οὐκ ἤδεισαν· καινοὶ καὶ πρόσφατοι ἥκασιν, οὓς οὐκ ἤδεισαν οἱ πατέρες αὐτῶν. Θεὸν τὸν γεννήσαντά σε ἐγκατέλιπες καὶ			Ὁ Θεός τόν ἔκανε αὐτάρκη σέ τόπο ἔρημο ἀπό φαγητό, τόν πότισε σέ καιρό δίψας καί καύσωνα, σέ τόπο πού δέν εἶχε νερό. Τούς ὁδήγησε γύρω ἀπό τήν ἔρημο, καί τους δοκίμασε, ἀλλά καί τούς διαφύλαξε ὡς κόρη ὀφθαλμοῦ. Ὁ Θεός εἶναι ὅπως ὁ ἀετός, πού σκεπάζει τή φωλιά του, καί ἀγαπᾷ μέ πάθος τά μικρά του, καί ἁπλώνοντας τά φτερά του τά δέχεται, καί τά τοποθετεῖ ἐπάνω στή ράχη του. Ὁ Κύριος μόνος τούς ὁδηγοῦσε, καί δέν ἦταν μαζί τους ξένος θεός. Τούς ἀνέβασε στά ὑψώματα τῆς χώρας, τούς ἔδωσε γιά τροφή τά προϊόντα τῶν πεδιάδων. Θήλασαν μέλι ἀπό πέτρα καί λάδι ἀπό ἐλαιόδενδρα φυτευμένα σέ πετρώδη ἐδάφη. Ἔφαγαν βούτυρο ἀγελάδων καί γάλα προβάτων μαζί μέ λιπαρά κρέατα ἀρνιῶν καί κριαριῶν, μοσχαριῶν καί τράγων, ἔφαγαν σιτάρι ὅμοιο μέ λιπαρά νεφρά, καί ἤπιαν κρασί ἀπό σταφύλια, ὡς κατακόκκινο αἷμα. Καί ἔφαγε ὁ Ἰσραηλιτικός λαός, καί ἐχόρτασε μέ τό παραπάνω, καί κλώτσησε τόν Θεό ὁ ἀγαπημένος αὐτός λαός, καί λιπάνθηκε καί πάχυνε καί πολλαπλασιάσθηκε. Καί ὅμως ὁ λαός αὐτός ἐγκατέλειψε τόν Θεό πού τόν ἔπλασε, καί ἀπομακρύνθηκε ἀπό τόν Θεό, τό Σωτήρα του. Μέ ἐξόργισαν μέ τούς ξένους θεούς πού λάτρεψαν, μέ τά εἴδωλά τους μέ πίκραναν. Μέ ἐξόργισαν προσφέροντας θυσίες σέ δαιμόνια καί ὄχι στόν Θεό, σέ θεούς πού δέν γνώριζαν, πού ἦλθαν καινούριοι καί πρόσφατοι, τούς ὁποίους δέν γνώριζαν οἱ Πατέρες τους. Ἐγκατέλειψες τόν Θεό πού σέ ἔπλασε (σ᾽ ἐγέννησε), καί

ἐπελάθου Θεοῦ τοῦ τρέφοντός σε. Καὶ εἶδε Κύριος καὶ ἐζήλωσε καὶ παρωξύνθη δι' ὀργὴν υἱῶν αὐτοῦ καὶ θυγατέρων. Καὶ εἶπεν· ἀποστρέψω τὸ πρόσωπόν μου ἀπ᾽ αὐτῶν καὶ δείξω τί ἔσται αὐτοῖς ἐπ᾽ ἐσχάτων ἡμερῶν· ὅτι γενεὰ ἐξεστραμμένη ἐστίν, υἱοί, οἷς οὐκ ἔστι πίστις ἐν αὐτοῖς. Αὐτοὶ παρεζήλωσάν με ἐπ᾽ οὐ Θεῷ, παρώργισάν με ἐν τοῖς εἰδώλοις αὐτῶν· κἀγὼ παραζηλώσω αὐτοὺς ἐπ᾽ οὐκ ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ αὐτούς. Ὅτι πῦρ ἐκκέκαυται ἐκ τοῦ θυμοῦ μου, καυθήσεται ἕως ᾅδου κατωτάτου, καταφάγεται γῆν καὶ τὰ γενήματα αὐτῆς, φλέξει θεμέλια ὀρέων. Συνάξω εἰς αὐτοὺς κακὰ καὶ τὰ βέλη μου συντελέσω εἰς αὐτούς. Τηκόμενοι λιμῷ καὶ βρώσει ὀρνέων καὶ ὀπισθότονος ἀνίατος· ὀδόντας θηρίων ἐξαποστελῶ εἰς αὐτοὺς μετὰ θυμοῦ συρόντων ἐπὶ τῆς γῆς. Ἔξωθεν ἀτεκνώσει αὐτοὺς μάχαιρα καὶ ἐκ τῶν ταμιείων φόβος· νεανίσκος σὺν παρθένῳ, θηλάζων μετὰ καθεστηκότος πρεσβυτέρου. Εἶπα· διασπερῶ αὐτούς, παύσω δὲ ἐξ			λησμόνησες τόν Θεό πού σέ τρέφει. Καί εἶδε ὁ Κύριος τήν εἰδωλολατρεία καί ἐζηλοτύπησε, καί ὀργίσθηκε θυμωμένος γιά τούς υἱούς του, τούς Ἰσραηλῖτες, καί τίς θυγατέρες του, τίς Ἰσραηλίτισσες. Καί εἶπε· θά ἀποστρέψω τό πρόσωπό μου ἀπ' αὐτούς, καί θά τούς δείξω, τί θά συμβεῖ σ' αὐτούς ἀργότερα, διότι εἶναι γενιά διεστραμμένη· εἶναι υἱοί, στούς ὁποίους δέν ὑπάρχει πίστη σ' ἐμένα. Αὐτοί μέ ἔκαναν νά ζηλοτυπήσω ἐπειδη λάτρευσαν ἀνύπαρκτο θεό καί μέ ἔκαναν νά ὀργισθῶ, γιατί ἐλάτρευσαν εἴδωλα. Καί ἐγώ θά τούς κάνω νά ζηλοτυπήσουν παραδίνοντάς τους σέ εἰδωλολατρικό ἔθνος, θά τούς κάνω νά δυσφορήσουν, ὅταν τούς παραδώσω σέ βάρβαρο εἰδωλολατρικό ἔθνος. Διότι ἄναψε πλέον ἡ φωτιά τοῦ θυμοῦ μου, καί θά φθάσει μέχρι κάτω στόν ᾅδη· θά καταφάγει τή γῆ καί τούς καρπούς της, θά φάγει τά θεμέλια τῶν ὀρέων. Θά ἐπισωρεύσω ἐναντίον τους θλίψεις, καί θά ἐξαντλήσω τά βέλη μου ἐναντίον τους. Θά λιώνουν ἀπό πεῖνα, θά γίνουν τροφή στά ὄρνια, καί θά ὑποφέρουν ἀπό ὀδυνηρές καί ἀθεράπευτες συσπάσεις τῆς ράχης (θά προσβληθοῦν ἀπό ὀπισθοτονία). Θά στείλω σ' αὐτούς θηρία πού θά τρίζουν τά δόντια τους, δηλητηριώδη ἑρπετά πού θά σέρνονται μέ θυμό ἐπάνω στή γῆ. Ἔξω ἀπό τά σπίτια τό ἐχθρικό σπαθί θά ἀφήσει τούς γονεῖς ἄτεκνους, καί μέσα θά ἐπικρατεῖ φόβος. Θά εἶναι γεμάτοι φόβο τό μικρό παιδί καί ἡ κόρη, τό βρέφος πού θηλάζει καί ὁ ὑπερήλικος γέροντας. Ἀποφάσισα καί εἶπα· θά τούς διασκορπίσω, καί θά

ἀνθρώπων τὸ μνημόσυνον αὐτῶν. Εἰ μὴ δι᾽ ὀργὴν ἐχθρῶν, ἵνα μὴ μακροχρονίσωσι, καὶ ἵνα μὴ συνεπιθῶνται οἱ ὑπεναντίοι, μὴ εἴπωσιν· ἡ χεὶρ ἡμῶν ἡ ὑψηλὴ καὶ οὐχὶ Κύριος ἐποίησε ταῦτα πάντα. Ὅτι ἔθνος ἀπολωλεκὸς βουλήν ἐστι, καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ἐπιστήμη καὶ οὐκ ἐφρόνησαν συνιέναι ταῦτα· Πάντα καταδεξάσθωσαν εἰς τὸν ἐπιόντα χρόνον. Πῶς διώξεται εἷς χιλίους καὶ δύο μετακινήσουσι μυριάδας, εἰ μὴ ὁ Θεὸς ἀπέδοτο αὐτοὺς καὶ Κύριος παρέδωκεν αὐτούς; Οὐ γὰρ εἰσὶν οἱ θεοὶ αὐτῶν ὡς ὁ Θεὸς ἡμῶν · οἱ δὲ ἐχθροὶ ἡμῶν ἀνόητοι. Ἐκ γὰρ ἀμπέλων Σοδόμων ἡ ἄμπελος αὐτῶν, καὶ ἡ κληματὶς αὐτῶν ἐκ Γομόρρας· ἡ σταφυλὴ αὐτῶν σταφυλὴ χολῆς, βότρυς πικρίας αὐτοῖς· Θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν καὶ θυμὸς ἀσπίδων ἀνίατος. Οὐκ ἰδοὺ ταῦτα συνῆκται παρ᾽ ἐμοὶ καὶ ἐσφράγισται ἐν τοῖς θησαυροῖς μου; Ἐν ἡμέρᾳ ἐκδικήσεως ἀνταποδώσω, ἐν καιρῷ, ὅταν σφαλῇ ὁ ποῦς αὐτῶν, ὅτι ἐγγὺς ἡμέρα ἀπωλείας αὐτοῖς, καὶ πάρεστιν ἕτοιμα ὑμῖν.			ἐξαφανίσω ἀπό τούς ἀνθρώπους τήν ἀνάμνησή τους. Καί θά τό ἔκανα αὐτό, ἐάν δέν εἶχα ὀργισθεῖ ἐναντίον τῶν ἐχθρῶν τους, γιά νά μή γίνουν πιό πολύχρονοι ἀπ᾽ αὐτούς, καί γιά νά μή σκεφθοῦν οἱ ἐχθροί τους καί ποῦν· τό δυνατό χέρι μας, τά ἔκανε ὅλα αὐτά, καί ὄχι ὁ Κύριος. Διότι οἱ Ἰσραηλῖτες εἶναι λαός, πού ἔχασε τή σύνεσή του, καί δέν ξέρει τί κάνει. Δέν εἶχαν τή φρόνηση, νά τά μάθουν αὐτά· Γι᾽ αὐτό ἄς ὑποστοῦν στό μέλλον τίς συνέπειες τῆς κακίας τους. (Δέν ἐννοοῦν), πῶς εἶναι δυνατό, ἕνας ἐχθρός νά καταδιώκει χίλιους Ἰσραηλῖτες, καί δύο νά τρέπουν σέ φυγή μυριάδες, ἐάν δέν τούς εἶχε ἐγκαταλείψει ὁ Θεός καί δέν τούς παρέδιδε ὁ Κύριος στούς ἐχθρούς; Αὐτά θά γίνουν, γιατί οἱ θεοί τους δέν εἶναι ὅπως ὁ Θεός μας. Καί εἶναι ἀνόητοι οἱ ἐχθροί μας, πού δέν τά βλέπουν αὐτά. Διότι τό δικό μου ἀμπέλι, ὁ λαός μου, ἔγινε ἀμπέλι πού κατάγεται ἀπό τά διεφθαρμένα Σόδομα, καί ἡ κληματόβεργά τους ἀπό τή διεφθαρμένη Γομόρρα. Ὁ καρπός τους εἶναι σταφύλι χολῆς καί πικρίας. Ἡ μέθη ἀπό τό κρασί τους φθάνει τό θυμό τῶν δρακόντων καί τούς δημιουργεῖ ἀθεράπευτο θυμό, τόν τῆς ἐξοργισμένης ἀσπίδας (εἶδος ὀχιᾶς). Ὅλα αὐτά δέν ἔχουν συγκεντρωθεῖ ἀπό μένα καί δέν ἔχουν καταγραφεῖ καί σφραγισθεῖ σέ βιλίο, πού βρίσκεται στό θησαυροφυλάκιό μου; Κατά τήν ἡ μέρα τῆς τιμωρίας τους θά τούς δώσω ὅ,τι τούς ἀξίζει, κατά τή στιγμή πού θά σκοντάψουν κάπου. Διότι ἡ ἡμέρα τῆς καταστροφῆς τους εἶναι κοντά μου, καί ὅλα εἶναι

Ὅτι κρινεῖ Κύριος τὸν λαὸν αὐτοῦ καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται. Εἶδε γὰρ παραλελυμένους αὐτοὺς καὶ ἐκλελοιπότας ἐν ἐπαγωγῇ καὶ παρειμένους. Καὶ εἶπε Κύριος· ποῦ εἰσιν οἱ θεοὶ αὐτῶν, ἐφ᾽ οἷς ἐπεποίθεισαν ἐπ᾽ αὐτοῖς; ὧν τὸ στέαρ τῶν θυσιῶν αὐτῶν ἠσθίετε καὶ ἐπίνετε τὸν οἶνον τῶν σπονδῶν αὐτῶν; Ἀναστήτωσαν καὶ βοηθησάτωσαν ὑμῖν καὶ γενηθήτωσαν ὑμῖν σκεπασταί. Ἴδετε ἴδετε ὅτι ἐγώ εἰμι, καὶ οὐκ ἔστι Θεὸς πλὴν ἐμοῦ· ἐγὼ ἀποκτενῶ καὶ ζῆν ποιήσω, πατάξω κἀγὼ ἰάσομαι, καὶ οὐκ ἔστιν ὃς ἐξελεῖται ἐκ τῶν χειρῶν μου. Ὅτι ἀρῶ εἰς τὸν οὐρανὸν τὴν χεῖρά μου καὶ ὀμοῦμαι τῇ δεξιᾷ μου καὶ ἐρῶ· ζῶ ἐγὼ εἰς τὸν αἰῶνα, Ὅτι παροξυνῶ ὡς ἀστραπὴν τὴν μάχαιράν μου, καὶ ἀνθέξεται κρίματος ἡ χείρ μου, καὶ ἀποδώσω δίκην τοῖς ἐχθροῖς καὶ τοῖς μισοῦσί με ἀνταποδώσω. Μεθύσω τὰ βέλη μου ἀφ᾽ αἵματος, καὶ ἡ μάχαιρά μου φάγεται κρέα, ἀφ᾽ αἵματος τραυματιῶν καὶ αἰχμαλωσίας, ἀπὸ κεφαλῆς ἀρχόντων ἐθνῶν.			ἕτοιμα γιά τήν τιμωρία τους. Διότι ὁ Κύριος θά τιμωρήσει τό λαό του, καί θά ἱκανοποιηθεῖ ἀπό τήν ὑποδούλωσή τῶν δούλων του πού ἀποστάτησαν· Διότι θά τούς δεῖ ὡς παράλυτους ἀπό τόν πόλεμο, καί ἐξαντλημένους ἀπό τήν ἐξορία, καί ἐγκαταλελειμμένους. Καί θά πεῖ ὁ Κύριος· ποῦ εἶναι οἱ θεοί τους, στούς ὁποίους εἶχαν πεποίθηση; τῶν ὁποίων τρώγατε τό λῖπος τῶν θυσιῶν, καί πίνατε τό κρασί τῶν σπονδῶν τους; Ἄς σηκωθοῦν τώρα, καί ἄς σᾶς βοηθήσουν, καί ἄς γίνουν προστάτες σας. Κοιτάξτε, κοιτάξτε καλά, διότι ἐγώ εἶμαι ὁ πραγματικός Θεός, καί δέν ὑπάρχει ἄλλος Θεός ἐκτός ἀπό μένα· Ἐγώ θανατώνω καί δίνω ζωή, ἐγώ θά χτυπήσω κάποιον καί θά τόν θεραπεύσω καί δέν μπορεῖ κανείς νά τόν σώσει ἀπό τά χέρια μου. Διότι νά,σηκώνω τό χέρι μου στόν οὐρανό, καί ὁρκίζομαι στό δεξιό μου πανίσχυρο χέρι, καί λέγω, ὅτι ἐγώ εἶμαι ὁ Αἰώνιος. Ὁρκίζομαι ὅτι θά κάνω κοφτερό ὡς ἀστραπή τό σπαθί μου, τό χέρι μου θά ἀποδώσει δικαιοσύνη, θά τιμωρήσω τούς ἐχθρούς, καί θά ἀνταποδώσω ὅ,τι πρέπει σ᾽ ἐκείνους πού μέ μισοῦν. Θά μεθύσουν τά βέλη μου ἀπό τό αἷμα πού θά χυθεῖ, τό σπαθί μου θά χορτάσει ἀπό κρέατα, θά ἱκανοποιηθεῖ ἡ δικαιοσύνη μου ἀπό τά αἵματα τῶν νεκρῶν καί τῶν αἰχμαλώτων, ἀπό κεφάλια τῶν ἀρχόντων τῶν ἐθνῶν πού θά πέσουν.

(Τέλος). Εὐφράνθητε, οὐρανοί, ἅμα αὐτῷ, καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ. Εὐφράνθητε, ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ, καὶ ἐνισχυσάτωσαν αὐτῷ πάντες υἱοὶ Θεοῦ· ὅτι τὸ αἷμα τῶν υἱῶν αὐτοῦ ἐκδικεῖται, καὶ ἐκδικήσει καὶ ἀνταποδώσει δίκην τοῖς ἐχθροῖς καὶ τοῖς μισοῦσιν ἀνταποδώσει, καὶ ἐκκαθαριεῖ Κύριος τὴν γῆν τοῦ λαοῦ αὐτοῦ. Δόξα... Καὶ νῦν... ΩιΔΗ ΤΡΙΤΗ. Α'. Βασιλειῶν. (Β'. 1-10). (Ἀρχὴ). Ἅγιος εἶ, Κύριε, καὶ σὲ ὑμνεῖ τὸ πνεῦμά μου. Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, ὑψώθη κέρας μου ἐν Θεῷ μου, ἐπλατύνθη ἐπ' ἐχθρούς μου τὸ στόμα μου, εὐφράνθην ἐν σωτηρίῳ σου. Ὅτι οὐκ ἔστιν ἅγιος, ὡς ὁ Κύριος, καὶ οὐκ ἔστι δίκαιος, ὡς ὁ Θεὸς ἡμῶν καὶ οὐκ ἔστιν ἅγιος πλήν σου. Μὴ καυχᾶσθε καὶ μὴ λαλεῖτε ὑψηλὰ εἰς ὑπεροχήν, μηδὲ ἐξελθέτω μεγαλορρημοσύνη ἐκ τοῦ στόματος ὑμῶν. Ὅτι Θεὸς γνώσεων Κύριος, καὶ Θεὸς ἑτοιμάζων ἐπιτηδεύματα αὐτοῦ. Τόξον δυνατῶν ἠσθένησε, καὶ οἱ ἀσθενοῦντες περιεζώσαντο δύναμιν. Πλήρεις ἄρτων ἠλαττώθησαν, καὶ οἱ πεινῶντες παρῆκαν γῆν, ὅτι στεῖρα ἔτεκεν ἑπτά, καὶ ἡ πολλὴ			(Τέλος). Χαρεῖτε λοιπόν, οὐρανοί μαζί μέ τόν Κύριο, καί ἄς τόν προσκυνήσουν ὅλοι οἱ Ἄγγελοί του· Χαρεῖτε οἱ ἄλλοι λαοί μαζί μέ τό λαό του, καί ἄς τόν ἐνισχύσουν ὅλοι οἱ φίλοι τοῦ Θεοῦ· διότι ὁ Θεός ἐκδικεῖται τό αἷμα τῶν υἱῶν του· θά ἐκδικηθεῖ καί θά τιμωρήσει τούς ἐχθρούς του, καί θά ἀνταποδώσει τά κακά, σ' αὐτούς πού τόν μισοῦν, καί θά καθαρίσει ὁ Κύριος τή γῆ τοῦ λαοῦ του. Δόξα... Καί νῦν... ΩιΔΗ ΤΡΙΤΗ. Α'. Βασιλειῶν. (Β'. 1-10). (Ἀρχή). Εἶσαι ἅγιος, Κύριε, κι ἐσένα ὑμνεῖ τό πνεῦμα μου. Στερεώθηκε ἡ καρδιά μου μέ τή χάρη τοῦ Κυρίου, ἐξυψώθηκε ἡ δύναμή μου, μέ τή δύναμη τοῦ Θεοῦ μου· Τό στόμα μου ἄνοιξε διάπλατα ἐναντίον τῶν ἐχθρῶν μου. Εἶμαι γεμάτος χαρά μέ τή σωτηριώδη δύναμή σου. Διότι δέν ὑπάρχει ἅγιος, ὅπως ὁ Κύριος καί δέν ὑπάρχει δίκαιος, ὅπως ὁ Θεός μας, δέν ὑπάρχει ἄλλος ἅγιος ἐκτός ἀπό σένα. Ἄνθρωποι, μή καυχᾶσθε, καί μή λέτε ὑπερήφανα λόγια· οὔτε νά βγοῦν ἀλαζονικά λόγια ἀπό τό στόμα σας, Διότι ὁ Θεός εἶναι ὁ μόνος παντογνώστης Κύριος, καί Θεός πού φέρνει σέ ἄριστο τέλος τά ἔργα του. Τά τόξα τῶν δυνατῶν ἀποδείχθηκαν ἀνίσχυρα, καί ἀντίθετα οἱ ἀδύνατοι ζώσθηκαν μέ δύναμη. Ἄνθρωποι πλούσιοι σέ ὑλικά ἀγαθά πτώχευσαν, καί ἄνθρωποι πεινασμένοι κατέκτησαν πλούσια γῆ· Στεῖρα γυ-

ἐν τέκνοις ἠσθένησε. Κύριος θανατοῖ καὶ ζωογονεῖ, κατάγει εἰς ᾅδου καὶ ἀνάγει. Κύριος πτωχίζει καὶ πλουτίζει, ταπεινοῖ καὶ ἀνυψοῖ. Ἀνιστᾷ ἀπὸ γῆς πένητα, καὶ ἀπὸ κοπρίας ἐγείρει πτωχόν, τοῦ καθίσαι αὐτὸν μετὰ δυναστῶν λαοῦ, καὶ θρόνον δόξης κατακληρονομῶν αὐτοῖς. Διδοὺς εὐχὴν τῷ εὐχομένῳ, καὶ εὐλόγησεν ἔτη δικαίου. Ὅτι οὐκ ἐνισχύει ἐν τῇ ἰσχύϊ αὐτοῦ, δυνατὸς ἀνὴρ, Κύριος ἀσθενῆ ποιήσει τὸν ἀντίδικον αὐτοῦ, Κύριος ἅγιος. Μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ δυνατὸς ἐν τῇ δυνάμει αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ,. Ἀλλ' ἢ ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος, ἐν τῷ συνιεῖν καὶ γινώσκειν τὸν Κύριον, καὶ ποιεῖν κρῖμα καὶ δικαιοσύνην ἐν μέσῳ τῆς γῆς. (Τέλος): Κύριος ἀνέβη εἰς οὐρανούς, καὶ ἐβρόντησεν, αὐτὸς κρινεῖ ἄκρα γῆς, δίκαιος ὢν. Καὶ δώσει ἰσχὺν τοῖς βασιλεῦσιν ἡμῶν, καὶ ὑψώσει κέρας χριστῶν αὐτοῦ. Δόξα... Καὶ νῦν...			ναίκα ἀπέκτησε πολλά παιδιά, καί ἄλλη πολύτεκνη τά ἔχασε μένοντας μόνη. Ὁ Κύριος ὡς κύριος τῆς ζωῆς καί τοῦ θανάτου δίνει θάνατο καί ζωή, κατεβάζει στόν ᾅδη καί ἀνεβάζει πάλι ἀπ' αὐτόν. Ὁ Κύριος κάνει φτωχούς τούς πλούσιους καί πλουτίζει τούς φτωχούς, ἄλλους ταπεινώνει καί ἄλλους ἀνυψώνει. Αὐτός σηκώνει ἀπό τή γῆ πεινασμένο, καί φτωχό πού κοιμᾶται στήν κοπριά, τόν ὑψώνει ἀνάμεσα στούς ἰσχυρούς τῆς γῆς, καί τοῦ δίνει ὡς κληρονομιά θρόνο δόξας. Εἶναι αὐτός πού ἐκπληρώνει τήν εὐχή τοῦ προσευχομένου, καί πληθύνει ὡς εὐλογία τά ἔτη τῆς ζωῆς τοῦ δικαίου. Διότι δυνατός εἶναι ὄχι αὐτός πού ἔχει σωματική δύναμη. Ὁ Κύριος κάνει ἀνίσχυρο τόν ἀντίπαλό του· Ὁ Κύριος εἶναι ὁ μόνος ἅγιος. Ἂς μήν καυχᾶται ὁ σοφός γιά τή σοφία του, καί ἂς μήν καυχᾶται ὁ δυνατός γιά τή δύναμή του, καί ἂς μήν καυχᾶται ὁ πλούσιος γιά τόν πλοῦτο του. Ἀλά γι' αὐτό νά καυχᾶται αὐτός πού θέλει νά καυχᾶται, γιά τό ὅτι σκέπτεται καί γνωρίζει τόν Κύριο, καί ἀποδίδει δικαιοσύνη καί εἶναι ἐνάρετος ἀνάμεσα στούς ἄλλους ἀνθρώπους. (Τέλος). Ὁ Κύριος ἀνέβηκε στούς οὐρανούς καί ἐξαπέλυσε βροντές καί κεραυνούς. Αὐτός κρίνει καί ἀποδίδει δικαιοσύνη στήν οἰκουμένη μέχρι τά πέρατα τῆς γῆς. Καί δίνει δύναμη στούς βασιλεῖς μας, καί μεγαλύνει τή δύναμη τοῦ βασιλιᾶ, τόν ὁποῖο αὐτός θά ἔχει χρίσει. Δόξα... Καί νῦν...

ΩιΔΗ ΤΕΤΑΡΤΗ. Ἀββακούμ. (Γ΄. 1-19). (Ἀρχὴ). Δόξα τῇ δυνάμει σου, Κύριε. Κύριε, εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην, Κύριε, κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην. Ἐν μέσῳ δύο ζώων γνωσθήσῃ, ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ, ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ, ἐν τῷ ταραχθῆναι τὴν ψυχήν μου ἐν ὀργῇ, ἐλέους μνησθήσῃ. Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει, καὶ ὁ Ἅγιος ἐξ ὄρους κατασκίου δασέος. Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, καὶ τῆς αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ. Καὶ φέγγος αὐτοῦ ὡς φῶς ἔσται, κέρατα ἐν χερσὶν αὐτοῦ, καὶ ἔθετο ἀγάπησιν κραταιὰν ἰσχύος αὐτοῦ. Πρὸ προσώπου αὐτοῦ πορεύσεται λόγος, καὶ ἐξελεύσεται εἰς παιδείαν κατὰ πόδας αὐτοῦ. Ἔστη, καὶ ἐσαλεύθη ἡ γῆ, ἐπέβλεψε, καὶ ἐτάκη ἔθνη. Διεθρύβη τὰ ὄρη βίᾳ, ἐτάκησαν βουνοὶ αἰώνιοι. Πορείας αἰωνίους αὐτοῦ ἀντὶ κόπων, εἶδον, Σκηνώματα Αἰθιόπων πτοηθήσονται καὶ αἱ σκηναὶ γῆς Μαδιάμ.			ΩιΔΗ ΤΕΤΑΡΤΗ. Ἀββακούμ. (Γ΄. 1-19). (Ἀρχή). Δόξα στή δύναμή σου, Κύριε. Κύριε, ἄκουσα, ὅσα μέ ἔκανες νά ἀκούσω, καί φοβήθηκα. Κύριε, μελέτησα καί καταόησα τά ἔργα σου, καί αἰσθάνθηκα μεγάλη ἔκπληξη. Ἀνάμεσα σέ δύο ζωντανά πλάσματα θά γίνεις γνωστός στούς ἀνθρώπους. Ὅταν πλησιάζουν τά ἔτη, πού θά ἀποκαλυφθεῖ ἡ ἀγαθότητά σου, θά γίνεις γνωστός ἀκόμη καλλίτερα. Ὅταν ἔλθει ὁ ὁρισμένος καιρός, θά ἀναδειχθεῖ ἡ δύναμή σου. Ὅταν ταραχθεῖ ἡ ψυχή μου ἀπό τή δίκαιη ὀργή σου, θυμήσου τό ἔλεός σου. Ὁ Θεός θά ἔλθει μεγαλόπρεπα ἀπό τή Θαιμάν, καί ὁ Ἅγιος ἀπό ὄρος σκιερό καί δασωμένο. Ἐκάλυψε τούς οὐρανούς ἡ ἁγιότητά του, κι ἐγέμισε ἡ γῆ ἀπό τόν ὕμνο του. Καί ἡ ἀνταύγειά του εἶναι ὅπως τό φῶς. Οἱ ἀκτῖνες αὐτοῦ τοῦ φωτός θά εἶναι στά χέρια του ὡς ἰσχυρά κέρατα.· Καί ἔχει συνδυάσει τή μεγάλη ἀγάπη του μέ τή δύναμή του. Μπροστά ἀπό τό πρόσωπό του προπορεύεται ὁ λόγος του ὁ καθογητικός καί διαφωτιστικός, καί ἀκολουθεῖ ὁ ἴδιος κατόπι του, γιά νά τιμωρήσει. Στάθηκε ὁ Κύριος καί σαλεύθηκε ἡ γῆ, ἔρριξε μιά ματιά καί ἔλιωσαν τά ἔθνη. Θρυμματίσθηκαν τά ὄρη βίαια, ἔλιωσαν τά αἰώνια βουνά. Εἶδα τίς αἰώνιες πορεῖες του (τίς βουλές καί ἐνέργειές του) μέσα στίς συμφορές καί τίς θλίψεις. Θά κατατρομάξουν οἱ σκηνές τῶν Αἰθιόπων, καί οἱ σκηνές ἐπίσης τῆς γῆς Μα-

Μὴ ἐν ποταμοῖς ὠργίσθης, Κύριε; μὴ ἐν ποταμοῖς ὁ θυμὸς σου; ἢ ἐν θαλάσσῃ τὸ ὅρμημά σου; ὅτι ἐπιβήσῃ ἐπὶ τοὺς ἵππους σου, καὶ ἡ ἱππασία σου σωτηρία.			διάμ. Μήπως ὀργίσθηκες κατά τῶν ἄψυχων ποταμῶν, Κύριε; Μήπως ὁ θυμός σου στρέφεται ἀναντίον τῶν ποταμῶν μόνο; ἤ ἡ ὁρμή σου ἐναντίον τῆς Ἐρυθρᾶς θάλασσας; διότι μέ τή μεγαλόπρεπη αὐτή θεϊκή ἐμφάνισή σου ἀνέβηκες στό συμβολικό ἅρμα σου, καί ἡ ἱππασία σου αὐτή ἦταν σωτήρια γιά τό λαό σου.
Ἐντείνων ἐντενεῖς τὸ τόξον σου ἐπὶ σκῆπτρα, λέγει Κύριος, ποταμῶν ῥαγήσεται γῆ.			Θά τεντώσεις μέ δύναμη τό τόξο σου ἐναντίον βασιλικῶν σκήπτρων, λέγει ὁ Κύριος, ἡ γῆ θά ραγίσει καί θά ἀναβλύσουν ποταμοί.
Ὄψονταί σε καὶ ὠδινήσουσι λαοί, σκορπίζων ὕδατα πορείας, ἔδωκεν ἡ ἄβυσσος φωνὴν αὐτῆς, ὕψος φαντασίας αὐτῆς.			Θά σέ δοῦν οἱ λαοί καί θά κυριευθοῦν ἀπό πόνους ὅπως τῆς γέννας, θά σκορπίζεις τά νερά ἀπό τίς κοῖτες τους· ἔβγαλε ἡ ἀπύθμενη θάλασσα τήν κραυγή της μέ τόν παφλασμό τῶν νερῶν της, τά κύματά της ὑψώθηκαν σέ ἀφάνταστο ὕψος ἐνώπιόν σου.
Ἐπήρθη ὁ ἥλιος, καὶ ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς, εἰς φῶς βολίδες σου πορεύσονται, εἰς φέγγος ἀστραπῆς ὅπλων σου.			Ὑψώθηκε ὁ ἥλιος, καί ἡ σελήνη στάθηκε ἀκίνητη στή θέση της, (ὅταν διατάχθηκαν ἀπό τόν Ἰησοῦ τοῦ Ναυῆ). Τά βέλη σου ὁλοφάνερα ὅπως τό φῶς κατευθύνονται κατά τῶν ἐχθρῶν σου· Τά ὅπλα σου ἀστράφτουν ὅπως τό φῶς.
Ἐν ἀπειλῇ ὀλιγώσεις γῆν, καὶ ἐν θυμῷ πατάξεις ἔθνη.			Μέ τήν ἀπειλητική τιμωρία σου θά καταστρέψεις τή γῆ τῶν Χαλδαίων (τῶν Βαβυλωνίων), καί μέ τό θυμό σου θά ταπεινώσεις πολλούς λαούς.
Ἐξῆλθες εἰς σωτηρίαν λαοῦ σου, τοῦ σῶσαι τὸν χριστόν σου ἐλήλυθας, ἔβαλες εἰς κεφαλὰς ἀνόμων θάνατον, ἐξήγειρας δεσμοὺς ἕως τραχήλου εἰς τέλος. Διέκοψας ἐν ἐκστάσει κεφαλὰς δυναστῶν, σεισθήσονται ἐν αὐτοῖς, διανοίξουσι χαλινοὺς αὐτῶν, ὡς ὁ ἐσθίων πτωχὸς λάθρᾳ.			Θά βγεῖς γιά νά σώσεις τό λαό σου, βγῆκες γιά νά σώσεις τόν ἐκλεκτό σου λαό, ἔβαλες θάνατο στά κεφάλια τῶν ἀνόμων ἀρχόντων, ἀνέβασες καί ἐπέβαλες ἄλυτα δεσμά μέχρι τό λαιμό τους. Ἔκοψες, πρός κατάπληξη ὅλων κεφάλια ἰσχυρῶν τῆς γῆς. Θά συγκλονισθοῦν καί θά πανικοβληθοῦν ὅλοι οἱ κάτοικοί της (τῆς γῆς). Θά ἀνοίξουν λίγο δειλά τό στόμα τους,

Καὶ ἐπεβίβασας εἰς θάλασσαν τοὺς ἵππους σου, ταράσσοντας ὕδατα πολλά. Ἐφυλαξάμην, καὶ ἐπτοήθη ἡ καρδία μου, ἀπὸ φωνῆς προσευχῆς χειλέων μου, καὶ εἰσῆλθε τρόμος εἰς τὰ ὀστᾶ μου, καὶ ἐν ἐμοὶ ἐταράχθη ἡ ἰσχύς μου. Ἀναπαύσομαι ἐν ἡμέρᾳ θλίψεώς μου, τοῦ ἀναβῆναί με εἰς λαὸν παροικίας μου. Διότι συκῆ οὐ καρποφορήσει, καὶ οὐκ ἔσται γεννήματα ἐν ταῖς ἀμπέλοις. Ψεύσεται ἔργον ἐλαίας, καὶ τὰ πεδία οὐ ποιήσει βρῶσιν. Ἐξέλιπον ἀπὸ βρώσεως πρόβατα, καὶ οὐχ ὑπάρξουσι βόες ἐπὶ φάτναις. Ἐγὼ δὲ ἐν τῷ Κυρίῳ ἀγαλλιάσομαι, χαρήσομαι ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου. (Τέλος). Κύριος ὁ Θεός μου δύναμίς μου, καὶ τάξει τοὺς πόδας μου εἰς συντέλειαν. Καὶ ἐπὶ τὰ ὑψηλὰ ἐπιβιβᾷ με, τοῦ νικῆσαί με ἐν τῇ ᾠδῇ αὐτοῦ. Δόξα... Καὶ νῦν... ΩιΔΗ ΠΕΜΠΤΗ. Ἡσαΐα. (ΚΣΤ'. 920). (Ἀρχὴ). Κύριε, ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν. Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σέ, ὁ			ὡς νά ἔχουν χαλινάρι, ὅπως ὁ φτωχός πού τρώγει κρυφά. Καί ὁδήγησες στή θάλασσα τά ἄλογά σου, πού ἀναταράζουν τά πολλά νερά της. Πρόσεξα καί ἄκουσα τίς θλίψεις τοῦ λαοῦ μου καί ταράχθηκε ἡ καρδιά μου, ἐνῷ τά χείλη μου προσεύχονταν, καί μπῆκε τρόμος στό ἐσωτερικό μου καί ἀνασταντώθηκε ὅλη ἡ ὕπαρξή μου. Ἀλλά θά ἀναπαυθῶ κατά τήν ἡμέρα τῆς θλίψεώς μου, ὅταν θά ἀνεβῶ στόν λαό μου, πού θά κατοικεῖ στόν τόπο του. Διότι οἱ συκιές δέν θά καρποφοροῦν, καί τά ἀμπέλια δέν θά παράγουν σταφύλια. Τά ἐλαιόδενδρα θά διαψεύσουν τίς προσδοκίες γιά συγκομιδή καρποῦ, καί οἱ πεδιάδες δέν θά παράγουν καρπούς γιά τή διατροφή τῶν ἀνθρώπων· Τά πρόβατα θά πεθαίνουν ἀπό ἔλλειψη τροφῆς, καί δέν θά ὑπάρχουν βόδια στίς φάτνες (στά παχνιά τους). Ἐγώ ὅμως θά ἀγάλλομαι ἐλπίζοντας στόν Κύριο, θά γεμίσει χαρά ἡ καρδιά μου γιά τόν Θεό τό Σωτήρα μου. (Τέλος). Ὁ Κύριος ὁ Θεός μου εἶναι δύναμή μου, καί θά στερεώσει γιά πάντα τά βήματα τῶν ποδιῶν μου. Καί θά μέ ἀνεβάσει ψηλά, γιά νά νικήσω τά πάντα μέ τή δοξολογία του. Δόξα... Καί νῦν... Ὠι ΔΗ ΠΕΜΠΤΗ. Ἡσαΐας. (ΚΣΤ'. 920). (Ἀρχή). Κύριε Θεέ μας, δός μας εἰρήνη. Ἀπό τά χαράματα ἀγρυπνεῖ τό πνεῦμα μου γιά σένα,

Θεός, διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς. Δικαιοσύνην μάθετε, οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς. Πέπαυται γὰρ ὁ ἀσεβής, πᾶς ὃς οὐ μὴ μάθῃ δικαιοσύνην ἐπὶ τῆς γῆς, ἀλήθειαν οὐ μὴ ποιήσῃ· Ἀρθήτω ὁ ἀσεβής, ἵνα μὴ ἴδῃ τὴν δόξαν Κυρίου. Κύριε, ὑψηλός σου ὁ βραχίων, καὶ οὐκ ᾔδεισαν, γνόντες δέ, αἰσχυνθήτωσαν. Ζῆλος λήψεται λαὸν ἀπαίδευτον, καὶ νῦν πῦρ τοὺς ὑπεναντίους ἔδεται. Κύριε, ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν· πάντα γὰρ ἀπέδωκας ἡμῖν. Κύριε, ὁ Θεὸς ἡμῶν, κτῆσαι ἡμᾶς, Κύριε,ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομα σου ὀνομάζομεν. Οἱ δὲ νεκροὶ ζωὴν οὐ μὴ ἴδωσιν, οὐδὲ ἰατροὶ οὐ μὴ ἀναστήσουσι, διὰ τοῦτο ἐπήγαγες καὶ ἀπώλεσας, καὶ ἦρας πᾶν ἄρσεν αὐτῶν. Πρόσθες αὐτοῖς κακά, Κύριε, πρόσθες αὐτοῖς κακὰ τοῖς ἐνδόξοις τῆς γῆς. Κύριε, ἐν θλίψει ἐμνήσθημέν σου· ἐν θλίψει μικρᾷ ἡ παιδεία σου ἡμῖν. Καὶ ὡς ἡ ὠδίνουσα ἐγγίζει τοῦ τεκεῖν, καὶ ἐπὶ τῇ ὠδῖνι αὐτῆς ἐκέκραγεν, οὕτως ἐγενήθημεν τῷ ἀγαπητῷ σου.			Θεέ μου, διότι τά προστάγματά σου εἶναι φῶς ἐπάνω στή γῆ. Μάθετε τή δικαιοσύνη τοῦ Θεοῦ, ἐσεῖς πού κατοικεῖτε ἐπάνω στή γῆ. Θά πάψει πλέον νά ὑπάρχει ὁ ἀσεβής· καθένας πού δέν θά μάθει νά ἐφαρμόζει τή δικαιοσύνη ἐπάνω στή γῆ, δέν θά ἐφαρμόσει καί τήν ἀλήθεια· Ἄς φύγει ἀπό τή μέση ὁ ἀσεβής, γιά νά μή δεῖ τή δόξα τοῦ Κυρίου. Κύριε, τό χέρι σου τό παντοδύναμο εἶναι πάντοτε ὑψωμένο γιά τιμωρία τῶν ἀσεβῶν, καί ἐκεῖνοι δέν τό ἔχουν καταλάβει, ὅταν ὅμως θά τό γνωρίσουν μέ τήν τιμωρία τους, θά καταντροπιασθοῦν. Θά δείξει ζῆλο τότε ὁ ἀπαιδαγώγητος λαός, καί φωτιά θά καταφάγει τούς ἐχθρούς σου, Κύριε. Κύριε Θεέ μας, δός μας εἰρήνη, διότι ὅλα τά ἄλλα μᾶς τά ἔδωσες. Κύριε Θεέ μας, κάνε μας ἰδιοκτησία σου μόνιμη, Κύριε, διότι ἐκτός ἀπό σένα ἄλλον δέν γνωρίζουμε, τό ὄνομά σου ἐπικαλούμεθα. Οἱ ἀσεβεῖς ὅμως (οἱ πνευματικά νεκροί) δέν θά δοῦν ζωή, οὔτε οἱ γιατροί θά μπορέσουν, νά τούς ἀναστήσουν. Γι' αὐτό ἔφερες συμφορές ἀναντίον τους καί τούς ἐξολόθρευσες, καί ἐξαφάνισες κάθε ἀρσενικό ἀπόγονό τους. Πρόσθεσε κακά, Κύριε, πρόσθεσε καί ἄλλα κακά στούς ἐνδόξους καί ἀσεβεῖς τῆς γῆς. Κύριε, στή θλίψη σέ θυμηθήκαμε. Μέ μικρή θλίψη μᾶς παιδαγώγησες. Καί ὅπως ἡ ἐπίτοκος πλησιάζει νά γεννήσει, καί κατά τήν ὥρα τῶν πόνων τοῦ τοκετοῦ κραυγάζει, ἔτσι ἐγίναμε κι ἐμεῖς μέ τήν ἀναμονή τοῦ ἀγαπητοῦ σου (τοῦ Μεσσία).

Διὰ τὸν φόβον σου, Κύριε, ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν πνεῦμα σωτηρίας, ὃ ἐποιήσαμεν ἐπὶ τῆς γῆς. Οὐ πεσούμεθα, ἀλλὰ πεσοῦνται οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς. (Τέλος). Ἀναστήσονται οἱ νεκροί, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις, καὶ εὐφρανθήσονται οἱ ἐν τῇ γῇ. Ἡ γάρ δρόσος ἡ παρὰ σοῦ ἴαμα αὐτοῖς ἐστιν, ἡ δὲ γῆ τῶν ἀσεβῶν πεσεῖται. Βάδιζε λαός μου, εἴσελθε εἰς τὸ ταμιεῖόν σου, ἀπόκλεισον τὴν θύραν σου, ἀποκρύβηθι μικρὸν ὅσον ὅσον, ἕως ἂν παρέλθῃ ἡ ὀργὴ Κυρίου. Δόξα... Καὶ νῦν... ΩιΔΗ ΕΚΤΗ. ΙΩΝΑ'. (Β'. 210). (Ἀρχὴ). Ὡς τὸν προφήτην Ἰωνᾶν, σῶσον ἡμᾶς, Κύριε. Ἐβόησα ἐν θλίψει μου πρὸς Κύριον τὸν Θεόν μου, καὶ εἰσήκουσέ μου, ἐκ κοιλίας ᾅδου κραυγῆς μου ἤκουσας φωνῆς μου. Ἀπέρριψάς με εἰς βάθη καρδίας θαλάσσης, καὶ ποταμοὶ ἐκύκλωσάν με. Πάντες οἱ μετεωρισμοί σου καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον. Κἀγὼ εἶπον· Ἀπῶσμαι ἐξ ὀφθαλμῶν σου, ἄρα			Γιά τόν ἱερό φόβο σου, Κύριε, κι ἐμεῖς ἔχουμε συλλάβει πνευματικά στήν κοιλιά μας καί ὑποφέραμε τούς πόνους τῆς γέννας καί γεννήσαμε πνεῦμα σωτηρίας, τό ὁποῖο φέραμε ἐπάνω στή γῆ. Δέ θά πέσουμε σέ συντρίμμια ἐμεῖς, ἀλλά θά πέσουν οἱ ἀσεβεῖς πού κατοικοῦν ἐπάνω στή γῆ. (Τέλος). Θά ἀναστηθοῦν οἱ εὐσεβεῖς νεκροί, καί θά σηκωθοῦν αὐτοί πού βρίσκονται στά μνήματα, καί θά εὐφρανθοῦν ὅσοι βρίσκονται στή γῆ· Ἐξ ἄλλου ἡ δροσιά πού προέρχεται ἀπό σένα θά εἶναι θεραπεία γι' αὐτούς, ἡ χώρα ὅμως τῶν ἀσεβῶν θά πέσει, (θά καταστραφεῖ). Βάδιζε λοιπόν, λαέ μου, ἔμπα μέσα στά πιό ἐσωτερικά δωμάτια τοῦ σπιτιοῦ σου, κλεῖσε τή θύρα σου καί κρύψου γιά λίγο, ἕως ὅτου περάσει ἡ ὀργή τοῦ Κυρίου. Δόξα... Καί νῦν... ΩιΔΗ ΕΚΤΗ. ΙΩΝΑ'. (Β'. 210). (Ἀρχή). Ὅπως τόν Προφήτη Ἰωνᾶ, σῶσε μας, Κύριε. Φώναξα δυνατά κατά τήν ὥρα τῆς θλίψεώς μου πρός τόν Κύριο καί ἄκουσε τήν προσευχή μου. Ἀπό τήν κοιλιά τοῦ ᾅδη, ὅπου βρισκόμουν, ἄκουσες τήν κραυγή τῆς φωνῆς μου. Ἐσύ μέ ἔρριξες στά βάθη τῆς καρδιᾶς τῆς θάλασσας, καί ἀπό παντοῦ μέ περικύκλωσαν ρεύματα. Ὅλα τά πανύψηλα κύματα πέρασαν ἀπό πάνω μου. Καί κάποια στιγμή εἶπα· Ἀπορρίφθηκα ἀπό τά μάτια

προσθήσω τοῦ ἐπιβλέψαι με πρὸς ναὸν τὸν ἅγιόν σου; Περιεχύθη μοι ὕδωρ ἕως ψυχῆς μου, ἄβυσσος ἐκύκλωσέ με ἐσχάτη· ἔδυ ἡ κεφαλή μου εἰς σχισμὰς ὀρέων· κατέβην εἰς γῆν, ἧς οἱ μοχλοὶ αὐτῆς κάτοχοι αἰώνιοι. Καὶ ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου, πρὸς σέ, Κύριε, ὁ Θεός μου. Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὴν ψυχήν μου, τοῦ Κυρίου ἐμνήσθην, καὶ ἔλθοι πρὸς σὲ ἡ προσευχή μου πρὸς ναὸν τὸν ἅγιόν σου. (Τέλος). Φυλασσόμενοι μάταια καὶ ψευδῆ, ἔλεον αὐτοῖς ἐγκατέλιπον. Ἐγὼ δὲ μετὰ φωνῆς αἰνέσεως καὶ ἐξομολογήσεως θύσω σοι, ὅσα ηὐξάμην ἀποδώσω σοι εἰς σωτηρίαν μου τῷ Κυρίῳ. Δόξα... Καὶ νῦν... ΩιΔΗ ΕΒΔΟΜΗ. Προσευχή τῶν Τριῶν παίδων. Δαν. (Γ΄. 233). (Ἀρχὴ): Τῶν Πατέρων καὶ ἡμῶν Θεὸς, εὐλογητὸς εἶ. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν, καὶ			σου. Ἄραγε θά μπορέσω νά ξαναδῶ τόν ἅγιο ναό σου; Περιχύθηκαν νερά γύρω μου μέχρι τήν ψυχή μου. Μέ περικύκλωσε ἡ βαθύτατη ἄβυσσος. Ἡ κεφαλή μου βυθίσθηκε σέ σχισμές ὑποθαλάσσιων βουνῶν. Κατέβηκα στά βαθύτατα μέρη τῆς γῆς, τῆς ὁποίας οἱ ἀμπάρες κρατοῦν αἰώνια, τούς φυλακισμένους (αὐτούς πού μπαίνουν ἐκεῖ). Ἀλλά ἄς ἀπαλλαγεῖ ἀπό τή φθορά ἡ ζωή μου, καί ἄς ἔλθω κοντά σου, Κύριε καί Θεέ μου. Τώρα πού φεύγει ἀπό μένα ἡ ψυχή μου, καί σβήνει ἡ ζωή μου, θυμήθηκα τόν Κύριο. Μακάρι νά φθάσει ἡ προσευχή μου σ' ἐσένα, στόν ἅγιο ναό σου. (Τέλος). Ὅσοι τιμοῦν καί προσκυνοῦν τά μάταια καί ψεύτικα, τά εἴδωλα, ἐγκαταλείπουν καί χάνουν τό ἔλεος τοῦ Κυρίου, πού προοριζόταν γι' αὐτούς. Ἐγώ ὅμως μέ φωνή ὕμνων καί δοξολογίας θά προσφέρω ὕμνο σ' ἐσένα. Ὅσα ἔταξα, θά τά προσφέρω σ' ἐσένα τόν Κύριο, γιά νά σωθῶ. Δόξα... Καί νῦν... ΩιΔΗ ΕΒΔΟΜΗ. Προσευχή τῶν Τριῶν παίδων. Δανιήλ. (Γ΄. 233). (Ἀρχή). Θεέ τῶν πατέρων μας καί δικός μας εἶσαι ἄξιος δοξολογίας. Εἶσαι ἄξιος δοξολογίας, Κύριε, Θεέ τῶν πατέρων μας, καί ἄξιος ὕμνων, καί εἶναι δοξασμένο τό ὄνομά σου στούς αἰῶνες. Διότι εἶσαι δίκαιος σέ ὅλα ὅσα μᾶς ἔκανες, καί ὅλα τά

πάντα τὰ ἔργα σου ἀληθινά, καὶ εὐθεῖαι αἱ ὁδοί σου, καὶ πᾶσαι αἱ κρίσεις σου ἀληθεῖς. Καὶ κρίματα ἀληθείας ἐποίησας κατὰ πάντα, ἃ ἐπήγαγες ἡμῖν καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν τὴν τῶν Πατέρων ἡμῶν Ἰερουσαλήμ, ὅτι ἐν ἀληθείᾳ καὶ κρίσει ἐπήγαγες ταῦτα πάντα ἐφ' ἡμᾶς, διὰ τὰς ἁμαρτίας ἡμῶν. Ὅτι ἡμάρτομεν καὶ ἠνομήσαμεν ἀποστῆναι ἀπὸ σοῦ, καὶ ἐξημάρτομεν ἐν πᾶσι, καὶ τῶν ἐντολῶν σου οὐκ ἠκούσαμεν, οὐδὲ συνετηρήσαμεν, οὐδὲ ἐποιήσαμεν, καθὼς ἐνετείλω ἡμῖν, ἵνα εὖ ἡμῖν γένηται. Καὶ πάντα ὅσα ἐποίησας ἡμῖν, καὶ πάντα ὅσα ἐπήγαγες ἡμῖν, ἐν ἀληθινῇ κρίσει ἐποίησας· Καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐχθρῶν ἀνόμων, ἐχθίστων ἀποστατῶν, καὶ βασιλεῖ ἀδίκῳ καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν. Καὶ νῦν οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα ἡμῶν, αἰσχύνη καὶ ὄνειδος ἐγενήθημεν τοῖς δούλοις σου καὶ τοῖς σεβομένοις σε. Μὴ δὴ παραδῴης ἡμᾶς εἰς τέλος, διὰ τὸ ὄνομά σου τὸ ἅγιον, καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου, καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν, διὰ Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ, καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου, καὶ Ἰσραὴλ τὸν ἅγιόν σου. Οἷς ἐλάλησας πληθῦναι τὸ σπέρμα αὐτῶν, ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ, καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης. Ὅτι, Δέσποτα, ἐσμικρύνθημεν παρὰ πάντα τὰ			ἔργα σου εἶναι ἀληθινά καί εὐθεῖς οἱ δρόμοι πού μᾶς ὑπέδειξες, καί ὅλες οἱ ἀποφάσεις σου ὀρθές. Ἔβγαλες δίκαιες ἀποφάσεις γιά ὅσα ἔκανες σ' ἐμᾶς καί στήν πόλη τήν ἁγία τῶν πατέρων μας, τήν Ἱερουσαλήμ, διότι μέ ἀκρίβεια καί μέ δίκαιη κρίση μᾶς ἔφερες ὅλα αὐτά, γιά τίς ἁμαρτίες μας. Διότι ἁμαρτήσαμε καί παρανομήσαμε, καί ἀπομακρυνθήκαμε ἀπό σένα, καί ἁμαρτήσαμε σέ ὅλα, καί δέν ἀκούσαμε τίς ἐντολές σου, οὔτε τίς ἐτηρήσαμε, οὔτε ἐπράξαμε, ὅπως μᾶς διέταξες, γιά νά ἔχουμε εὐτυχία καί ἀσφάλεια. Καί ὅλα ὅσα ἔφερες ἐπάνω μας, καί ὅλα ὅσα ἔκανες σ' ἐμᾶς, τά ἔκανες μέ ἀληθινή, δίκαιη, κρίση. Καί μᾶς παρέδωσες σέ χέρια ἀνόμων, πού εἶναι μισητότατοι ἀποστάτες, καί σέ χέρια βασιλιᾶ πού εἶναι ἄδικος καί πιό μοχθηρός ἀπό ὅλους τούς βασιλεῖς τῆς γῆς. Καί τώρα δέν μποροῦμε, νά ἀνοίξουμε τό στόμα μας. Καταντήσαμε ντροπή καί περίγελος στούς δούλους σου, καί σ' αὐτούς πού σέ σέβονται. Μή λοιπόν μᾶς παραδώσεις σέ τελειωτικό ὄλεθρο γιά χάρη τοῦ ὀνόματός σου, καί μήν ἀκυρώσεις τή συμφωνία πού ἔκανες μέ τούς Πατέρες μας, καί μήν ἀπομακρύνεις τό ἔλεός σου ἀπό μᾶς, γιά χάρη τοῦ Ἀβραάμ πού ἀγαποῦσες, καί τοῦ Ἰσαάκ τοῦ δούλου σου, καί τοῦ Ἰακώβ τοῦ ἁγίου σου. Πού σ' αὐτούς ὑποσχέθηκες, ὅτι θά πληθύνεις τούς ἀπογόνους τους, ὅπως τά ἄστρα τοῦ οὐρανοῦ, καί ὅπως τήν ἄμμο στήν παραλία τῆς θάλασσας. Διότι, Κύριε, γίναμε μικρότεροι οπό ὅλους τούς λαούς,

ἔθνη καὶ ἐσμεν ταπεινοὶ ἐν πάσῃ γῇ σήμερον, διὰ τὰς ἁμαρτίας ἡμῶν. Καὶ οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ἄρχων, καὶ προφήτης, καὶ ἡγούμενος, οὐδὲ ὁλοκαύτωσις, οὐδὲ θυσία, οὐδὲ προσφορά, οὐδὲ θυμίαμα, οὐ τόπος τοῦ καρπῶσαι ἐνώπιόν σου, καὶ εὑρεῖν ἔλεος. Ἀλλ' ἐν ψυχῇ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν. Ὡς ἐν ὁλοκαυτώμασι κριῶν καὶ ταύρων, καὶ ὡς ἐν μυριάσιν ἀρνῶν πιόνων, οὕτω γενέσθω ἡ θυσία ἡμῶν εὐπρόσδεκτος ἐνώπιόν σου σήμερον, καὶ ἐκτελείσθω ὄπισθέν σου· ὅτι οὐκ ἔστιν αἰσχύνη τοῖς πεποιθόσιν ἐπὶ σέ. Καὶ νῦν ἐξακολουθοῦμεν ἐν ὅλῃ καρδίᾳ, καὶ φοβούμεθά σε, καὶ ζητοῦμεν τὸ πρόσωπόν σου· Μὴ καταισχύνῃς ἡμᾶς, ἀλλὰ ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου, καὶ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου. Ἐξελοῦ ἡμᾶς κατὰ τὰ θαυμάσιά σου, καὶ δὸς δόξαν τῷ ὀνόματί σου, Κύριε. Καὶ ἐντραπείησαν πάντες οἱ ἐνδεικνύμενοι τοῖς δούλοις σου κακά· Καὶ καταισχυνθείησαν ἀπὸ πάσης δυναστείας, καὶ ἡ ἰσχὺς αὐτῶν συντριβείη. Καὶ γνώτωσαν ὅτι σὺ εἶ Κύριος, Θεὸς μόνος καὶ ἔνδοξος, ἐφ' ὅλην τὴν οἰκουμένην. Καὶ οὐ διέλιπον οἱ ἐμβαλόντες αὐτοὺς			καί εἴμαστε σήμερα σέ ὅλη τή γῆ ἀσήμαντοι ἐξ αἰτίας τῶν ἁμαρτιῶν μας. Καί δέν ὑπάρχει σ' αὐτή τήν ἐποχή βασιλιάς ἤ Προφήτης ἤ ἄλλος ἄρχοντας, οὔτε ὁλοκληρωτικές, οὔτε ἀναίμακτες θυσίες, οὔτε θυμίαμα, οὔτε ναός, ὅπου νά προσφέρουμε θυσίες, γιά νά βροῦμε ἔλεος. Ἀλλά μέ ψυχή συντετριμμένη καί μέ πνεῦμα ταπεινώσεως ἄς γίνουμε ἐμεῖς δεκτοί ὡς θυσία. Σαν ὁλοκληρωτική θυσία ἀπό κριάρια, καί ταύρους καί μυριάδες καλοθρεμμένων ἀρνιῶν, ἔτσι ἄς γίνει δεκτή ἡ θυσία μας ἀπό σένα σήμερα, καί ἀκολουθοῦμε ἀπό πίσω σου, γιατί δέν θά ντροπιασθοῦν, ὅσοι ἔχουν πεποίθηση σ' ἐσένα. Καί τώρα ἀκόμη ἀκολουθοῦμε τίς ἐντολές σου μέ ὅλη τήν καρδιά μας, καί σέ σεβόμαστε, καί ἀναζητοῦμε τό πρόσωπό σου. Μή μᾶς ντροπιάσεις, ἀλλά δεῖξε σ' ἐμᾶς τήν ἐπιείκειά σου κατά τό πλῆθος τοῦ ἐλέους σου. Καί γλύτωσέ μας σύμφωνα μέ τά θαυμάσια ἔργα, πού ἔκανες γιά χάρη τοῦ λαοῦ σου, καί δόξασε ἔτσι τό ὄνομά σου, Κύριε· Καί ἄς ντροπιασθοῦν ὅλοι ὅσοι φέρονται μέ κακία στούς δούλους σου. Ἄς ντροπιασθοῦν χάνοντας κάθε ἐξουσία ἐπάνω μας, καί ἄς συντριβεῖ ἡ δύναμή τους. Καί ἄς γνωρίσουν ὅτι Ἐσύ εἶσαι ὁ Κύριος ὁ Θεός, ὁ μόνος καί ἔνδοξος σέ ὅλη τήν οἰκουμένη. Καί δέν ἔπαυαν οἱ ὑπηρέτες τοῦ Βασιλιᾶ, πού τούς ἔρρι

ὑπηρέται τοῦ βασιλέως, καίοντες τὴν κάμινον νάφθη καὶ πίσση καὶ στυππίῳ καὶ κληματίδι. Καὶ διεχεῖτο ἡ φλὸξ ἐπάνω τῆς καμίνου ἐπὶ πήχεις τεσσαράκοντα ἐννέα, καὶ διώδευσε, καὶ ἐνεπύρισεν οὓς εὗρε περὶ τὴν κάμινον τῶν Χαλδαίων. Ὁ δὲ ἄγγελος Κυρίου συγκατέβη ἅμα τοῖς περὶ τὸν Ἀζαρίαν εἰς τὴν κάμινον, καὶ ἐξετίναξε τὴν φλόγα τοῦ πυρὸς ἐκ τῆς καμίνου. Καὶ ἐποίησε τὸ μέσον τῆς καμίνου ὡς πνεῦμα δρόσου διασυρίζον, καὶ οὐχ ἥψατο αὐτῶν καθόλου τὸ πῦρ, οὐδὲ ἐλύπησεν, οὐδὲ παρηνώχλησεν αὐτούς. Τότε οἱ Τρεῖς, ὡς ἐξ ἑνὸς στόματος, ὕμνουν καὶ εὐλόγουν καὶ ἐδόξαζον τὸν Θεὸν ἐν τῇ καμίνῳ, λέγοντες· Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας. Καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης σου τὸ ἅγιον, τὸ ὑπερύμνητον καὶ ὑπερυψούμενον εἰς τοὺς αἰῶνας. Εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς ἁγίας δόξης σου, ὁ ὑπερύμνητος, καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας. Εὐλογημένος εἶ ὁ βλέπων ἀβύσσους, ὁ καθήμενος ἐπὶ τῶν Χερουβίμ, ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.			ξαν στό καμίνι, νά τροφοδοτοῦν τό καμίνι μέ νάφθα καί πίσσα καί στουπί καί κληματόβεργες. Καί ὑψώθηκε ἡ φλόγα ἐπάνω ἀπό τό καμίνι σαράντα ἐννέα πήχεις. Καί ξεχύθηκε καί ἔκαψε τούς Χαλδαίους (τούς Βαβυλωνίους) πού βρῆκε γύρω ἀπό τό καμίνι. Καί Ἄγγελος Κυρίου κατέβηκε μαζί μέ τούς νέους πού ἦταν γύρω ἀπό τόν Ἀζαρία μέσα στό καμίνι, κι ἐτίναξε ἔξω ἀπό τό καμίνι τή φλόγα τῆς φωτιᾶς. Καί ἔκανε στό κέντρο τοῦ καμινιοῦ νά φυσᾷ ὡς ἄνεμος δροσερὸς πού σφύριζε ἐλαφρά, καί δέν τούς ἄγγιξε καθόλου ἡ φωτιά, καί δέν τούς στενοχώρησε, οὔτε τούς ἐνόχλησε. Τότε οἱ Τρεῖς τους μέ ἕνα στόμα ὑμνοῦσαν καί δόξαζαν καί εὐχαριστοῦσαν τόν Θεό μέσα στό καμίνι λέγοντας· Εἶσαι ἄξιος δοξολογίας, Θεέ τῶν πατέρων μας, καί ἄξιος νά ὑμνεῖσαι καί νά ὑπερυψώνεσαι σέ ὅλους τούς αἰῶνες. Καί δοξασμένο ἂς εἶναι τό ὄνομα τῆς δόξας σου τό ἅγιο, πού ὑμνεῖται καί ὑπερυψώνεται σέ ὅλους τούς αἰῶνες. Εἶσαι δοξασμένος μέσα στό ναό τῆς ἁγίας δόξας σου, καί ὑπερύμνητος καί ὑπερένδοξος στούς αἰῶνες. Εἶσαι δοξασμένος Ἐσύ πού ἐπιβλέπεις τά ἀπύθμενα βάθη τῶν θαλασσῶν, πού κάθεσαι ἐπάνω στά Χερουβίμ, καί εἶσαι ἄξιος νά ὑμνεῖσαι καί νά ὑπερυψώνεσαι σέ ὅλους τούς αἰῶνες.

(Τέλος). Εὐλογημένος εἶ ὁ ἐπὶ θρόνου δόξης τῆς βασιλείας σου, ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας. Εὐλογημένος εἶ ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας. Δόξα... Καὶ νῦν... ΩιΔΗ ΟΓΔΟΗ. Ὕμνος τῶν Τριῶν Παίδων. Δανιήλ. (Γ'. 34—65). (Ἀρχὴ). Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε, Ἄγγελοι Κυρίου, οὐρανοὶ Κυρίου, τὸν Κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε ὕδατα, πάντα τὰ ὑπεράνω τῶν οὐρανῶν, πᾶσαι αἱ δυνάμεις Κυρίου, τὸν Κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε, ἥλιος καὶ σελήνη, ἄστρα τοῦ οὐρανοῦ, τὸν Κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε, φῶς καὶ σκότος, νύκτες καὶ ἡμέραι, τὸν Κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε, πᾶς ὄμβρος καὶ δρόσος, πάντα τὰ πνεύματα, τὸν Κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.			(Τέλος). Εἶσαι δοξασμένος ἐπάνω στόν ἔνδοξο θρόνο τῆς Βασιλείας σου, καί ὑπερύμνητος καί ὑπερυψούμενος στούς αἰῶνες. Εἶσαι δοξασμένος ἐπάνω στό στερέωμα τοῦ οὐρανοῦ, Ἐσύ ὁ ἄξιος ὕμνων καί δοξασμένος στους αἰῶνες. Δόξα... Καί νῦν... ΩιΔΗ ΟΓΔΟΗ. Ὕμνος τῶν Τριῶν Παίδων. Δανιήλ. (Γ'. 34—65). (Ἀρχή). Ὅλα τά ἔργα ὑμνεῖτε τόν Κύριο, καί ὑπερυψώνετέ τον σέ ὅλους τούς αἰῶνες. Δοξάζετε ὅλα τά ἔργα τοῦ Κυρίου τόν Κύριο· Ὑμνεῖτε τον καί ὑπερυψώνετέ τον στούς αἰῶνες. Δοξάζετε, Ἄγγελοι Κυρίου, Οὐρανοί Κυρίου, τόν Κύριο· Ὑμνεῖτε καί ὑπερυψώνετέ τον στούς αἰῶνες. Δοξολογεῖτε, ὅλα τά νερά τά ἐπάνω ἀπό τόν οὐρανό, ὅλες οἱ Δυνάμεις τοῦ Κυρίου τόν Κύριο· Ὑμνεῖτε καί ὑπερυψώνετέ τον στούς αἰῶνες. Δοξολογεῖτε, ὁ ἥλιος καί ἡ σελήνη, τά ἄστρα τοῦ οὐρανοῦ τόν Κύριο· Ὑμνεῖτε καί ὑπερυψώνετέ τον στούς αἰῶνες. Δοξολογεῖτε, φῶς καί σκοτάδι, νύχτες καί ἡμέρες τόν Κύριο. Ὑμνεῖτε καί ὑπερυψώνετέ τον στούς αἰῶνες. Δοξολογεῖτε, ὅλες οἱ βροχές καί ἡ δροσιά, ὅλοι οἱ ἄνεμοι τόν Κύριο. Ὑμνεῖτε καί ὑπερυψώνετέ τον στούς αἰῶνες.

Εὐλογεῖτε, πῦρ καὶ καῦμα, ψῦχος καὶ καύσων, τὸν Κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.			Δοξολογεῖτε, φωτιά καί ζέστη, ψῦχος καί καύσωνας τόν Κύριο, Ὑμνεῖτε καί ὑπερυψώνετέ τον στούς αἰῶνες.
Εὐλογεῖτε, δρόσοι καὶ νιφετοί, πάγοι καὶ ψῦχος, τὸν Κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.			Δοξολογεῖτε, δροσιές καί χιόνια, πάγοι καί ψῦχος τόν Κύριο. Ὑμνεῖτε καί ὑπερυψώνετέ τον στούς αἰῶνες.
Εὐλογεῖτε, πάχναι καὶ χιόνες, ἀστραπαὶ καὶ νεφέλαι, τὸν Κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.			Δοξολογεῖτε, πάχνες καί χιόνια, ἀστραπές καί σύννεφα τόν Κύριο, Ὑμνεῖτε καί ὑπερυψώνετέ τον στούς αἰῶνες.
Εὐλογεῖτε, γῆ, ὄρη καὶ βουνοί, καὶ πάντα τὰ φυόμενα ἐν αὐτῇ, τὸν Κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.			Δοξολογεῖτε, γῆ, ὄρη καί βουνά καί ὅλα ὅσα φυτρώνουν σ' αὐτή τόν Κύριο. Ὑμνεῖτε καί ὑπερυψώνετέ τον στούς αἰῶνες.
Εὐλογεῖτε, πηγαί, θάλασσα καὶ ποταμοί, κήτη, καὶ πάντα τὰ κινούμενα ἐν τοῖς ὕδασι, τὸν Κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.			Δοξολογεῖτε, πηγές, θάλασες καί ποταμοί, κήτη (μεγάλα ψάρια), καί ὅλα ὅσα κινοῦνται στά νερά τόν Κύριο. Ὑμνεῖτε καί ὑπερυψώνετέ τον στούς αἰῶνες.
Εὐλογεῖτε, πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, τὰ θηρία καὶ πάντα τὰ κτήνη, τὸν Κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.			Δοξολογεῖτε, ὅλα τά πτηνά τοῦ οὐρανοῦ, τά θηρία καί ὅλα τά κτήνη τόν Κύριο. Ὑμνεῖτε καί ὑπερυψώνετέ τον στούς αἰῶνες.
Εὐλογεῖτε, υἱοὶ τῶν ἀνθρώπων, εὐλογείτω Ἰσραήλ, τὸν Κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.			Δοξολογεῖτε, ἄνθρωποι, ἄς δοξολογεῖ ὁ λαός τοῦ Ἰσραήλ τόν Κύριο. Ὑμνεῖτε καί ὑπερυψώνετέ τον στούς αἰῶνες.
Εὐλογεῖτε, Ἱερεῖς Κυρίου, δοῦλοι Κυρίου, τὸν Κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.			Δοξολογεῖτε, ἱερεῖς τοῦ Κυρίου, δοῦλοι τοῦ Κυρίου τόν Κύριο. Ὑμνεῖτε καί ὑπερυψώνετέ τον στούς αἰῶνες.
Εὐλογεῖτε, πνεύματα καὶ ψυχαὶ Δικαίων, ὅσιοι καὶ ταπεινοὶ τῇ καρδίᾳ, τὸν Κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.			Δοξολογεῖτε, πνεύματα καί ψυχές Δικαίων, ἁφιερωμένοι καί ταπεινοί στήν καρδιά τόν Κύριο. Ὑμνεῖτε καί ὑπερυψώνετέ τον στούς αἰῶνες.
Εὐλογεῖτε, Ἀνανία, Ἀζαρία καὶ Μισαήλ, τὸν Κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς			Δοξολογεῖτε, Ἀνανία, Ἀζαρία καί Μισαήλ τόν Κύριο· Ὑμνεῖτε καί ὑπερυψώνετέ τον στούς αἰῶνες.

αἰῶνας. Εὐλογεῖτε, Ἀπόστολοι, Προφῆται, καὶ Μάρτυρες Κυρίου, τὸν Κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογοῦμεν Πατέρα, Υἱόν, καὶ Ἅγιον Πνεῦμα, τὸν Κύριον, ὑμνοῦμεν καὶ ὑπερυψοῦμεν αὐτὸν εἰς τοὺς αἰῶνας. Αἰνοῦμεν, εὐλογοῦμεν, καὶ προσκυνοῦμεν τὸν Κύριον, ὑμνοῦντες καὶ ὑπερυψοῦντες αὐτὸν εἰς τοὺς αἰῶνας. Δόξα... Καὶ νῦν... ΩιΔΗ ΕΝΑΤΗ. Λουκᾶ. (Α΄.6815-16). (Ἀρχὴ). Ὁ Ζαχαρίας εὐλογεῖ παιδὸς τόκον. Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ. Καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν, ἐν οἴκῳ Δαυῒδ τοῦ παιδὸς αὐτοῦ. Καθὼς ἐλάλησε διὰ στόματος τῶν ἁγίων, τῶν ἀπ΄ αἰῶνος Προφητῶν αὐτοῦ. Σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν, καὶ ἐκ χειρὸς πάντων τῶν μισούντων ἡμᾶς. Ποιῆσαι ἔλεος μετὰ τῶν Πατέρων ἡμῶν, καὶ μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ. Ὅρκον, ὃν ὤμοσε πρὸς Ἀβραὰμ τόν πατέρα ἡμῶν, τοῦ δοῦναι ἡμῖν ἀφόβως, ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν ῥυσθέντας,			Δοξολογεῖτε, Ἀπόστολοι. Προφῆτες καί Μάρτυρες Κυρίου τόν Κύριο. Ὑμνεῖτε καί ὑπερυψώνετέ τον στούς αἰῶνες. Δοξολογοῦμε Πατέρα, Υἱό καί ἅγιο Πνεῦμα τόν Κύριο· ὑμνοῦμε καί τόν ὑπερυψώνουμε στούς αἰῶνες. Ὑμνοῦμε, δοξολογοῦμε καί προσκυνοῦμε τόν Κύριο. Ὑμνώντας καί ὑπερυψώνοντάς τον στούς αἰῶνες. Δόξα... Καί νῦν... ΩιΔΗ ΕΝΑΤΗ. Λουκᾶ. (Α΄.6815-16). (Ἀρχή). Ὁ Ζαχαρίας εὐλογεῖ τή γέννηση τοῦ παιδιοῦ του. Ἂς Εἶναι δοξασμένος ὁ Θεός τοῦ Ἰσραή, διότι ἐπισκέφθηκε τό λαό του καί ἔφερε τή λύτρωση σ' αὐτόν. Καί ἔκανε νά παρουσιασθεῖ στήν γενιά τοῦ Δαυῒδ τοῦ δούλου του ἰσχυρή δύναμη γιά τή σωτηρία μας. Ὅπως ὑποσχέθηκε μέ τό στόμα τῶν Ἁγίων, δηλαδή τῶν Προφητῶν του. Μᾶς ὑποσχέθηκε δηλαδή σωτηρία ἀπό τούς ἐχθρούς μας, καί ἀπό τά χέρια ὅλων πού μᾶς μισοῦν. Γιά να ἐλεήσει τούς Πατέρες μας, καί γιά νά θυμηθεῖ καί νά ἐκτελέσει τήν ἁγία διαθήκη του. Δηλαδή τήν ἔμπρακτη ὑπόσχεση, πού ὁρκίσθηκε στόν Ἀβραάμ, τόν Πατέρα μας, ὅτι θά μᾶς ἀξιώσει, ἀφοῦ ἐλευθερωθοῦμε ἀπό τά χέρια τῶν ἐχθρῶν μας, χωρίς φόβο πλέον·

Λατρεύειν αὐτῷ ἐν ὁσιότητι καὶ δικαιοσύνη ἐνώπιον αὐτοῦ, πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν. Καὶ σύ, Παιδίον, Προφήτης Ὑψίστου κληθήσῃ· προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ. Τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ, ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν, διὰ σπλάγχνα ἐλέους Θεοῦ ἡμῶν. Ἐν οἷς ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψους, ἐπιφᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις. Τοῦ κατευθῦναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης. Δόξα... Καὶ νῦν... ΦΩΤΑΓΩΓΙΚΑ. ΗΧΟΣ Α'. Ὁ τὸ φῶς ἀνατέλλων Κύριε, τὴνψυχήν μου καθάρισον ἀπὸ πάσης ἁμαρτία … καὶ σῶσόν με. ΗΧΟΣ Β'. Τὸ φῶς σου τὸ ἀΐδιον, ἐξαπόστειλον Κύριε, καὶ φώτισον τὰ ὄμματα τὰ κρυπτὰ τῆς καρδίας μου ..… καὶ σῶσόν με. ΗΧΟΣ Γ'. Ἐξαπόστειλον τὸ φῶς σου, Χριστὲ ὁ Θεός, καὶ φώτισον τὴν καρδίαν μου, … καὶ σῶσόν με. ΗΧΟΣ Δ'. Ὁ τὸ φῶς ἀνατέλλων τῷ κόσμῳ σου, τὴν ἐν σκότει ψυχήν μου ὑπάρχουσαν, ἀπὸ πάσης			Νά τόν λατρεύουμε μέ ἀφοσίωση, καί μέ ἐνάρετη ζωή μπροστά του, ὅλες τίς ἡμέρες τῆς ζωῆς μας. Καί ἐσύ, παιδί μου, θά ἀναδειχθεῖς Προφήτης τοῦ Ὑψίστου· Διότι θά προπορευθεῖς μπροστά ἀπό τό πρόσωπο τοῦ Κυρίου, γιά νά ἑτοιμάσεις τούς δρόμους του. Γιά νά κάνεις γνωστή τή σωτηρία στόν λαό του, ὅτι δηλαδή θά προέλθει συγχώρηση ἁμαρτιῶν ἀπό τήν εὐσπλαχνία τοῦ ἐλέους τοῦ Θεοῦ μας. Καί ἐξ αἰτίας αὐτῆς τῆς εὐσπλαχνίας μᾶς ἐπισκέφθηκε ὡς ἀνατολή ἀπό τόν οὐρανό, γιά νά φωτίσει αὐτούς πού κάθονται στό σκοτάδι καί στή σκιά τοῦ θανάτου· Γιά νά κατευθύνει τά πόδια μας στό δρόμο τῆς εἰρήνης. Δόξα... Καὶ νῦν... ΦΩΤΑΓΩΓΙΚΑ. ΗΧΟΣ Α΄. Ἐσύ, Χριστέ, πού ἀνατέλλεις τό φῶς, καθάρισε τήν ψυχή μου ἀπό κάθε ἁμαρτία,..... καί σῶσε με. ΗΧΟΣ Β΄. Τό φῶς σου τό αἰώνιο στεῖλε, Χριστέ Θεέ μας, καί φώτισε τά μάτια τῆς καρδιᾶς μου, πού εἶναι κρυμμένα μέσα της, … .....καί σῶσε με. ΗΧΟΣ Γ΄. Ἐξαπόστειλε τό φῶς σου, Χριστέ Θεέ μας, καί φώτισε τήν καρδιά μου,.....καί σῶσε με. ΗΧΟΣ Δ΄. Ἐσύ πού ἀνατέλλεις τό φῶς στόν κόσμο σου, τήν ψυχή μου, πού βρίσκεται στό σκοτάδι, καθάρισέ την ἀπό κάθε

ἁμαρτίας καθάρισον, … καί σῶσόν με. ΗΧΟΣ ΠΛ. Α'. Φωτοδότα Κύριε, ἐξαπόστειλον τὸ φῶς σου, καὶ φώτισον τὴν καρδίαν μου.…καὶ σῶσόν με. ΗΧΟΣ ΠΛ. Β'. .....Κύριε, κατάπεμψον ταῖς ψυχαῖς ἡμῶν, τὸ φῶς σου τὸ ἀΐδιον. ΗΧΟΣ ΒΑΡΥΣ Διέγειρόν με, Κύριε, πρός τήν σήν ὑμνῳδίαν, καί δίδαξόν με τοῦ ποιεῖν τό θέλημά στο, Ἅγιε,.... καί σῶσόν με. ΗΧΟΣ ΠΛ. Δ' Φῶς ὑπάρχων Χριστέ, φώτισόν με ἐν σοί … καὶ σῶσόν με. ΑΚΟΛΟΥΘΙΑ ΤΩΝ ΩΡΩΝ ΩΡΑ Α'. Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι. Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν ὁ θησαυρός τῶν ἀγαθῶν καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος καὶ σῶσον ἀγαθέ, τὰς ψυχὰς ἡμῶν. Τρισάγιον. Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος ἐλέησον ἡμᾶς (γ'.). Δόξα... Καὶ νῦν...			ἁμαρτία,.....καί σῶσε με. ΗΧΟΣ ΠΛ. Α'. Φωτοδότα Κύριε, ἐξαπόστειλε τό φῶς σου καί φώτισε τήν καρδιά μου, ... καί σῶσε με. ΗΧΟΣ ΠΛ. Β . Μέ ....., Κύριε,.....στεῖλε στίς ψυχές μας τό φῶς σου τό αἰώνιο. ΗΧΟΣ ΒΑΡΥΣ Κάνε με νά σηκωθῶ, Κύριε, γιά τή δική σου ὑμνῳδία, καί δίδαξέ με, νά κάνω τό θέλημά σου, Ἅγιε, ... καί σῶσε με. ΗΧΟΣ ΠΛ. Δ'. Ἐπειδή, Χριστέ, εἶσαι φῶς, φώτισέ με μέ τήν παρουσία σου ……. καί σῶσε με. ΑΚΟΛΟΥΘΙΑ ΤΩΝ ΩΡΩΝ ΩΡΑ Α'. Εἶναι ἄξιος δοξολογίας ὁ Θεός μας πάντοτε· Καί τώρα καί πάντα καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν. Δόξα σ' ἐσένα, Θεέ μας, δόξα σ' ἐσένα. Βασιλιά Οὐράνιε, Παρηγορητή, τό Πνεῦμα τῆς ἀλήθειας, ὁ ὁποῖος εἶσαι παντοῦ παρών, καί γεμίζεις τά πάντα, ὁ θησαυρός τῶν ἀγαθῶν, καί χορηγός τῆς ζωῆς, ἔλα καί κατοίκησε μέσα μας, καί καθάρισέ μας ἀπό κάθε κηλίδα, καί σῶσε, Ἀγαθέ, τίς ψυχές μας. Τρισάγιο. Εἶσαι Ἅγιος ὁ Θεός Πατέρας, Ἅγιος δυνατός ὁ Υἱός, Ἅγιος ἀθάνατος τό Ἅγιο Πνεῦμα. Ἐλέησέ μας. (Τρίς). Δόξα… Καί νῦν…

Παναγία Τριάς,ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου. Κύριε ἐλέησον (γ'.). Δόξα…Καὶ νῦν. Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπί τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καί ἡ δύναμις καί ἡ δόξα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος,νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Κύριε ἐλέησον(ιβ'.). Δόξα.. Καί νῦν.. (Κατά τή Μεγάλην Τεσσαρακοστήν τά ὡς ἄνω παραλείπονται). Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ Βασιλεῖ ἡμῶν Θεῷ. Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ τῷ Βασιλεῖ ἡμῶν Θεῷ. Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ, Χριστῷ τῷ Βασιλεῖ καὶ Θεῷ ἡμῶν. Ψαλμὸς Ε'.(5).			Παναγία Τριάδα, ἐλέησέ μας. Κύριε, δεῖξε ἔλεος στίς ἁμαρτίες μας. Δέσποτα, συγχώρησε τίς ἀνομίες μας. Ἅγιε, ἔλα καί θεράπευσε τίς ἀσθένειές μας, γιά χάρη τοῦ ὀνόματός σου. Κύριε, ἐλέησον. (Τρίς). Δόξα… Καί νῦν… Πατέρα μας, πού κατοικεῖς στούς οὐρανούς, ἄς εἶναι ἁγιασμένο τό ὄνομά σου. Ἄς ἔλθει ἡ Βασιλεία σου. Ἄς γίνει τό θέλημά σου, ὅπως στόν οὐρανό ἀπό τούς Ἀγγέλους, ἔτσι καί στή γῆ ἀπό τούς ἀνθρώπους. Τήν τροφή μας τήν ἀπαραίτητη γιά τή ζωή δῶσε μας σήμερα. Καί συγχώρησε σ' ἐμᾶς τά ἁμαρτήματά μας, ὅπως κι ἐμεῖς συγχωροῦμε αὐτούς πού ἁμάρτησαν σ' ἐμᾶς. Καί μήν ἐπιτρέψεις, νά πέσουμε σέ πειρασμό, ἀλλά ἀπάλλαξέ μας ἀπό τόν πονηρό. Διότι δική σου εἶναι ἡ Βασιλεία καί ἡ δύναμη καί ἡ δόξα, τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν. Κύριε ἐλέησον(ιβ'.). Δόξα.. Καί νῦν… (Κατά τή Μεγάλη Σαρακοστή παραλείπονται τά παραπάνω). Ἐλᾶτε, νά προσκυνήσουμε και να προσπέσουμε στό Βασιλιά μας καί Θεό. Ἐλᾶτε, νά προσκυνήσουμε, καί νά προσπέσουμε στό Χριστό, τό Βασιλιά μας καί Θεό. Ἐλᾶτε νά προσκυνήσουμε, καί νά προσπέσουμε, σ' αὐτόν, στόν Χριστό τόν Βασιλιά καί Θεό μας. ΨΑΛΜΟΣ Ε'. (5).

Τὰ ῥήματά μου ἐνώτισαι, Κύριε, σύνες τῆς κραυγῆς μου· Πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου ὁ Βασιλεύς μου καὶ ὁ Θεός μου. Ὅτι πρός σέ προσεύξομαι, Κύριε. Τὸ πρωΐ εἰσακούσῃ τῆς φωνῆς μου, τὸ πρωΐ παραστήσομαί σοι καὶ ἐπόψει μαι. Ὅτι οὐχὶ Θεὸς θέλων ἀνομίαν σὺ εἶ· Οὐ παροικήσει σοι πονηρευόμενος οὐδέ διαμενοῦσιν παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου· Ἐμίσησας πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν, ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος. Ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται Κύριος. Ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου εἰσελεύσομαι εἰς τὸν οἶκόν σου, προσκυνήσω πρὸς ναὸν ἅγιόν σου ἐν φόβῳ σου. Κύριε ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου, ἕνεκα τῶν ἐχθρῶν μου κατεύθυνον ἐνώπιόν σου τὴν ὁδόν μου. Ὅτι οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀλήθεια, ἡ καρδία αὐτῶν ματαία· Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν. Κρῖνον αὐτοὺς ὁ Θεὸς. Ἀποπεσάτωσαν ἀπὸ τῶν διαβουλιῶν αὐτῶν, κατὰ τὸ πλῆθος τῶν ἀσεβειῶν αὐτῶν ἔξωσον			Κύριε, δέξου τά λόγια μου στήν ἀκοή σου, κατανόησε τήν κραυγή μου. Πρόσεξε τή φωνή τῆς δεήσεώς μου, Ἐσύ ὁ Βασιλιάς καί Θεός μου· Διότι σ' ἐσένα θά προσευχηθῶ, Κύριε. Τά ξημερώματα θά εἰσακούσεις τή φωνή μου. Τό πρωΐ θά παρουσιασθῶ μπροστά σου καί θά μέ δεῖς μέ εὐμένεια· Διότι Ἐσύ εἶσαι Θεός, πού δέν θέλεις τήν ἀνομία. Δέν θά κατοικήσει κοντά σου ἄνθρωπος πού σκέπτεται πονηρά, οὔτε θά παραμείνουν παράνομοι μπροστά στά μάτια σου. Μίσησες ὅλους πού ἐργάζονται τήν ἀνομία, θά ἐξολοθρεύσεις ὅλους πού ψεύδονται συστηματικά. Τόν ἄνθρωπο τόν φονιά καί τόν δόλιο τόν σιχαίνεται ὁ Κύριος. Ἐγώ ὅμως στηριζόμενος στό πλῆθος τοῦ ἐλέους σου, θά μπῶ στόν οἶκο σου, θά προσκυνήσω μέ σεβασμό στό ναό σου τόν ἅγιο. Κύριε, ὁδήγησέ με μέ τή δικαιοσύνη σου, εἰς πεῖσμα τῶν ἐχθρῶν μου κάνε εὐθύ τό δρόμο μου μπροστά σου. Διότι στό στόμα τῶν ἀνόμων δέν ὑπάρχει ἀλήθεια, ἡ καρδιά τους πάντοτε σκέπτεται τά μάταια. Σαν τάφος ἀνοιχτός εἶναι ὁ λάρυγγάς τους, μέ τίς γλῶσσες τους κατασκευάζουν δόλους. Κρῖνε τους, Θεέ μου. Ἄς πέσουν στό κενό (ἄς ἀποτύχουν) τά πονηρά σχέδιά τους. Διῶξε τους μακριά σύμφωνα μέ τό μέγεθος τῶν

αὐτοὺς ὅτι παρεπίκρανάν σε Κύριε. Καὶ εὐφρανθείησαν πάντες οἱ ἐλπίζοντες ἐπὶ σὲ εἰς αἰῶνα ἀγαλλιάσονται καὶ κατασκηνώσεις ἐν αὐτοῖς καὶ καυχήσονται ἐν σοὶ πάντες οἱ ἀγαπῶντες τὸ ὄνομά σου. Ὅτι σὺ εὐλογήσεις δίκαιον, Κύριε, ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς. Ψαλμὸς ΠΘ'. (89). Κύριε καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Πρὸ τοῦ ὄρη γενηθῆναι καὶ πλασθῆναι τὴν γῆν καὶ τὴν οἰκουμένην καὶ ἀπὸ τοῦ αἰῶνος ἕως τοῦ αἰῶνος σὺ εἶ. Μὴ ἀποστρέψῃς ἄνθρωπον εἰς ταπείνωσιν καὶ εἶπας ἐπιστρέψατε υἱοὶ ἀνθρώπων. Ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σου, Κύριε, ὡς ἡμέρα ἡ ἐχθὲς, ἥτις διῆλθε καὶ φυλακὴ ἐν νυκτὶ. Τὰ ἐξουδενώματα αὐτῶν ἔτη ἔσονται τὸ πρωῒ ὡσεὶ χλόη παρέλθοι. Τὸ πρωῒ ἀνθῆσαι καὶ παρέλθοι τὸ ἑσπέρας ἀποπέσοι, σκληρυνθείη καὶ ξηρανθείη. Ὅτι ἐξελίπομεν ἐν τῇ ὀργῇ σου καὶ ἐν τῷ θυμῷ σου ἐταράχθημεν. Ἔθου τὰς ἀνομίας ἡμῶν ἐνώπιόν σου· ὁ αἰὼν ἡμῶν εἰς φωτισμὸν τοῦ προσώπου σου. Ὅτι πᾶσαι αἱ ἡμέραι ἡμῶν ἐξέλιπον καὶ ἐν τῇ ὀργῇ σου ἐξελίπομεν.			ἀσεβειῶν τους, διότι σέ ἐπίκραναν, Κύριε. Καί ἄς εὐφρανθοῦν ὅλοι ὅσοι ἐλπίζουν σ' ἐσένα· Θά ἀγάλλονται αἰώνια, καί θά κατασκηνώσεις ἀνάμεσά τους, καί θά καυχῶνται ἐξ αἰτίας σου, ὅλοι πού ἀγαποῦν καί σέβονται τό ὄνομά σου. Διότι Ἐσύ θά εὐλογήσεις τόν δίκαιο. Θά μᾶς στεφανώσεις μέ τή χάρη σου ὡς ὅπλο. ΨΑΛΜΟΣ ΠΘ'. (89). Κύριε, ἔγινες γιά μᾶς καταφύγιο ἀπό γενιά σέ γενιά. Πρίν δημιουργηθοῦν τά ὄρη καί διαμορφωθεῖ ἡ γῆ καί ἡ οἰκουμένη καί προαιώνια ὑπάρχεις ἐσύ. Μήν ἐπιτρέψεις, νά ταπεινωθεῖ ἄνθρωπος μέ τήν ἁμαρτία· καί γι' αὐτό εἶπες· ἐπιστρέψετε κοντά μου ἄνθρωποι. Διότι χίλια ἔτη, Κύριε, μπροστά στά μάτια σου εἶναι ὅπως ἡ χθεσινή ἡμέρα, πού πέρασε, καί ὅπως μιά νυχτερινή βάρδια (τέσσερεις ὧρες). Ἡ ἐξουθενημένη (ἡ ταλαίπωρη) ζωή τῶν ἀνθρώπων διαρκεῖ μόνο λίγα ἔτη, τό πρωῒ ἐμφανίζεται ὡς χλόη πού προσπερνᾷ. Τό πρωῒ ἀνθίζει καί περνᾷ, τό βράδυ πέφτει, σκληρύνεται καί ξηραίνεται. Ἔτσι καί ἐμεῖς σβήνουμε μπροστά στήν ὀργή σου, καί μᾶς πιάνει ταραχή μπροστά στό θυμό σου. Τοποθέτησες τίς ἀνομίες μας μπροστά σου· Ὁλόκληρη ἡ ζωή μας βρίσκεται κάτω ἀπό τή λάμψη τοῦ προσώπου σου. Διότι ὅλες οἱ ἡμέρες μας ἐξαφανίσθηκαν, καί μπροστά στήν ὀργή σου χαθήκαμε.

Τὰ ἔτη ἡμῶν ὡς ἀράχνη ἐμελέτων. Αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη· ἐὰν δὲ ἐν δυναστείαις ὀγδοήκοντα ἔτη καὶ τὸ πλεῖον αὐτῶν κόπος καὶ πόνος, ὅτι ἐπῆλθε πραότης ἐφ' ἡμᾶς καὶ παιδευθησόμεθα. Τὶς γινώσκει τὸ κράτος τῆς ὀργῆς σου καὶ ἀπὸ τοῦ φόβου σου τὸν θυμόν σου ἐξαριθμήσασθαι; Τὴν δεξιάν σου οὕτω γνώρισόν μοι καὶ τοὺς πεπαιδευμένους τῇ καρδίᾳ ἐν σοφίᾳ. Ἐπίστρεψον Κύριε· ἕως πότε; καὶ παρακλήθητι ἐπὶ τοῖς δούλοις σου. Ενεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου, Κύριε, καὶ ἠγαλλιασάμεθα καὶ εὐφράνθημεν. Ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν εὐφρανθείημεν ἀνθ' ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς ἐτῶν ὧν εἴδομεν κακὰ. Καὶ ἴδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὰ ἔργα σου καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν. Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ' ἡμᾶς, καί τό ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον. Ψαλμὸς Ρ'. (100). Ἔλεος καὶ κρίσιν ᾄσομαί σοι, Κύριε. Ψαλῶ καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ· πότε ἥξεις πρὸς με;			Τά χρόνια τῆς ζωῆς μας φαίνονται ὡς ἀράχνη· χάθηκαν· Ἡ διάρκεια τῆς ζωῆς μας ἐδῶ εἶναι ἑβδομήντα ἔτη, καί ἐάν κάποιος ἔχει γερή κράση ὀγδόντα ἔτη, καί τό περισσότερο ἀπ' αὐτά εἶναι κόπος καί ταλαιπωρία· Διότι ἔρχεται κατάπτωση τῶν δυνάμεων ἐπάνω μας καί ταλαιπωρούμεθα. Ποιός γνωρίζει τή δύναμη τῆς ὀργῆς σου; Καί ποιός μπορεῖ μέ σεβασμό, νά μετρήσει τό θυμό σου; Κάνε με νά γνωρίσω τήν τιμωρητική δύναμη τοῦ δεξιοῦ σου χεριοῦ, καί αὐτούς πού εἶναι ἐκπαιδευμένοι στήν καρδιά μέ τήν πνευματική σοφία, γιά νά ὠφεληθῶ. Γύρισε Κύριε τό πρόσωπό σου πρός ἐμᾶς· Μέχρι πότε θά εἶσαι ὀργισμένος μαζί μας; Δεῖξε εὐμένεια στίς παρακλήσεις τῶν δούλων σου. Εὐαρεστήθηκες να γεμίσουμε γρήγορα, Κύριε, ἀπό τό ἔλεός σου. Ἄς σκιρτήσουμε ἀπό χαρά καί ἀγαλλίαση. Ὅλες τίς ἡμέρες τῆς ζωῆς μας. Εἴθε νά εὐφρανθοῦμε γιά ἐκεῖνες τίς ἡμέρες πού μᾶς ταπείνωσες, γιά τά ἔτη πού δοκιμάσαμε θλίψεις· Κοίταξε μέ συμπάθεια τούς δούλους σου τούς Ἰσραηλῖτες· τά ἔργα σου πού ἔκανες γι' αὐτούς, καί ὁδήγησε τούς ἀπογόνους τοῦ Ἰακώβ σέ δρόμους σωτηρίας. Καί ἄς εἶναι ἡ λαμπρή συμπάθεια σοῦ, τοῦ Κυρίου καί Θεοῦ μας ἐπάνω μας, καί τά ἔργα τῶν χεριῶν μας κατευόδωσέ τα γιά τό καλό μας, καί τήν ἐργασία τῶν χεριῶν μας κατευόδωσέ την. ΨΑΛΜΟΣ Ρ'. (100). Θά ὑμνήσω, Κύριε, τό ἔλεός σου καί τή δικαιοσύνη σου. Θά ψάλω καί θά κατανοήσω ποιός εἶναι καθαρός, ἄψογος

Διεπορευόμην ἐν ἀκακίᾳ καρδίας μου ἐν μέσῳ τοῦ οἴκου μου. Οὐ προετιθέμην πρὸ ὀφθαλμῶν μου πρᾶγμα παράνομον· ποιοῦντας παραβάσεις ἐμίσησα· Οὐκ ἐκολλήθη μοι καρδία σκαμβὴ· ἐκκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ οὐκ ἐγίνωσκον· Τὸν καταλαλοῦντα λάθρᾳ τόν πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον· Ὑπερηφάνῳ ὀφθαλμῷ καὶ ἀπλήστῳ καρδίᾳ τούτῳ οὐ συνήσθιον· Οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς τοῦ συγκαθῆσθαι αὐτοὺς μέτ' ἐμοῦ, πορευόμενος ἐν ὁδῷ ἀμώμῳ οὗτός μοι ἐλειτούργει. Οὐ κατῴκει ἐν μέσῳ τῆς οἰκίας μου ποιῶν ὑπερηφανίαν, λαλῶν ἄδικα οὐ κατεύθυνεν ἐνώπιον τῶν ὀφθαλμῶν μου. Εἰς τὰς πρωΐας ἀπέκτεινον πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς τοῦ ἐξολεθρεῦσαι ἐκ πόλεως Κυρίου πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν. Δόξα... Καὶ νῦν... Ἀλληλούια (γ'.).Δόξα σοι ὁ Θεός (γ'.). Κύριε, ἐλέησον (γ'.). Δόξα Πατρί... Τό πρωΐ εἰσάκουσον τῆς φωνῆς μου, ὁ Βασιλεύς μου καὶ ὁ Θεός μου.			δρόμος· Πότε θά ἔλθεις κοντά μου; Μέσα στήν οἰκογένειά μου συμπεριφέρθηκα χωρίς κακία στήν καρδιά μου. Δέν ἀνέχθηκα μπροστά στά μάτια μου πρᾶγμα παράνομο· Μισοῦσα ὅλους, πού ἔκαναν παραβάσεις. Δέν προσκολλήθηκε κοντά μου ἄνθρωπος μέ διαστρεβλωμένη καρδιά· Ὅταν κάποιος πονηρός, ἀπό ἐκείνους πού ἤθελαν νά μέ πλησιάσουν, ἀπομακρυνόταν ἀπό μένα ἀπογοητευμένος, δέν εἶχα κἄν ἀντιληφθεῖ τήν παρουσία του. Ἐκεῖνον πού κατέκρινε κρυφά τόν πλησίον του, τόν ἔδιωχνα. Μέ ἄνθρωπο, ὁ ὁποῖος εἶχε ὑπερήφανα μάτια καί πλεονεξία στήν καρδιά, δέν ἔτρωγα μαζί του. Τά μάτια μου ἦταν στραμμένα πρός τούς πιστούς ἀνθρώπους, γιά νά καθίσουν μαζί μου· Ὅποιος ἀκολουθοῦσε τόν ἄμεμπτο δρόμο, αὐτός γινόταν συνεργάτης μου. Δέν ἐγκαταστάθηκε μέσα στό σπίτι μου, ἄνθρωπος πού ἦταν ὑπερήφανος· Ἄνθρωπος πού μιλοῦσε ἄδικα, δέν εὐδοκιμοῦσε (δέν πρόκοβε) μπροστά στά μάτια μου. Κατά τά πρωϊνά δίκαζα καί καταδίκαζα σέ θάνατο ὅλους τούς παρανόμους τῆς γῆς, γιά νά ἐξολοθρεύσω ἀπό τήν πόλη τοῦ Κυρίου (τήν Ἱερουσαλήμ, ὅλους πού διέπρατταν τήν ἀνομία. Δόξα... Καί νῦν... Ἀλληλούια (γ'.).Δόξα σοι ὁ Θεός (γ'.). Κύριε ἐλέησον (γ'.). Δόξα Πατρί... Τό πρωΐ εἰσάκουσε τή φωνή μου, Βασιλιά μου καί Θεέ μου.

Στιχ. Τὰ ῥήματά μου ἐνώτισαι, Κύριε, σύνες τῆς κραυγῆς μου. Στίχ.Ὅτι πρὸς σὲ προσεύξομαι, Κύριε, τὸ πρωΐ εἰσακούσῃ τῆς φωνῆς μου. Καὶ νῦν... Θεοτοκίον. Τὶ σὲ καλέσωμεν, ὦ Κεχαριτωμένη; οὐρανόν; ὅτι ἀνέτειλας τὸν Ἥλιον τῆς δικαιοσύνης. Παράδεισον; ὅτι ἐβλάστησας τὸ ἄνθος τῆς ἀφθαρσίας. Παρθένον; ὅτι ἔμεινας ἄφθορος· ἁγνὴν Μητέρα; ὅτι ἔσχες σαῖς ἁγίαις ἀγκάλαις υἱόν, τὸν πάντων Θεόν. Αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν. Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία. Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου. Τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου, καὶ δίδαξόν με τὰ δικαιώματά σου. Πληρωθήτω τὸ στόμα μου αἰνέσεώς σου, Κύριε, ὅπως ὑμνήσω τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου. Τρισάγιον. (Σελίς 15-16). Κοντάκιον: Τῇ Δευτέρᾳ, Τρίτῃ καὶ Πέμπτῃ: Τὴν ὑπερένδοξον τοῦ Θεοῦ Μητέρα, καὶ τῶν ἁγίων Ἀγγέλων ἁγιωτέραν, ἀσιγήτως ὑμνήσωμεν καρδίᾳ καὶ στόματι, Θεοτόκον αὐτὴν ὁμολογοῦντες, ὡς κυρίως γεννήσασαν Θεὸν σεσαρκωμένον, καὶ πρεσβεύουσαν ἀπαύστως ὑπὲρ			Στίχ. Τά λόγια μου, Κύριε, δέξου τα στά αὐτιά σου, κατανόησε τήν κραυγή μου. Στίχ. Ἐπειδή προσεύχομαι σ' ἐσένα, Κύριε, τό πρωΐ θά ἀκούσεις τή φωνή μου. Καί νῦν... Θεοτοκίο. Πῶς νά σέ ὀνομάσουμε, Χαριτωμένη; οὐρανό; διότι ἀνέτειλες τόν Ἥλιο τῆς δικαιοσύνης. Παράδεισο; διότι βλάστησες τό ἄνθος τῆς ἀφθαρσίας. Παρθένο; διότι ἔμεινες ἁγνή. Ἁγνή Μητέρα; διότι κράτησες στίς ἀγκάλες σου ὡς Υἱό τόν Θεό τῶν πάντων· Αὐτόν ἱκέτευε, νά σωθοῦν οἱ ψυχές μας. Κατεύθυνε τά βήματά μου σύμφωνα μέ τήν ὑπόσχεσή σου, καί ἄς μή μέ κυριεύσει καμμιά ἀνομία. Λύτρωσέ με ἀπό κάθε συκοφαντία ἀνθρώπων, καί ἐγώ θά τηρήσω τίς ἐντολές σου. Τό πρόσωπό σου ἐμφάνισέ το σ' ἐμένα τό δοῦλο σου, καί δίδαξέ με τίς ἐντολές σου. Ἄς γεμίσει τό στόμα μου ἀπό τόν ὕμνο σου, Κύριε, γιά νά ὑμνήσω τή δόξα σου ὅλη τήν ἡμέρα, τή μεγαλοπρέπειά σου. Τρισάγιο. (Σελίδα 15-16). Κοντάκιο: Δευτέρα, Τρίτη καί Πέμπτη. Τήν ὑπερένδοξη Μητέρα τοῦ Θεοῦ, καί ἁγιώτερη ἀπό τούς ἁγίους Ἀγγέλους, ἄς τήν ὑμνοῦμε ἀκατάπαυστα μέ τήν καρδιά καί τό στόμα, ὁμολογώντας την Θεοτόκο, ἐπειδή κυρίως γέννησε Θεό σαρκωμένο, καί πρεσβεύει γιά τίς ψυχές μας.

τῶν ψυχῶν ἡμῶν. Τῇ Τετάρτῃ καὶ Παρασκευῇ. Ταχὺ προκατάλαβε, πρὶν δουλωθῆναι ἡμᾶς, ἐχθροῖς βλασφημοῦσί σε, καὶ ἀπειλοῦσιν ἡμῖν, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἄνελε τῷ Σταυρῷ σου, τοὺς ἡμᾶς πολεμοῦντας, γνώτωσαν πῶς ἰσχύει, Ὀρθοδόξων ἡ Πίστις, πρεσβείαις τῆς Θεοτόκου, μόνε φιλάνθρωπε. Κύριε ἐλέησον Μ'. (40κις). Ὁ ἐν παντὶ καιρῷ καὶ πάσῃ ὥρᾳ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς προσκυνούμενος καὶ δοξαζόμενος Χριστὸς ὁ Θεός, ὁ μακρόθυμος, ὁ πολυέλεος, ὁ πολυεύσπλαγχνος, ὁ τοὺς δικαίους ἀγαπῶν καί τοὺς ἁμαρτωλοὺς ἐλεῶν, ὁ πάντας καλῶν πρὸς σωτηρίαν διά τῆς ἐπαγγελίας τῶν μελλόντων ἀγαθῶν, αὐτός Κύριε, πρόσδεξαι καὶ ἡμῶν ἐν τῇ ὥρᾳ ταύτῃ τὰς ἐντεύξεις καὶ ἴθυνον τὴν ζωὴν ἡμῶν πρὸς τὰς ἐντολάς σου. Τὰς ψυχὰς ἡμῶν ἁγίασον, τὰ σώματα ἅγνισον, τοὺς λογισμοὺς διόρθωσον, τὰς ἐννοίας κάθαρον καὶ ῥῦσαι ἡμᾶς ἀπὸ πάσης θλίψεως, κακῶν καὶ ὀδύνης. Τείχισον ἡμᾶς ἁγίοις σου Ἀγγέλοις, ἵνα τῇ παρεμβολῇ αὐτῶν φρουρούμενοι καὶ ὁδηγούμενοι καταντήσωμεν εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ εἰς τὴν ἐπίγνωσιν τῆς ἀπροσίτου σου δόξης· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Κύριε ἐλέησον γ'. Δόξα... Καὶ νῦν... Τὴν Τιμιωτέραν τῶν Χερουβίμ, καὶ			Τετάρτη καί Παρασκευή. Πρόφθασε γρήγορα, πρίν ὑποδουλωθοῦμε σέ ἐχθρούς πού βλαφημοῦν ἐσένα καί ἀπειλοῦν ἐμᾶς, Χριστέ Θεέ μας· Βγάλε ἀπό τή μέση, αὐτούς πού μᾶς πολεμοῦν· Ἄς γνωρίσουν, πόση δύναμη ἔχει ἡ πίστη τῶν ὀρθοδόξων, μέ τίς πρεσβεῖες τῆς Θεοτόκου, μόνε φιλάνθρωπε. Κύριε, ἐλέησον. Μ'. (40 φορές). Χριστέ Θεέ μας, ἐσύ πού σέ κάθε καιρό καί κάθε ὥρα προσκυνεῖσαι καί δοξάζεσαι στόν Οὐρανό καί στή γῆ, πού εἶσαι μεγαλόψυχος, πολυέλεος, πολυεύσπλαχνος, πού ἀγαπᾶς τούς δικαίους καί ἐλεεῖς τούς ἁμαρτωλούς, πού καλεῖς ὅλους στή σωτηρία μέ τήν ὑπόσχεση τῶν μελλοντικῶν ἀγαθῶν· Ἐσύ ὁ ἴδιος, Κύριε, δέξου μέ συμπάθεια καί τίς δικές μας προσευχές αὐτή τήν ὥρα, καί καθοδήγησε τή ζωή μας σύμφωνα μέ τίς ἐντολές σου. Ἁγίασε τίς ψυχές μας, ἐξάγνισε τά σώματά μας, διόρθωσε τούς λογισμούς μας, καθάρισε τά διανοήματά μας, γλύτωσέ μας ἀπό κάθε θλίψη καί ἀπό συμφορές καί πόνο. Περιτείχισέ μας μέ τούς ἁγίους σου Ἀγγέλους, ὥστε φρουρούμενοι καί ὁδηγούμενοι ἀπό τό στράτευμά τους, νά φθάσουμε στήν ἑνότητα τῆς πίστεως καί στήν τέλεια γνώση τῆς ἀπρόσιτης (ἀπλησίαστης) δόξας σου. Διότι εἶσαι δοξασμένος στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν. Κύριε, ἐλέησον (γ'.). Δόξα... Καί νῦν ... Ἐσένα, πού εἶσαι τιμιώτερη ἀπό τά Χερουβίμ καί

ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, πάτερ. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐλεήσαι ἡμᾶς. Εὐχὴ τοῦ Ὁσίου Ἐφραίμ. Κύριε, καὶ Δέσποτα τῆς ζωῆς μου, πνεῦμα ἀργίας, περιεργίας, φιλαρχίας, καὶ ἀργολογίας μή μοι δῷς. Πνεῦμα δὲ σωφροσύνης, ταπεινοφροσύνης, ὑπομονῆς καὶ ἀγάπης, χάρισαί μοι τῷ σῷ δούλῳ. Ναί, Κύριε Βασιλεῦ, δώρησαί μοι τὸ ὁρᾶν τὰ ἐμὰ πταίσματα, καὶ μὴ κατακρίνειν τὸν ἀδελφόν μου, ὅτι εὐλογητὸς εἶ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. (Δίς). Εὐχή. Χριστέ, τὸ φῶς τὸ ἀληθινόν, τὸ φωτίζον καὶ ἁγιάζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, σημειωθήτω ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, ἵνα ἐν αὐτῷ ὀψώμεθα φῶς τὸ ἀπρόσιτον, καὶ κατεύθυνον τὰ διαβήματα ἡμῶν πρὸς ἐργασίαν τῶν ἐντολῶν σου, πρεσβείαις τῆς παναχράντου σου Μητρός, καὶ πάντων σου τῶν ἁγίων. Ἀμήν. ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ Γ'. ΩΡΑΣ Δεῦτε προσκυνήσωμεν…(Σελίς 140).			ἀσύγκριτα ἀνώτερη ἀπό τά Σεραφίμ, πού γέννησες, χωρίς νά φθαρεῖς, τό Λόγο τοῦ Θεοῦ, τήν ἀληθινή Θεοτόκο, ἐσένα μεγαλύνουμε. Στό ὄνομα τοῦ Κυρίου εὐλόγησέ μας, πάτερ. Ὁ Θεός νά μᾶς σπλαχνισθεῖ, καί νά μᾶς εὐλογήσει. Νά ἐμφανίσει τό πρόσωπό του σ' ἐμᾶς, καί νά μᾶς ἐλεήσει. Εὐχή τοῦ Ἁγίου Ἐφραίμ. Κύριε καί Δέσποτα τῆς ζωῆς μου, πνεῦμα ἀργίας, περιεργείας, ἀρχομανίας καί φλυαρίας μή μοῦ δώσεις. Ἀντίθετα, χάρισε σ' ἐμένα τό δοῦλο σου πνεῦμα συνέσεως, ταπεινοφροσύνης, ὑπομονῆς καί ἀγάπης. Ναί, Κύριε Βασιλιά, δώρισέ μου τό νά βλέπω τά δικά μου σφάλματα, καί νά μή κατακρίνω τόν ἀδελφό μου, διότι εἶσαι ἄξιος δοξολογίας στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν. (Δίς). Εὐχή. Χριστέ, ἐσύ τό φῶς τό ἀληθινό, πού φωτίζεις καί ἁγιάζεις κάθε ἄνθρωπο πού ἔρχεται στόν κόσμο, ἄς σημειωθεῖ σ' ἐμᾶς τό φῶς τοῦ προσώπου σου, ὥστε μέσα ἀπ' αὐτό νά δοῦμε τό ἀπρόσιτο (ἄφθαστο, ἀπλησίαστο) φῶς καί κατεύθυνε τήν πορεία τῆς ζωῆς μας στήν τήρηση τῶν ἐντολῶν σου, μέ τίς πρεσβεῖες (τίς δεήσεις) τῆς πάναγνης Μητέρας σου, καί ὅλων σου τῶν Ἁγίων. Ἀμήν. ΩΡΑ ΤΡΙΤΗ Δεῦτε προσκυνήσωμεν…(Σελίδα 140).

Ψαλμὸς ΙΣΤ'. (16). Εἰσάκουσον Κύριε τῆς δικαιοσύνης μου πρόσσχες τῇ δεήσει μου ἐνώτισαι τήν προσευχήν μου οὐκ ἐν χείλεσιν δολίοις. Ἐκ προσώπου σου τὸ κρῖμα μου ἐξέλθοι οἱ ὀφθαλμοί μου ἰδέτωσαν εὐθύτητας. Ἐδοκίμασας τὴν καρδίαν μου, ἐπεσκέψω νυκτὸς, ἐπύρωσάς με καὶ οὐχ εὑρέθη ἐν ἐμοὶ ἀδικία. Ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων διὰ τοὺς λόγους τῶν χειλέων σου ἐγὼ ἐφύλαξα ὁδοὺς σκληρὰς. Κατάρτισαι τὰ διαβήματά μου ἐν ταῖς τρίβοις σου ἵνα μὴ σαλευθῶσι τὰ διαβήματά μου. Εγὼ ἐκέκραξα ὅτι ἐπήκουσάς μου ὁ Θεὸς· κλῖνον τὸ οὖς σου ἐμοὶ καὶ εἰσάκουσον τῶν ῥημάτων μου. Θαυμάστωσον τὰ ἐλέη σου ὁ σώζων τοὺς ἐλπίζοντας ἐπὶ σὲ. Ἐκ τῶν ἀνθεστηκότων τῇ δεξιᾷ σου φύλαξόν με, Κύριε, ὡς κόρην ὀφθαλμοῦ. Ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με ἀπὸ προσώπου ἀσεβῶν τῶν ταλαιπωρησάντων με. Οἱ ἐχθροί μου τὴν ψυχήν μου περιέσχον τὸ στέαρ αὐτῶν συνέκλεισαν, τὸ στόμα αὐτῶν ἐλάλησεν ὑπερηφανίαν. Ἐκβαλόντές με νυνὶ περιεκύκλωσάν με, τοὺς ὀφθαλμοὺς αὐτῶν ἔθεντο ἐκκλῖναι ἐν τῇ γῇ.			ΨΑΛΜΟΣ ΙΣΤ'. (16) Εἰσάκουσε, Κύριε, τό δίκαιο αἴτημά μου, δῶσε προσοχή στή δέησή μου, δέξου στά αὐτιά σου τήν προσευχή μου, πού σοῦ ἀπευθύνω μέ ἄδολα (εἰλικρινῆ) χείλη. Ἀπό σένα ἀποκλειστικά νά βγεῖ ἡ ἀπόφαση γιά τό δίκαιό μου, γιά νά δοῦν τά μάτια μου ἐπί τέλους τήν εὐθύτητα (τήν ἀξιοπιστία). Ἐδοκίμασες τήν καρδιά μου, μέ ἐπισκέφθηκες νύχτα· Μέ πέρασες ἀπό τό πυρωμένο καμίνι, καί δέν εὑρέθηκε σ' ἐμένα ἀδικία. Γιά νά μή μιλήσει τό στόμα μου γιά τά πονηρά ἔργα τῶν ἀνθρώπων, ἐγώ ἀκολούθησα τό δύσκολο δρόμο τῆς ἀρετῆς. Καθοδήγησε τά βήματά μου στούς δρόμους σου, γιά νά μή σαλευθοῦν τά πόδια μου. Ἐγώ φώναξα δυνατά, γιατί εἶμαι βέβαιος, ὅτι μέ ἀκοῦς, Θεέ μου· στρέψε τήν ἀκοή σου σ' ἐμένα, καί ἄκουσε τά λόγια μου. Φανέρωσε θαυματουργικά τά ἐλέη σου, Ἐσύ πού σώζεις αὐτούς πού ἐλπίζουν σ' ἐσένα. Ἀπό ἐκείνους πού ἀντιστέκονται στή δύναμή σου, φύλαξέ με, Κύριε, ὡς κόρη ὀφθαλμοῦ. Σκέπασέ με μέ τή σκέπη τῶν φτερῶν σου ἀπό τούς ἀσεβεῖς, πού μέ ταλαιπώρησαν. Οἱ ἐχθροί μου περικύκλωσαν τήν ψυχή μου· Ἔκλεισαν ἐντελῶς τά σπλάχνα τους, τό στόμα τους εἶπε ὑπερήφανα λόγια. Μέ ἔδιωξαν ἀπό τήν πατρίδα μου, τώρα καί μέ περικύκλωσαν, καί κοιτάζουν νά μέ θάψουν στή γῆ.

Ὑπέλαβόν με ὡσεὶ λέων ἕτοιμος εἰς θήραν καὶ ὡσεὶ σκύμνος οἰκῶν ἐν ἀποκρύφοις. Ἀνάστηθι Κύριε πρόφθασον αὐτοὺς καὶ ὑποσκέλισον αὐτούς, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ ἀσεβοῦς ῥομφαίαν σου ἀπὸ ἐχθρῶν τῆς χειρός σου. Κύριε ἀπὸ ὀλίγων ἀπὸ γῆς διαμέρισον αὐτοὺς ἐν τῇ ζωῇ αὐτῶν· καὶ τῶν κεκρυμμένων σου ἐπλήσθη ἡ γαστὴρ αὐτῶν· Ἐχορτάσθησαν υἱείων καὶ ἀφῆκαν τὰ κατάλοιπα τοῖς νηπίοις αὐτῶν. Ἐγὼ δὲ ἐν δικαιοσύνῃ ὀφθήσομαι τῷ προσώπῳ σου, χορτασθήσομαι ἐν τῷ ὀφθῆναι τὴν δόξαν σου. Ψαλμὸς ΚΔ΄. (24). Πρὸς σέ, Κύριε, ἦρα τὴν ψυχήν μου, ὁ Θεός μου, ἐπὶ σοὶ πέποιθα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα. Μηδὲ καταγελασάτωσάν με οἱ ἐχθροί μου· καὶ γὰρ πάντες οἱ ὑπομένοντές σε, οὐ μὴ καταισχυνθῶσιν. Αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες διακενῆς. Τὰς ὁδούς σου, Κύριε, γνώρισόν μοι, καὶ τὰς τρίβους σου δίδαξόν με. Ὁδήγησόν με ἐπὶ τὴν ἀλήθειάν σου, καὶ δίδαξόν με, ὅτι σὺ εἶ ὁ Θεὸς ὁ Σωτήρ μου, καὶ σὲ ὑπέμεινα ὅλην τὴν ἡμέραν. Μνήσθητι τῶν οἰκτιρμῶν σου, Κύριε, καὶ τὰ ἐλέη σου, ὅτι ἀπὸ τοῦ αἰῶνός εἰσιν. Ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου μὴ			Μέ εἶδαν ὅπως τό λιοντάρι βλέπει τό θήραμά του, καί ὅπως τό λιονταράκι πού κατοικεῖ σέ κρυφούς τόπους. Σήκω, Κύριε, πρόφθασέ τους, καί ρίξε τους κάτω, λύτρωσε τήν ψυχή μου ἀπό τόν ἀσεβῆ χρησιμοποιώντας τό σπαθί σου ἐναντίον αὐτῶν πού ἀντιστέκονται σ' ἐσένα. Κύριε, χώρισε τούς ἀδίκους ἀπό τούς λίγους εὐσεβεῖς ἐδῶ σ' αὐτή τή ζωή τους ἐπάνω στή γῆ· καί γέμισαν τήν κοιλιά τους ἀπό τά κρυμμένα στη γῆ καί στή θάλασσα ἀγαθά σου. Χόρτασαν ἀπό χοιρινά κρέατα καί ἄφησαν τά περισσεύματα γιά τά νήπιά τους. Ἐγώ ὅμως θά παρουσιασθῶ μπροστά στό πρόσωπό σου ζώντας μέ δικαιοσύνη· θά χορτάσω καθώς θά βλέπω τή δόξα σου. ΨΑΛΜΟΣ ΚΔ΄. (24). Σ' ἐσένα, Κύριε, ὕψωσα τήν ψυχή μου. Θεέ μου, σ' ἐσένα ἔχω ἐμπιστοσύνη· Ποτέ μή μ' ἀφήσεις, νά ντροπιασθῶ. Καί ἄς μή γελάσουν σέ βάρος μου οἱ ἐχθροί μου· Γιατί ὅλοι πού δείχνουν ὑπομονή περιμένοντας τή βοήθειά σου δέν θά ντροπιασθοῦν. Θά ντροπιασθοῦν ἐκεῖνοι πού παρανομοῦν ματαιοπονώντας. Κάνε σ' ἐμένα γνωστούς τούς δρόμους σου, καί δίδαξέ με τίς πορεῖες σου. Ὁδήγησέ με στήν ἀλήθεια σου , καί δίδαξέ με, διότι Ἐσύ εἶσαι ὁ Θεός ὁ Σωτήρας μου, καί γι' αὐτό μέ ὑπομονή σέ περιμένω ὅλη τήν ἡμέρα νά μέ βοηθήσεις. Θυμήσου τήν εὐσπλαχνία καί τά ἐλέη σου, πού μᾶς ἔδωσες πρίν ἀπό πολλούς αἰῶνες. Μή θυμηθεῖς τίς ἁμαρτίες πού ἔκανα κατά τή νεότητά

μνησθῆς. Κατὰ τὸ ἔλεός σου μνήσθητί μου σύ, ἕνεκεν τῆς χρηστότητός σου, Κύριε. Χρηστὸς καὶ εὐθὺς ὁ Κύριος· διὰ τοῦτο νομοθετήσει ἁμαρτάνοντας ἐν ὁδῷ. Ὁδηγήσει πραεῖς ἐν κρίσει, διδάξει πραεῖς ὁδοὺς αὐτοῦ. Πᾶσαι αἱ ὁδοὶ Κυρίου ἔλεος, καὶ ἀλήθεια τοῖς ἐκζητοῦσι τὴν διαθήκην αὐτοῦ, καὶ τὰ μαρτύρια αὐτοῦ. Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, καὶ ἱλάσθητι τῇ ἁμαρτίᾳ μου· πολλὴ γὰρ ἐστι. Τὶς ἐστιν ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον; νομοθετήσει αὐτῷ ἐν ὁδῷ ᾗ ᾑρετίσατο. Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται, καὶ τὸ σπέρμα αὐτοῦ κληρονομήσει γῆν. Κραταίωμα Κύριος τῶν φοβουμένων αὐτόν, καὶ ἡ διαθήκη αὐτοῦ δηλώσει αὐτοῖς. Οἱ ὀφθαλμοί μου διὰ παντὸς πρὸς τὸν Κύριον, ὅτι αὐτὸς ἐκσπάσει ἐκ παγίδος τοὺς πόδας μου. Ἐπίβλεψον ἐπ' ἐμέ, καὶ ἐλέησόν με, ὅτι μονογενὴς καὶ πτωχὸς εἰμι ἐγώ. Αἱ θλίψεις τῆς καρδίας μου ἐπληθύνθησαν, ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ με. Ἴδε τὴν ταπείνωσίν μου, καὶ τὸν κόπον μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου.			μου, καί ὅσες διέπραξα ἀπό ἄγνοια. Σύμφωνα μέ τό ἔλεός σου θυμήσου με Ἐσύ,γιά χάρη τῆς ἀγαθότητάς σου, Κύριε. Ἀγαθὸς καί δίκαιος εἶναι ὁ Κύριος, γι' αὐτό θά καθοδηγήσει αὐτούς πού ἁμαρτάνουν στό δρόμο τῆς ζωῆς τους, γιά νά ἐπιστρέψουν. Θά ὁδηγήσει τούς πράους στή δι9καιοσύνη· θά διδάξει στούς πράους τούς δρόμους τῶν ἐντολῶν του. Ὅλες οἱ ἐντολές τοῦ Κυρίου εἶναι γεμάτες ἀπό ἔλεος καί ἀξιοπιστία, γιά ὅσους ἐπιζητοῦν νά μάθουν τό νόμο του καί τίς ἐντολές του. Γιά τό ὄνομά σου, Κύριε, συγχώρησε τίς ἁμαρτίες μου, γιατί εἶναι πολλές. Ποιός εἶναι ὁ ἄνθρωπος πού σέβεται βαθιά τόν Κύριο; Θά τοῦ δώσει τόν νόμο του, γιά νά καθοδηγεῖται στό δρόμο τοῦ Θεοῦ, πού διάλεξε. Ἡ ψυχή τοῦ ἀνθρώπου αὐτοῦ θά ἀναπαύεται μέσα στά ἀγαθά, καί οἱ ἀπόγονοί του θά κληρονομήσουν τή γῆ. Ὁ Κύριος εἶναι ἀκατανίκητη δύναμη, γι' αὐτούς πού τόν σέβονται βαθιά, καί τό βεβαιώνει ἡ διαθήκη (ἡ συμφωνία) πού ἔκανε μ' αὐτούς. Τά μάτια μου πάντοτε εἶναι στραμμένα στόν Κύριο, διότι αὐτός θά ἐλευθερώσει τά πόδια μου ἀπό τήν παγίδα. Ρίξε τό βλέμμα σου σπλαχνικό ἐπάνω μου καί ἐλέησέ με, διότι εἶμαι μόνος καί ταλαίπωρος. Οἱ θλίψεις τῆς καρδιᾶς μου ἔχουν γίνει πολλές· Λύτρωσέ με ἀπό τίς στενοχώριες μου. Κοίταξε τήν ταπείνωσή μου καί τόν κόπο μου, καί συγχώρησε ὅλες τίς ἁμαρτίες μου.

Ἴδε τοὺς ἐχθρούς μου, ὅτι ἐπληθύνθησαν, καὶ μῖσος ἄδικον ἐμίσησάν με. Φύλαξον τὴν ψυχήν μου, καὶ ῥῦσαί με, μὴ καταισχυνθείην ὅτι ἤλπισα ἐπὶ σέ. Ἄκακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι, ὅτι ὑπέμεινά σε, Κύριε. Λύτρωσαι, ὁ Θεός, τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ. Ψαλμός. Ν'. (50). (Σελίς 34-35). Δόξα Πατρί… Καί νῦν καί ἀεί…, Ἀλληλούια (γ'.). Δόξα σοι ὁ Θεός(γ'.). Δόξα Πατρί... Κύριε, ὁ τὸ Πανάγιόν σου Πνεῦμαἐν τῇ τρίτῃ ὥρᾳ τοῖς Ἀποστόλοις Σου καταπέμψας, τοῦτο, Ἀγαθέ, μὴ ἀντανέλῃς ἀφ' ἡμῶν, ἀλλ' ἐγκαίνισον ἡμῖν τοῖς δεομένοις σου. Στίχ: Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Στίχ: Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ πνεῦμα σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. Καὶ νῦν... Θεοτόκε, σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς. Σὲ ἱκετεύομεν, πρέσβευε, Δέσποινα, μετὰ τῶν Ἀποστόλων, καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν. Κύριος ὁ Θεὸς εὐλογητός, εὐλογητὸς Κύριος ἡμέραν καθ' ἡμέραν· κατευοδώσαι ἡμῖν ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν, ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ σώζειν.			Κοίταξε τούς ἐχθρούς μου, ὅτι ἔγιναν πάρα πολλοί, καί μέ μίσησαν ἄδικα. Φύλαξε τήν ψυχή μου καί λύτρωσέ με· Ἄς μή ντροπιασθῶ, διότι σ' ἐσένα ἐλπίζω. Ἄκακοι καί εἰλικρινεῖς ἄνθρωποι μέ ἀκολουθοῦσαν, διότι ἐγώ ἔδειχνα ὑπομονή περιμένοντάς σε, Κύριε. Λύτρωσε, Θεέ μου, τό λαό τοῦ Ἰσραήλ ἀπό ὅλες τίς θλίψεις του. ΨΑΛΜΟΣ Ν'. (50). (Σελίδα 34-35). Δόξα Πατρί... Καί νῦν καί ἀεί.. Ἀλληλούια (γ'.). Δόξα σοι ὁ Θεός(γ'.). Δόξα Πατρί... Κύριε, Ἐσύ πού ἔστειλες τό Πανάγιό σου Πνεῦμα στούς Ἀποστόλους σου κατά τήν τρίτη ὥρα, αὐτό, Ἀγαθέ, μήν τό ἀφαιρέσεις ἀπό μᾶς, ἀλλά ἐγκαινίασέ το σ' αὐτούς πού σέ παρακαλοῦν. Στίχ. Καρδιά καθαρή κτίσε μέσα μου, ὦ Θεέ, καί ἐγκαινίασε στά κατάβαθά μου πνεῦμα μέ ὀρθό φρόνημα. Στίχ. Μή μέ ἀπορρίψεις ἀπό τό πρόσωπό σου, καί μήν ἀφαιρέσεις ἀπό μένα τό Πνεῦμα σου τό Ἅγιο. Καί νῦν... Θεοτόκε, Ἐσύ εἶσαι ἡ ἀληθινή κληματαριά πού βλάστησες τόν καρπό τῆς ζωῆς· Ἐσένα ἱκετεύουμε· Πρέσβευε, Δέσποινα (Κυρία), μαζί μέ τούς Ἀποστόλους καί ὅλους τούς Ἁγίους, νά ἐλεηθοῦν οἱ ψυχές μας. Ὁ Κύριος ὁ Θεός εἶναι ἄξιος δοξολογίας, εἶναι ἄξιος δοξολογίας ὁ Κύριος κάθε μέρα· μακάρι νά μᾶς δώσει εὐτυχία ὁ Θεός τῆς σωτηρίας μας, ὁ Θεός μας, ὁ Θεός πού σώζει.

Τρισάγιον. (Σελίς15-16). Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ δι' αὐτῶν τὴν οἰκουμένην σαγηνεύσας, φιλάνθρωπε, δόξα σοι. Δόξα Πατρί... Ταχεῖαν καὶ σταθηρὰν δίδου παραμυθίαν τοῖς δούλοις σου, Ἰησοῦ, ἐν τῷ ἀκηδιάσαι τὰ πνεύματα ἡμῶν. Μὴ χωρίζου τῶν ψυχῶν ἡμῶν ἐν θλίψεσι, μὴ μακρύνου τῶν φρενῶν ἡμῶν ἐν περιστάσεσιν, ἀλλ' ἀεὶ ἡμᾶς πρόφθασον.Ἔγγισον ἡμῖν, ἔγγισον ὁ πανταχοῦ᾽ὥσπερ καὶ τοῖς Ἀποστόλοις σου πάντοτε συνῆς, οὕτω καὶ τοῖς σέ ποθοῦσιν ἕνωσον σαὐτὸν, οἰκτίρμον, ἵνα συνημμένοι σοι ὑμνῶμεν καὶ δοξολογῶμεν τὸ Πανάγιον σου Πνεῦμα. Καὶ νῦν... Ἡ ἐλπὶς καὶ προστασία, καὶ κατάφυγὴ τῶν χριστιανῶν, τὸ ἀκαταμάχητον τεῖχος, τῶν καταπονουμένων ὁ λιμὴν ὁ ἀχείμαστος, σὺ εἶ, Θεοτόκε ἄχραντε· ἀλλ' ὡς τὸν κόσμον σῴζουσα τῇ ἀπαύστῳ πρεσβείᾳ σου μνήσθητι καὶ ἡμῶν, Παρθένε πανύμνητε. Κύριε ἐλέησον. (Μ᾽.). Ὁ ἐν παντὶ καιρῷ …(Σελίς 146-147). Εὐχή. Δέσποτα Θεέ, Πάτερ Παντοκράτορ, Κύριε, Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα, μία Θεότης, μία Δύναμις, ἐλέησόν με τὸν ἁμαρτωλόν καὶ οἷς ἐπίστασαι κρίμασι, σῶσόν με τὸν ἀνάξιον			Τρισάγιο. (Σελίδα 15-16). Εἶσαι ἄξιος δοξολογίας, Χριστέ, Θεέ μας, Ἐσύ πού ἀνέδειξες πάνσοφους τούς ψαράδες, ἀφοῦ ἔστειλες σ' αὐτούς τό Ἅγιο Πνεῦμα, καί μέσῳ αὐτῶν ἔπιασες στό δίχτυ σου τήν οἰκουμένη, Φιλάνθρωπε, δόξα σ' ἐσένα. Δόξα Πατρί... Δίνε σ' ἐμᾶς τούς δούλους σου, Ἰησοῦ, γρήγορη καί σταθερή παρηγοριά, ὅταν αἰσθανόμαστε ἐξαντλημένα τά πνεύματά μας· Μή χωρίζεσαι ἀπό τίς ψυχές μας στίς θλίψεις, μήν ἀπομακρύνεσαι ἀπό τό νοῦ μας στίς δύσκολες περιστάσεις· ἀλλά πρόφθανέ μας πάντοτε. Πλησίασέ μας, πλησίασε, ἐσύ πού εἶσαι παντοῦ· Ὅπως ἤσουν πάντοτε μαζί μέ τούς Ἀποστόλους, ἔτσι ἕνωσε τόν ἑαυτό σου, Εὔσπλαχνε, μ' αὐτούς πού σέ ποθοῦν, ὥστε ἑνωμένοι μαζί σου, νά ὑμνοῦμε καί νά δοξολογοῦμε τό Πανάγιό σου Πνεῦμα. Καί νῦν … Ἡ ἐλπίδα καί προστασία καί καταφύγιο τῶν χριστιανῶν, τό ἀνίκητο τεῖχος, τό ἀτάραχο λιμάνι τῶν ταλαιπωρημένων, ἐσύ εἶσαι, Θεοτόκε, ἀμόλυντη· ἀλλά ἐπειδή σώζεις τόν κόσμο μέ τήν ἀκατάπαυστη πρεσβεία σου, θυμήσου καί ἐμᾶς, Παρθένε πανύμνητη. Κύριε ἐλέησον. Μ᾽. (40 φορές). Ὁ ἐν παντί καιρῷ....». (Σελίδα 146-147). Εὐχή. Δέσποτα Θεέ, Πατέρα Παντοκράτορα, Κύριε Υἱέ Μονογενές (Μοναδικέ), Ἰησοῦ Χριστέ, καί Ἅγιο Πνεῦμα, μία Θεότητα, μία Δύναμη, ἐλέησε ἐμένα τόν ἁμαρτωλό· Καί μέ τόν τρόπο πού γνωρίζεις, σῶσε με τόν ἀνάξιο δοῦλο σου· Γιατί

δοῦλόν σου, ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. ΩΡΑ ΕΚΤΗ. Δεῦτε προσκυνήσωμεν…(Σελίς 140). ΨΑΛΜΟΣ ΝΓ'. (53). Ὁ Θεὸς ἐν τῷ ὀνόματί σου σῶσόν με καὶ ἐν τῇ δυνάμει σου κρινεῖς με. Ὁ Θεὸς εἰσάκουσον τῆς προσευχῆς μου ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου. Ὅτι ἀλλότριοι ἐπανέστησαν ἐπ' ἐμὲ καὶ κραταιοὶ ἐζήτησαν τὴν ψυχήν μου· καὶ οὐ προέθεντο τὸν Θεὸν ἐνώπιον αὐτῶν. Ἰδοὺ γὰρ ὁ Θεὸς βοηθεῖ μοι καὶ ὁ Κύριος ἀντιλήπτωρ τῆς ψυχῆς μου. Ἀποστρέψει τὰ κακὰ τοῖς ἐχθροῖς μου, ἐν τῇ ἀληθείᾳ σου ἐξολόθρευσον αὐτούς. Ἑκουσίως θύσω σοι, ἐξομολογήσομαι τῷ ὀνόματί σου, Κύριε ὅτι ἀγαθὸν. Ὅτι ἐκ πάσης θλίψεως ἐρρύσω με καὶ ἐν τοῖς ἐχθροῖς μου ἐπεῖδεν ὁ ὀφθαλμός μου. Ψαλμὸς ΝΔ'. (54). Ἐνώτισαι ὁ Θεὸς τὴν προσευχήν μου καὶ μὴ ὑπερίδῃς τὴν δέησίν μου· πρόσχες μοι καὶ εἰσάκουσόν μου· Ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου καὶ ἐταράχθην ἀπὸ φωνῆς ἐχθροῦ καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ.			εἶσαι δοξασμένος στούς αἰῶνες. Ἀμήν. ΩΡΑ ΕΚΤΗ. Δεῦτε προσκυνήσωμεν… (Σελίδα 140). ΨΑΛΜΟΣ ΝΓ'. (53). Ὦ Θεέ, γιά χάρη τοῦ ὀνόματός σου σῶσε με, καί μέ τή δύναμή σου ἀπόδωσέ μου τό δίκαιό μου. Θεέ μου, εἰσάκουσε τήν προσευχή μου, δέξου στήν ἀκοή σου τά λόγια τοῦ στόματός μου. Διότι ἄνθρωποι ξένοι ξεσηκώθηκαν ἐναντίον μου, καί ἄνθρωποι ἰσχυροί ἐζήτησαν νά ἀφαιρέσουν τή ζωή μου, καί δέν σκέφθηκαν, ὅτι ὁ Θεός εἶναι μπροστά τους. Ἀλλά νά, ὁ Θεός μέ βοηθεῖ, καί ὁ Κύριος εἶναι προστάτης τῆς ψυχῆς μου. Θά στρέψει τά κακά ἐναντίον τῶν ἐχθρῶν μου· ἐσύ, Κύριε, πού εἶσαι ἀξιόπιστος στίς ὑποσχέσεις σου, ἐξολόθρευσε τούς ἐχθρούς μου. Μέ ὅλη τή θέλησή μου (τήν καρδιά μου) θά προσφέρω σ' ἐσένα, θυσία· θά σέ δοξολογήσω, Κύριε, διότι εἶσαι γεμάτος ἀγαθοσύνη. Διότι μ' ἐγλύτωσες ἀπό κάθε θλίψη, καί τά μάτια μου εἶδαν τόν ἐξευτελισμό τῶν ἐχθρῶν μου. ΨΑΛΜΟΣ ΝΔ'. (54). Δέξου, Θεέ μου, στά αὐτιά σου τήν προσευχή μου, καί μήν παραβλέψεις τή δέησή μου. Πρόσεξέ με καί εἰσάκουσέ με. Μέ τή σκέψη τῆς θλιβερῆς κατάστασής μου λυπήθηκα, καί ταράχθηκα ἀπό τίς ἀπειλητικές φωνές τῶν ἐχθρῶν μου,

Ὅτι ἐξέκλιναν ἐπ' ἐμὲ ἀνομίαν καὶ ἐν ὀργῇ ἐνεκότουν μοι. Ἡ καρδία μου εαράχθη ἐν ἐμοὶ καὶ δειλία θανάτου ἐπέπεσεν ἐπ' ἐμὲ. Φόβος καὶ τρόμος ἦλθεν ἐπ' ἐμὲ καὶ ἐκάλυψέ με σκότος. Καὶ εἶπα· τὶς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς καὶ πετασθήσομαι καὶ καταπαύσω; Ἰδοὺ ἐμάκρυνα φυγαδεύων καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ. Προσεδεχόμην τὸν Θεὸν τὸν σῴζοντά με ἀπὸ ὀλιγοψυχίας καὶ ἀπό καταιγίδος. Καταπόντισον Κύριε καὶ καταδίελε τὰς γλώσσας αὐτῶν, ὅτι εἶδον ἀνομίαν καὶ ἀντιλογίαν ἐν τῇ πόλει. Ἡμέρας καὶ νυκτὸς κυκλώσει αὐτὴν ἐπὶ τὰ τείχη αὐτῆς, ἀνομία καὶ κόπος ἐν μέσῳ αὐτῆς καὶ ἀδικία. Καὶ οὐκ ἐξέλιπεν ἐκ τῶν πλατειῶν αὐτῆς τόκος καὶ δόλος. Ὅτι εἰ ἐχθρὸς ὠνείδισέ με ὑπήνεγκα ἂν καὶ εἰ ὁ μισῶν με ἐπ' ἐμὲ ἐμεγαλορρημόνησεν ἐκρύβην ἂν ἀπ' αὐτοῦ. Σὺ δὲ, ἄνθρωπε ἰσόψυχε ἡγεμών μου καὶ γνωστέ μου, ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκανάς μοι ἐδέσματα, ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἐπορεύθημεν ἐν			καὶ ἀπό τήν καταπίεση τῶν ἁμαρτωλῶν. Διότι ἔρριξαν ἐπάνω μου τίς παρανομίες τους, καί μέ ὀργή τρέφουνἔτρφαν φοβερό μῖσος ἐναντίον μου. Ἡ καρδιά μου ταράχθηκε μέσα μου, καί δειλία θανάτου ἔπεσε ἐπάνω μου. Φόβος καί τρόμος μέ κατέλαβε, καί μ’ ἐσκέπασε σκοτάδι. Καί εἶπα μέσα μου· Ποιός θά μοῦ δώσει φτερά περιστεριοῦ, γιά νά πετάξω καί νά εἶμαι ἀσφαλής; Νά, θά ἀπομακρυνόμουν φεύγοντας, καί θά κατοικοῦσα σέ ἔρημο καί ἀσφαλῆ τόπο. Ἐκεῖ θά περίμενα τόν Κύριο, πού θά μέ ἔσωζε ἀπό τήν ὀλιγοψυχία μου, καί ἀπό τή μανιώδη καταιγίδα τῶν ἐχθρῶν μου. Καταπόντισέ τους, Κύριε, καί φέρε σύγχυση στίς γλῶσσες τους· Διότι βλέπω, νά ἐπικρατεῖ ἀνομία καί διχόνοια στήν πόλη (τῆς Ἱερουσαλήμ) ἐξ αἰτίας τους. Ἡ ἀνομία αὐτή ἡμέρα καί νύχτα περιφέρεται γύρω ἀπό τά τείχη της, καί μέσα σ’ αὐτήν ἐπικρατεῖ παρανομία καί καταπίεση καί μόχθος καί ἀδικία. Καί δέν λείπει ἀκόμη καί ἀπό τίς πλατεῖες της τοκογλυφία καί δολιότητα. Θλίβομαι διότι, ἐάν κάποιος φανερός ἐχθρός μου μέ ἐξύβριζε, θά τό ὑπέφερα, καί ἐάν κάποιος πού μέ μισοῦσε ἔλεγε περήφανα λόγια σέ βάρος μου, θά κρυβόμουν ἀπ’ αὐτόν. Ἐσύ ὅμως, ἄνθρωπε, πού σέ ἔβλεπα ὅπως τόν ἑαυτό μου, πού σέ εἶχα ἄρχοντα, φίλε μου καί γνωστέ μου, ὁ ὁποῖος τρώγοντας μαζί μου ἐγλύκαινες τά φαγητά μου· Ἐσύ μέ τόν

ὁμονοίᾳ. Ἐλθέτω δή θάνατος ἐπ' αὐτοὺς καὶ καταβήτωσαν εἰς ᾅδου ζῶντες, ὅτι πονηρίαι ἐν ταῖς παροικίαις αὐτῶν ἐν μέσῳ αὐτῶν. Ἐγὼ δὲ πρὸς τὸν Θεὸν ἐκέκραξα, καί ὁ Κύριος εἰσήκουσέ μου. Ἑσπέρας καὶ πρωΐ καὶ μεσημβρίας διηγήσομαι, ἀπαγγελῶ καὶ εἰσακούσεταί τῆς φωνῆς μου. Λυτρώσεται ἐν εἰρήνῃ τὴν ψυχήν μου ἀπὸ τῶν ἐγγιζόντων μοι, ὅτι ἐν πολλοῖς ἦσαν σὺν ἐμοὶ. Εἰσακούσεται ὁ Θεὸς καὶ ταπεινώσει αὐτοὺς ὁ ὑπάρχων πρὸ τῶν αἰώνων. Οὐ γάρ ἐστιν αὐτοῖς ἀντάλλαγμα ὅτι οὐκ ἐφοβήθησαν τὸν Θεὸν. Ἐξέτεινεν τὴν χεῖρα αὐτοῦ ἐν τῷ ἀποδιδόναι· Ἐβεβήλωσαν τὴν διαθήκην αὐτοῦ διεμερίσθησαν ἀπὸ ὀργῆς τοῦ προσώπου αὐτοῦ καὶ ἤγγισεν ἡ καρδία αὐτῶν. Ἠπαλύνθησαν οἱ λόγοι αὐτῶν ὑπὲρ ἔλαιον καὶ αὐτοί εἰσι βολίδες. Ἐπίρριψον ἐπὶ Κύριον τὴν μέριμνάν σου καὶ αὐτός σε διαθρέψει, οὐ δώσει εἰς τὸν αἰῶνα σάλον τῷ δικαίῳ. Σὺ δὲ ὁ Θεὸς κατάξεις αὐτοὺς εἰς φρέαρ			ὁποῖο πηγαίναμε μαζί στόν οἶκο τοῦ Θεοῦ μου μέ ὁμόνοια, (ἐσύ τό ἔκανες αὐτό); Ἄς ἔλθει λοιπόν θάνατος ἐπάνω τους, καί ἄς κατεβοῦν ζωντανοί στόν ᾅδη, διότι μόνο πονηρία καί κακία ὑπάρχει στίς κατοικίες τους καί ἀνάμεσά τους. Ἐγώ ὅμως ἔκραξα πρός τόν Θεό μου, καί ὁ Κύριος μέ ἄκουσε. Βράδυ, πρωΐ καί μεσημέρι θά διηγοῦμαι τίς θλίψεις μου, καί θά τίς ἀναγγέλλω στόν Θεό, καί θά ἀκούσει τή φωνή μου. Ὁ Κύριος θά λυτρώσει τήν ψυχή μου ἀπό τούς ἐχθρούς πού μέ πλησιάζουν, ὅσο πολλοί κι ἄν εἶναι, χαρίζοντάς μου εἰρήνη. Θά μέ ἀκούσει ὁ Θεός, καί θά τούς ταπεινώσει, αὐτός πού εἶναι προαιώνιος. Διότι δέν ὑπάρχει σ' αὐτούς καμμιά ἀλλαγή πρός τό καλό, ἐπειδή δέν σεβάσθηκαν τόν Θεό. Γι' αὐτό ἅπλωσε τό χέρι του, γιά νά τούς ἀνταποδώσει, ὅ,τι τούς ἄξιζε. Διότι καταπάτησαν τή διαθήκη του, τό νόμο τοῦ Θεοῦ. Γι' αὐτό ἔγιναν κομμάτια μπροστά στήν ὀργή τοῦ προσώπου του, αὐτοί πού ἔνωσαν σέ συνωμοσία τήν καρδιά τους. Τά λόγια τοῦ ἀρχηγοῦ τους (τά λόγια τους) φαίνονταν πιό ἁπαλά ἀπό τό λάδι, ἀλλά στήν πραγματικότητα ἦταν βολίδες (φαρμακερά βέλη). Ρίξε, ψυχή μου, τή φροντίδα σου, ἐπάνω στόν Κύριο καί αὐτός θά ἐξασφαλίσει τή διατροφή σου· Δέν θά ἐπιτρέψει νά ἐπικρατεῖ διαρκής θαλασσοταραχή στόν δίκαιο. Ἐσύ ὅμως, Θεέ μου, θά τούς κατεβάσεις (θά τούς κατα-

διαφθορᾶς. Ἄνδρες αἱμάτων καὶ δολιότητος οὐ μὴ ἡμισεύσωσιν τὰς ἡμέρας αὐτῶν, ἐγὼ δὲ, Κύριε, ἐλπιῶ ἐπὶ σὲ. Ψαλμὸς #(90). Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου, ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται. Ἐρεῖ τῷ Κυρίῳ· Ἀντιλήπτωρ μου εἶ, καὶ φυγή μου, ὁ Θεός μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν. Ὅτι αὐτὸς ῥύσεταί σε ἐκ παγίδος θηρευτῶν, καὶ ἀπὸ λόγου ταραχώδους. Ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι, καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς, ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ. Οὐ φοβηθήσει ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ βέλους πετομένου ἡμέρας. Ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου, ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ. Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιάς, καὶ μυριὰς ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ. Πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις, καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψει. Ὅτι σύ, Κύριε, ἡ ἐλπίς μου, τὸν Ὕψιστον ἔθου καταφυγήν σου. Οὐ προσελεύσεται πρὸς σὲ κακά, καὶ μάστιξ οὐκ ἐγγιεῖ ἐν τῷ σκηνώματί σου.			θάψεις) σέ πηγάδι ἀφανισμοῦ. Ἄνθρωποι πού χύνουν αἵματα ἀθώων, καί εἶναι γεμάτοι ἀπό δολιότητα, δέν θά προλάβουν νά φθάσουν στή μέση τῆς ζωῆς τους· Ἐγώ ὅμως, Κύριε, θά ἔχω τήν ἐλπίδα μου στηριγμένη σ' ἐσένα. ΨΑΛΜΟΣ. #(90). Αὐτός πού κατοικεῖ κάτω ἀπό τή βοήθεια τοῦ Ὑψίστου, θά ἀναπαύεται κάτω ἀπό τή σκέπη τοῦ Θεοῦ τοῦ Οὐρανοῦ. Θά λέγει στόν Κύριο· Εἶσαι βοηθός μου καί καταφύγιό μου· (Αὐτός εναι) ὁ Θεός μου, καί θά ἐλπίζω σ' αὐτόν· Διότι αὐτός θά σέ γλυτώσει ἀπό τήν παγίδα τῶν κυνηγῶν, καί ἀπό κάθε λόγο πού φέρνει ταραχή. Μέ τά νῶτα του θά σέ σκεπάζει καί θά ἐλπίζεις στήν προστασία τῶν φτερῶν του· ὡς ἀσπίδα θά σέ περικυκλώσει ἡ ἀλήθειά του. Δέν θά φοβηθεῖς ἀπό φόβο νυχτερινό, ἀπό βέλος πού πετᾷ τήν ἡμέρα· Ἀπό κάθε πρᾶγμα πού περιπατεῖ μέσα στό σκοτάδι, ἀπό κάθε συναπάντημα καί δαιμόνιο, πού ἐνεργεῖ κατά τό μεσημέρι. Θά πέφτουν (νεκροί) χίλιοι ἀπό τά ἀριστερά σου καί δέκα χιλιάδες ἀπό τά δεξιά σου, ἐσένα ὅμως δέν θά σέ πλησιάσει (τό κακό). Ἀντίθετα, ἐσύ θά ἔχεις ἀνοιχτά τά μάτια σου, καί θά βλέπεις, πῶς τιμωροῦνται οἱ ἁμαρτωλοί. (Θά λές)· ἐσύ, Κύριε, εἶσαι ἡ ἐλπίδα μου. (Καί ἡ ἀπάντηση)· τόν Ὕψιστο ἔβελες καταφύγιό σου. Δέν θά σέ πλησιάσουν ποτέ κακά, καί καμμιά μάστιγα ἀσθενείας δέν θά πλησιάσει στήν κατοικία σου.

Ὅτι τοῖς Ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου. Ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. Ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσει, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα. Ὅτι ἐπ ἐμὲ ἤλπισε, καὶ ῥύσομαι αὐτόν, σκεπάσω αὐτόν, ὅτι ἔγνω τὸ ὄνομά μου. Κεκράξεται πρὸς με, καὶ εἰσακούσομαι αὐτοῦ, μέτ' αὐτοῦ εἰμι ἐν θλίψει, ἐξελοῦμαι αὐτόν, καὶ δοξάσω αὐτόν. Μακρότητα ἡμερῶν ἐμπλήσω αὐτόν, καὶ δείξω αὐτῷ τὸ σωτηριόν μου. Δόξα... Καί νῦν… Ἀλληλούια (γ'.). Δόξα σοι ὁ Θεός, (γ'.). Κύριε, ἐλέησον (γ'). Δόξα… Ὁ ἐν ἕκτῃ ἡμέρᾳ τε καὶ ὥρᾳ, τῷ Σταυρῷ προσηλώσας, τὴν ἐν τῷ Παραδείσῳ τολμηθεῖσαν τῷ Ἀδὰμ ἁμαρτίαν, καὶ τῶν πταισμάτων ἡμῶν τὸ χειρόγραφον, διάρρηξον Χριστὲ ὁ Θεὸς καὶ σῶσον ἡμᾶς. Στίχ: Ἐνώτισαι ὁ Θεὸς τὴν προσευχήν μου καὶ μὴ ὑπερίδῃς τὴν δέησίν μου. Στίχ: Ἐγὼ πρὸς τὸν Θεὸν ἐκέκραξα καὶ ὁ Κύριος εἰσήκουσέ μου.			Διότι θά δώσει ἐντολή στούς Ἀγγέλους του, νά σέ διαφυλάξουν σέ ὅλες τίς πορεῖες (τῆς ζωῆς) σου· Θά σέ σηκώσουν στά χέρια, γιά νά μή σκοντάψει τό πόδι σου σέ καμμιά πέτρα. Θά πατήσεις ἐπάνω σέ ἀσπίδα καί βασιλίσκο (δηλητηριώδη φίδια) καί δέν θά πάθεις τίποτε, καί θά καταπατήσεις λιοντάρια καί δράκοντες. Ἐπειδή ὁ δοῦλος μου αὐτός στήριξε τήν ἐλπίδα του σ' ἐμένα, (λέγει ὁ Θεός), θά τόν γλυτώσω (ἀπό κάθε κίνδυνο)· Θά τόν σκεπάσω προστατευτικά, γιατί ἀναγνωρίζει τό ὄνομά μου. Θά κράζει πρός ἐμένα καί θά τόν ἀκούω, θά εἶμαι μαζί του σέ κάθε θλίψη· Θά τόν βγάλω ἀπό τίς δοκιμασίες καί θά τόν δοξάσω. Θά χαρίσω σ' αὐτόν μακροημέρευση, καί θά τοῦ δείχνω τή σωτηρία μου. Δόξα... Καί νῦν… Ἀλληλούια (γ'.). Δόξα σοι ὁ Θεός. Κύριε, ἐλέησον (γ'.). Δόξα… Ἐσύ πού κατά τήν ἕκτη ἡμέρα καί ὥρα κάρφωσες στό Σταυρό τήν ἁμαρτία, πού ἀποτολμήθηκε ἀπό τόν Ἀδάμ στόν παράδεισο, Χριστέ Θεέ μας, σχίσε καί τό γραμμάτιο τῶν ἁμαρτιῶν μας καί σῶσε μας. Στίχ. Δέξου, Θεέ μου, στά αὐτιά σου τήν προσευχή μου, καί μήν παραβλέψεις τή δέησή μου. Στίχ. Ἐγώ ἔκραξα πρός τόν Θεό, καί ὁ Κύριος μέ ἄκουσε.

Καὶ νῦν... Θεοτοκίον. Ὅτι οὐκ ἔχομεν παρρησίαν διὰ τὰ πολλὰ ἡμῶν ἁμαρτήματα, σὺ τὸν ἐκ σοῦ γεννηθέντα δυσώπησον, Θεοτόκε Παρθένε· πολλὰ γὰρ ἰσχύει δέησις Μητρὸς πρὸς εὐμένειαν Δεσπότου. Μὴ παρίδῃς ἁμαρτωλῶν ἱκεσίας ἡ πάνσεμνος, ὅτι ἐλεήμων ἐστί, καὶ σῴζειν δυνάμενος, ὁ καὶ παθεῖν ὑπὲρ ἡμῶν καταδεξάμενος. Τῇ Μεγάλῃ Τεσσαρακοστῇ. (Ἡ Προφητεία μετά τοῦ τροπαρίου). Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, Κύριε, ὅτι ἐπτωχεύσαμεν σφόδρα· βοήθησον ἡμῖν, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου. Κύριε, ῥῦσαι ἡμᾶς, καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν, ἕνεκεν τοῦ ὀνοματός σου. Τρισάγιον. (Σελίς 15-16). Τροπάρια. Σωτηρίαν εἰργάσω ἐν μέσῳ τῆς γῆς, Χριστέ ὁ Θεὸς, ἐπὶ Σταυροῦ τὰς ἀχράντους σου χεῖρας ἐξέτεινας, ἐπισυνάγων πάντα τὰ ἔθνη κράζοντα· Κύριε, δόξα σοι. Δόξα Πατρί... Τὴν ἄχραντον Εἰκόνα σου προσκυνοῦμεν Ἀγαθέ, αἰτούμενοι συγχώρησιν τῶν πταισμάτων ἡμῶν, Χριστὲ ὁ Θεός, βουλήσει γὰρ ηὐδόκησας σαρκὶ ἀνελθεῖν ἐν τῷ Σταυρῷ, ἵνα ῥύσῃ οὓς ἔπλασας ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ, ὅθεν εὐχαρίστως βοῶμέν σοι· Χαρᾶς ἐπλήρωσας τὰ πάντα, ὁ Σωτὴρ ἡμῶν, παραγενόμενος εἰς τὸ			Καί νῦν .... Θεοτοκίο. Ἐπειδή δέν ἔχουμε παρρησία (θάρρος) ἐξ αἰτίας τῶν πολλῶν μας ἁμαρτημάτων, ἐσύ παρακάλεσε αὐτόν πού γεννήθηκε ἀπό σένα, Θεοτόκε Παρθένε· Γιατί ἔχει πολύ μεγάλη δύναμη ἡ προσευχή τῆς Μητέρας, γιά νά ἐξευμενίσει τόν Κύριο. Μή παραβλέψεις, Πάνσεμνη, τίς ἱκεσίες ἡμῶν τῶν ἁμαρτωλῶν, διότι εἶναι ἐλεήμων καί μπορεῖ νά μᾶς σώζει, αὐτός πού καταδέχθηκε νά πάθει γιά μᾶς. Κατά τή Μεγάλη Σαρακοστή. (Ἡ Προφητεία μέ τό τροπάριό της). Ἄς μᾶς προλάβουν γρήγορα τά ἐλέη σου, Κύριε, γιατί εἴμαστε πολύ φτωχοί (ταλαιπωρημένοι)· Βοήθησέ μας, Θεέ Σωτήρα μας, γιά τή δόξα τοῦ ὀνόματός σου· Κύριε, λύτρωσέ μας καί συγχώρησε τίς ἁμαρτίες μας, γιά χάρη τοῦ ὀνόματός σου. Τρισάγιο. (Σελίδα 15-16). Τροπάρια. Πραγματοποίησες σωτηρία στή μέση τῆς γῆς, Χριστέ Θεέ μας· ἅπλωσες ἐπάνω στό Σταυρό τά ἀμόλυντα χέρια σου, γιά νά συγκεντρώσεις ὅλα τά ἔθνη πού κράζουν· Κύριε, δόξα σ' ἐσένα. Δόξα Πατρί... Τήν ἀμόλυντη εἰκόνα σου προσκυνοῦμε, Ἀγαθέ, ζητώντας συγχώρηση τῶν πταισμάτων μας, Χριστέ Θεέ μας· Διότι μέ τή θέλησή σου καταδέχθηκες, νά ἀνεβεῖς μέ τό σῶμα σου στό Σταυρό, γιά νά λυτρώσεις αὐτούς πού ἔπλασες, ἀπό τή σκλαβιά τοῦ ἐχθροῦ. Γι' αὐτό εὐχαρίστως φωνάζουμε σ' ἐσένα· Γέμισες ἀπό χαρά τά πάντα, Σωτήρα μας, ἐρχόμενος, γιά νά σώσεις τόν κόσμο.

σῶσαι τὸν Κόσμον. Καὶ νῦν... Θεοτοκίον. (Τῇ Δευτέρᾳ, Τρίτῃ καὶ Πέμπτῃ). Εὐσπλαγχνίας ὑπάρχουσα πηγή, συμπαθείας ἀξίωσον ἡμᾶς, Θεοτόκε· βλέψον εἰς λαὸν τὸν ἁμαρτήσαντα, δεῖξον ὡς αεὶ τὴν δυναστείαν σου· εἰς σὲ γὰρ ἐλπίζοντες, τὸ χαῖρε βοῶμέν σοι, ὥς ποτε ὁ Γαβριὴλ, ὁ τῶν ἀσωμάτων ἀρχιστράτηγος. (Τῇ Τετάρτῃ καί Παρασκευῇ). Ὑπερδεδοξασμένη ὑπάρχεις, Θεοτόκε Παρθένε, ὑμνοῦμέν σε, διὰ γάρ τοῦ Σταυροῦ τοῦ Υἱοῦ σου, κατεβλήθη ὁ ᾅδης, καὶ ὁ θάνατος τέθνηκε, νεκρωθέντες ἀνέστημεν, καὶ ζωῆς ἠξιώθημεν, τὸν Παράδεισον ἐλάβομεν, τὴν ἀρχαίαν ἀπόλαυσιν, διὸ εὐχαριστοῦντες δοξολογοῦμεν, ὡς κραταιὸν Χριστὸν τὸν Θεὸν ἡμῶν, καὶ μόνον πολυέλεον. Κύριε ἐλέησον Μ'. (40). Ὁ ἐν παντὶ καιρῷ…(Σελίς 146-147). Εὐχή. Θεέ, καὶ Κύριε τῶν δυνάμεων καὶπάσης κτίσεως Δημιουργέ, ὁ διὰ σπλάγχνα ἀνεικάστου ἐλέους σου τὸν μονογενῆ σου Υἱόν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, καταπέμψας ἐπὶ σωτηρίᾳ τοῦ γένους ἡμῶν, καὶ διὰ τοῦ τιμίου αὐτοῦ Σταυροῦ τὸ χειρόγραφον τῶν ἁμαρτιῶν ἡμῶν διαρρήξας, καὶ θριαμβεύσας ἐν αὐτῷ τὰς ἀρχὰς καὶ ἐξουσίας τοῦ σκότους. Αὐτὸς Δέσποτα φιλάνθρωπε, πρόσδεξαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὰς			Καί νῦν... Θεοτοκίο. (Δευτέρα, Τρίτη καί Πέμπτη). Ἐπειδή εἶσαι πηγή τῆς εὐσπλαχνίας, κάνε μας ἄξιους συμπαθείας, Θεοτόκε· Ρίξε σπλαχνικό βλέμμα στόν λαό πού ἁμάρτησε, δεῖξε ὅπως πάντα τή δύναμή σου· Διότι ἐλπίζοντας σ' ἐσένα σοῦ φωνάζουμε τό Χαῖρε, ὅπως κάποτε ὁ Γαβριήλ, ὁ Ἀρχιστράτηγος τῶν Ἀσωμάτων. (Τήν Τετάρτη καί Παρασκευή). Εἶσαι ὑπερβολικά δοξασμένη, Θεοτόκε Παρθένε, γι' αὐτό σέ ὑμνοῦμε· Διότι μέ τό Σταυρό τοῦ Υἱοῦ σου νικήθηκε ὁ ᾅδης καί ὁ θάνατος πέθανε· Ἐνῶ ἤμασταν νεκροί, ἀναστηθήκαμε καί γίναμε ἄξιοι γιά τήν αἰώνια ζωή· Πήραμε τόν παράδεισο, τήν ἀρχαία ἀπόλαυση. Γι' αὐτό δοξολογοῦμε εὐχαριστώντας τό Χριστό τόν Θεό μας, ὡς δυνατόν καί μόνο πολυέλεο. Κύριε ἐλέησον. Μ'. (40 φορές). Ὁ ἐν παντί καιρῷ...». (Σελίδα 146-147). Εὐχή. Θεέ καί Κύριε τῶν Δυνάμεων, καί Δημιουργέ ὅλης τῆς κτίσεως, Ἐσύ πού ἀπό τήν εὐσπλαχνία τοῦ ἀνυπολογίστου ἐλέους σου, ἔστειλες τό Μονογενῆ σου Υἱό, τόν Κύριό μας Ἰησοῦ Χριστό, γιά τή σωτηρία τοῦ γένους μας, καί μέ τόν Τίμιο Σταυρό σου ἔσχισες τό γραμμάτιο τῶν ἁμαρτιῶν μας, καί ἐξευτέλισες θριαμβευτικά τίς ἀρχές καί ἐξουσίες τοῦ σκότους· ἐσύ ὁ ἴδιος, Κύριε, δεξου τίς εὐχαριστήριες αὐτές καί ἱκετευτικές προσευχές ἡμῶν τῶν ἁμαρτωλῶν, καί γλύτωσέ μας ἀπό κάθε σκοτεινό καί ὀλέθριο σφάλμα, καί ἀπό ὅλους

εὐχαριστηρίους ταύτας, καὶ ἱκετηρίους ἐντεύξεις, καὶ ῥῦσαι ἡμᾶς ἀπὸ παντὸς ὀλεθρίου καὶ σκοτεινοῦ παραπτώματος, καὶ πάντων τῶν κακῶσαι ἡμᾶς ζητούντων ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν. Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας ἡμῶν, καὶ μὴ ἐκκλίνῃς τὰς καρδίας ἡμῶν εἰς λόγους, ἢ εἰς λογισμοὺς πονηρίας, ἀλλὰ τῷ πόθῳ σου τρῶσον ἡμῶν τὰς ψυχάς. Ἵνα διὰ παντὸς πρὸς σὲ ἀτενίζοντες, καὶ τῷ παρὰ σοῦ φωτὶ ὁδηγούμενοι, σὲ τὸ ἀπρόσιτον καὶ ἀΐδιον κατοπτεύοντες φῶς, ἀκατάπαυστόν σοι τὴν ἐξομολόγησιν, καὶ εὐχαριστίαν ἀναπέμπωμεν, τῷ ἀνάρχῳ Πατρί, σὺν τῷ μονογενεῖ σου Υἱῷ, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ Θ'. ΩΡΑΣ Δεῦτε προσκυνήσωμεν… (Σελίς 140). ΨΑΛΜΟΣ ΠΓ'. (83). Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν Δυνάμεων, ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου. Ἡ καρδία μου καὶ ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπὶ Θεὸν ζῶντα· καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ, οὗ θήσει τὰ νοσσία ἑαὐτῆς. Τὰ θυσιαστήριά σου, Κύριε τῶν δυνάμεων ὁ Βασιλεύς μου καὶ ὁ Θεός μου . Μακάριοι οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου εἰς			τούς ὁρατούς καί ἀοράτους ἐχθρούς μας, πού ζητοῦν νά μᾶς κάνουν κακό. Κάρφωσε (ἀκινητοποίησε) μέ τό δικό σου φόβο τίς σαρκικές μας ἐπιθυμίες, καί μήν ἀφήνεις νά παρεκτραποῦν οἱ καρδιές μας σέ λόγους ἤ σέ λογισμούς πονηρίας· Ἀλλά μέ τό δικό σου πόθο τραυμάτισε (καί αἰχμαλώτισε) τίς ψυχές μας. Ὥστε ἀτενίζοντας γιά πάντα σ' ἐσένα, καί ὁδηγούμενοι ἀπό τό δικό σου φῶς, βλέποντας μέ προσοχή ἐσένα τό ἀπρόσιτο (τό ἀπλησίαστο) καί αἰώνιο φῶς, νά ἀναπέμπουμε τήν ἀκατάπαυστη δοξολογία καί εὐχαριστία σ' ἐσένα τόν Ἄναρχο Πατέρα, μαζί μέ τόν Μονογενῆ σου Υἱό καί τό Ἅγιο καί ἀγαθό καί ζωοποιό σου Πνεῦμα, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν. ΩΡΑ ΕΝΑΤΗ Δεῦτε προσκυνήσωμεν… (Σελίς 140). ΨΑΛΜΟΣ. ΠΓ'. (83). Πόσο ἀγαπητά εἶναι τά σκηνώματά σου (ὁ ναός σου), Κύριε τῶν Δυνάμεων! Ποθεῖ πολύ καί σβήνει ἡ ψυχή μου, γιά νά βρεθεῖ στίς αὐλές τοῦ Κυρίου. Ἡ καρδιά μου καί τό σῶμα μου σκιρτοῦν ἀπό τόν πόθο γιά τό ζωντανό Θεό. Καί αὐτά τά σπουργίτια βρῆκαν κατοικία γιά τόν ἑαυτό τους στό ναό, καί τό τρυγόνι φωλιά γιά τόν ἑαυτό του, ὅπου θά βάλει τά μικρά του· Κι ἐγώ ποθῶ, Κύριε τῶν Δυνάμεων, τά θυσιαστήριά σου (τό ναό σου), Βασιλιά μου καί Θεέ μου. Εἶναι μακάριοι (τρισευτυχισμένοι) αὐτοί πού κατοικοῦν

τοὺς αἰῶνας τῶν αἰώνων αἰνέσουσί σε. Μακάριος ἀνὴρ ᾧ ἐστιν ἡ ἀντίληψις αὐτοῦ παρὰ σοῦ· Ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο, ἐν τῇ κοιλάδι τοῦ κλαυθμῶνος εἰς τόν τόπον ὃν ἔθετο· Καί γὰρ εὐλογίας δώσει ὁ νομοθετῶν· πορεύσονται ἐκ δυνάμεως εἰς δύναμιν ὀφθήσεται ὁ Θεὸς τῶν Θεῶν ἐν Σιών. Κύριε ὁ Θεὸς τῶν δυνάμεων εἰσάκουσον τῆς προσευχῆς μου ἐνώτισαι ὁ Θεὸς Ἰακώβ. Ὑπερασπιστὰ ἡμῶν ἴδε ὁ Θεὸς καὶ ἐπίβλεψον ἐπὶ τὸ πρόσωπον τοῦ χριστοῦ σου. Ὅτι κρείσσων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας. Ἐξελεξάμην παραρριπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μᾶλλον ἢ οἰκεῖν ἐν σκηνώμασιν ἁμαρτωλῶν. Ὅτι ἔλεον καὶ ἀλήθειαν ἀγαπᾷ Κύριος ὁ Θεὸς, χάριν καὶ δόξαν δώσει· Κύριος οὐ στερήσει τὰ ἀγαθὰ τοῖς πορευομένοις ἐν ἀκακίᾳ. Κύριε ὁ Θεός τῶν δυνάμεων, μακάριος ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σὲ. ΨΑΛΜΌΣ ΠΔ'. (84). Εὐδόκησας Κύριε τὴν γῆν σου ἀπέστρεψας τὴν			στίς αὐλές τοῦ ναοῦ σου, διότι θά σέ ὑμνολογοῦν αἰώνια (οἱ ἴδιοι καί οἱ ἀπόγονοί τους). Εἶναι μακάριος ὁ ἄνθρωπος πού βρίσκεται κάτω ἀπό τή βοήθειά σου, ὁ ὁποῖος ἀποφάσισε μέ τήν καρδιά του, νά ἀνεβεῖ στήν Ἱερουσαλήμ, θά περάσει ἀπό τήν κοιλάδα τοῦ «κλαυθμῶνος» (τοῦ θρήνου), γιά νά φθάσει στόν τόπο πού ἔβαλε στό νοῦ του. Καί ἐκεῖ θά δώσει εὐλογίες ὁ Θεός πού νομοθέτησε (καθιέρωσε τούς ἱερούς τόπους καί τίς ἑορτές). Θά προχωροῦν πρός τήν Ἱερουσαλήμ μέ ἀνανεωμένες δυνάμεις, καί ἐκεῖ θά ἐμφανισθεῖ σ' αὐτούς ὁ Θεός τῶν θεῶν. Κύριε Θεέ τῶν Δυνάμεων, εἰσάκουσε τήν προσευχή μου, δέξου την στά αὐτιά σου, Θεέ τοῦ Ἰακώβ. Ἐσύ πού εἶσαι ὑπερασπιστής μας, Θεέ μου, δές καί ρίξε βλέμμα συμπαθείας πρός τό πρόσωπο τοῦ βασιλιᾶ μας πού εἶναι χρισμένος ἀπό σένα. Διότι εἶναι καλλίτερη μιά ἡμέρα στίς αὐλές σου ἀπό χιλιάδες ἡμέρες μακριά σου. Προτιμῶ περισσότερο, νά εἶμαι παραπεταμένος στίς αὐλές τοῦ οἴκου τοῦ Θεοῦ μου, παρά νά κατοικῶ σέ μέγαρα ἁμαρτωλῶν. Διότι ὁ Κύριος ὁ Θεός ἀγαπᾷ τό ἔλεος καί τήν ἀλήθεια, θά δώσει στούς προσκυνητές του χάρη καί δόξα· Ὁ Κύριος, δέν θά στερήσει τά ἀγαθά ἀπό αὐτούς πού πορεύονται μέ ἀγαθότητα. Κύριε Θεέ τῶν Δυνάμεων, εἶναι μακάριος ὁ ἄνθρωπος πού στηρίζει τήν ἐλπίδα του σ' ἐσένα. ΨΑΛΜΟΣ ΠΔ'. (84). Ἔδειξες τήν εὐαρέσκεια (τήν ἀγάπη) σου, Κύριε, στή γῆ

αἰχμαλωσίαν Ἰακὼβ. Ἀφῆκας τὰς ἀνομίας τῷ λαῷ σου ἐκάλυψας πάσας τὰς ἁμαρτίας αὐτῶν. Κατέπαυσας πᾶσαν τὴν ὀργήν σου, ἀπέστρεψας ἀπὸ ὀργῆς θυμοῦ σου. Ἐπίστρεψον ἡμᾶς ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν καὶ ἀπόστρεψον τὸν θυμόν σου ἀφ' ἡμῶν. Μὴ εἰς τὸν αἰῶνα ὀργισθῇς ἡμῖν; ἢ διατενεῖς τὴν ὀργήν σου ἀπὸ γενεᾶς εἰς γενεάν; Ὁ Θεὸς σὺ ἐπιστρέψας ζωώσεις ἡμᾶς καὶ ὁ λαός σου ὐφρανθήσεται ἐπὶ σοὶ. Δεῖξον ἡμῖν Κύριε τὸ ἔλεός σου καὶ τὸ σωτήριόν σου δῴης ἡμῖν. Ἀκούσομαι τὶ λαλήσει ἐν ἐμοὶ Κύριος ὁ Θεὸς, ὅτι λαλήσει εἰρήνην ἐπὶ τὸν λαὸν αὐτοῦ καὶ ἐπὶ τοὺς ὁσίους αὐτοῦ καὶ ἐπὶ τοὺς ἐπιστρέφοντας καρδίαν ἐπ' αὐτόν. Πλὴν ἐγγὺς τῶν φοβουμένων αὐτὸν τὸ σωτήριον αὐτοῦ τοῦ κατασκηνῶσαι δόξαν ἐν τῇ γῇ ἡμῶν. Ἔλεος καὶ ἀλήθεια συνήντησαν, δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν. Ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλεν καὶ δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ διέκυψε. Καὶ γὰρ ὁ Κύριος δώσει χρηστότητα καὶ ἡ γῆ ἡμῶν δώσει τὸν καρπὸν αὐτῆς. Δικαιοσύνη ἐνώπιον αὐτοῦ προπορεύσεται καὶ			τῆς ἐπαγγελίας, διότι ἐπανέφερες σ' αὐτήν τούς αἰχμαλώτους ἀπογόνους τοῦ Ἰακώβ. Συγχώρησες τίς ἀνομίες τοῦ λαοῦ σου, σκέπασες ὅλες τίς ἁμαρτίες του. Ἔπαυσες ὅλη τήν ὀργή σου, παραμέρισες τήν ὀργή τοῦ θυμοῦ σου. Κάνε νά ἐπιστρέψουμε ὅλοι, Θεέ Σωτήρα μας, καί παραμέρισε τό θυμό σου ἀπό μᾶς. Μήπως θά εἶσαι ὀργισμένος ἐναντίον μας αἰώνια; ἤ θά παρατείνεις τήν ὀργή σου ἀπό γενιά σέ γενιά; Θεέ μου, ἐσύ θά γυρίσεις καί θά μᾶς δώσεις ζωή, καί ὁ λαός σου θά χαρεῖ ἀπό σένα. Δεῖξε σ' ἐμᾶς, Κύριε, τό ἔλεός σου, καί δός μας τή σωτηρία σου. Θά ἀκούσω προσεκτικά, τί θά πεῖ σ' ἐμένα ὁ Κύριος ὁ Θεός, διότι θά μιλήσει εἰρηνικά στόν λαό του, καί στούς ἀφοσιωμένους σ' αὐτόν, καί σ' αὐτούς πού ἐπιστρέφουν μέ τήν καρδιά τους πρός αὐτόν. Βέβαια ἡ σωτηρία του εἶναι κοντά σ' αὐτούς πού τόν εὐλαβοῦνται, ὥστε νά ἐγκατασταθεῖ ἡ δόξα τοῦ Θεοῦ στή γῆ μας. Τό ἔλεος καί ἡ ἀξιοπιστία τοῦ Θεοῦ στίς ὑποσχέσεις του συναντήθηκαν, ἡ δικαιοσύνη καί ἡ εἰρήνη, φιλήθηκαν μεταξύ τους. Ἡ ἀλήθεια ἀνέτειλε ἀπό τή γῆ, καί ἡ δικαιοσύνη (ἡ ἀρετή) ἔσκυψε ἀπό τόν οὐρανό στή γῆ. Διότι ὁ Κύριος θά δείξει τήν ἀγαθότητά του, καί ἡ γῆ θά ἀποδώσει τούς καρπούς της. Μπροστά του θά προπορεύεται ἡ δικαιοσύνη (ἡ ἀρετή),

θήσει εἰς ὁδὸν τὰ διαβήματα αὐτοῦ. ΨΑΛΜΟΣ ΠΕ΄. (85). Κλῖνον Κύριε τὸ οὖς σου καὶ ἐπάκουσόν μου, ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγὼ. Φύλαξον τὴν ψυχήν μου, ὅτι ὅσιός εἰμι, σῶσον τὸν δοῦλόν σου ὁ Θεός μου, τὸν ἐλπίζοντα ἐπὶ σὲ. Ἐλέησόν με, Κύριε, ὅτι πρὸς σὲ κεκράξομαι, ὅλην τὴν ἡμέραν, εὔφρανον τὴν ψυχὴν τοῦ δούλου σου, ὅτι πρὸς σὲ Κύριε ἦρα τὴν ψυχήν μου. Ὅτι σὺ Κύριε χρηστὸς καὶ ἐπιεικὴς καὶ πολυέλεος πᾶσι τοῖς ἐπικαλουμένοις σε. Ἐνώτισαι Κύριε τὴν προσευχήν μου καὶ πρόσσχες τῇ φωνῇ τῆς δεήσεώς μου. Ἐν ἡμέρᾳ θλίψεώς μου ἐκέκραξα πρὸς σὲ, ὅτι εἰσήκουσάς μου. Οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, Κύριε, καὶ οὐκ ἔστιν κατὰ τὰ ἔργα σου. Πάντα τὰ ἔθνη ὅσα ἐποίησας ἥξουσιν καὶ προσκυνήσουσιν ἐνώπιόν σου, Κύριε καὶ δοξάσουσιν τὸ ὄνομά σου. Ὅτι μέγας εἶ σὺ καὶ ποιῶν θαυμάσια σὺ εἶ Θεὸς μόνος . Ὁδήγησόν με, Κύριε, ἐν τῇ ὁδῷ σου καὶ πορεύσομαι ἐν τῇ ἀληθείᾳ σου, εὐφρανθήτω ἡ καρδία μου τοῦ φοβεῖσθαι τὸ ὄνομά σου. Ἐξομολογήσομαί σοι, Κύριε ὁ Θεός μου, ἐν ὅλῃ καρδίᾳ μου καὶ δοξάσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα.			καί θά κάνει τά βήματά του παράδειγμα συμπεριφορᾶς γιά ὅλους μας. ΨΑΛΜΟΣ ΠΕ΄. (85). Στρέψε, Κύριε, τό αὐτί σου καί ἐπάκουσέ με, διότι ἐγώ εἶμαι φτωχός καί ἄθλιος κοινωνικά. Προφύλαξε τήν ψυχή μου, γιατί ἐγώ εἶμαι ἀφοσιωμένος σ’ ἐσένα· σῶσε, Θεέ μου, τό δοῦλο σου πού ἐλπίζει σ’ ἐσένα. Ἐλέησέ με, Κύριε, γιατί σ’ ἐσένα κράζω ὅλη τήν ἡμέρα. Γέμισε μέ χαρά τήν ψυχή τοῦ δούλου σου, γιατί σ’ ἐσένα ὕψωσα τήν ψυχή μου. Γιατί ἐσύ, Κύριε, εἶσαι ἀγαθός καί ἐπιεικής καί πολυέλεος, σέ ὅλους πού σέ ἐπικαλοῦνται. Δέξου στ’ αὐτιά σου, Κύριε, τήν προσευχή μου, καί δῶσε προσοχή στή φωνή τῆς παρακλήσεώς μου. Κατά τήν ἡμέρα τῆς θλίψεώς μου ἔκραξα σ’ ἐσένα, διότι (καί ἄλλοτε) μέ ἄκουσες. Δέν ὑπάρχει, Κύριε, ὅμοιος μ’ ἐσένα μεταξύ τῶν νομιζομένων θεῶν, καί δέν ὑπάρχουν ἄλλα ἔργα ὅπως τά δικά σου. Ὅλα τά ἔθνη, ὅσα ἔκανες, θά ἔλθουν καί θά προσκυνήσουν μπροστά σου, Κύριε, καί θά δοξάσουν τό ὄνομά σου. Διότι ἐσύ εἶσαι μέγας καί πραγματοποιεῖς θαυμάσια (ἔργα), ἐσύ εἶσαι Θεός μόνος. Ὁδήγησέ με, Κύριε στό δρόμο (τοῦ θελήματός) σου, καί θά πορεύομαι σύμφωνα μέ τήν ἀλήθειά σου· Θά εὐφρανθεῖ ἡ καρδιά μου, καθώς θά σέβεται τό ὄνομά σου. Θά σέ ὑμνῶ, Κύριε, μέ ὅλη τήν καρδιά μου, καί θά δοξάζω τό ὄνομά σου αἰώνια.

Ὅτι τὸ ἔλεός σου μέγα ἐπ' ἐμὲ καὶ ἐρρύσω τὴν ψυχήν μου ἐξ ᾅδου κατωτάτου. Ὁ Θεὸς, παράνομοι ἐπανέστησαν ἐπ' ἐμὲ καὶ συναγωγὴ κραταιῶν ἐζήτησαν τὴν ψυχήν μου καὶ οὐ προέθεντό σε ἐνώπιον αὐτῶν. Καὶ σὺ, Κύριε ὁ Θεὸς μου, οἰκτίρμων καὶ ἐλεήμων μακρόθυμος καὶ πολύέλεος καὶ ἀληθινὸς. Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με, δὸς τὸ κράτος σου τῷ παιδί σου καὶ σῶσον τὸν υἱὸν τῆς παιδίσκης σου. Ποίησον μέτ' ἐμοῦ σημεῖον εἰς ἀγαθὸν καὶ ἰδέτωσαν οἱ μισοῦντές με καὶ αἰσχυνθήτωσαν, ὅτι σὺ Κύριε ἐβοήθησάς μοι καὶ παρεκάλεσάς με. (Δίς). Δόξα Πατρί... Καί νῦν καί ἀεί… Ἀλληλούια (γ'.). Δόξα σοι ὁ Θεός.) Κύριε, ἐλέησον (γ'.). Δόξα Πατρί... Ὁ ἐν τῇ ἐνάτῃ ὥρᾳ δι' ἡμᾶς, σαρκὶ τοῦ θανάτου γευσάμενος, νέκρωσον τῆς σαρκὸς ἡμῶν τὸ φρόνημα, Χριστὲ ὁ Θεὸς καὶ σῶσον ἡμᾶς. Στιχ: Ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου, Κύριε, κατὰ τὸ λόγιόν σου συνέτισόν με. Στιχ: Εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου, Κύριε, κατὰ τὸ λόγιόν σου ῥῦσαί με. Καὶ νῦν ... Θεοτοκίον. Ὁ δι' ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου καὶ σταύρωσιν ὑπομείνας Ἀγαθέ, ὁ θανάτῳ τὸν			Διότι τό ἔλεός σου εἶναι μεγάλο ἐπάνω μου, καί γλύτωσες τήν ψυχή μου ἀπό τά κατάβαθα τοῦ ᾅδη. Θεέ μου, παράνομοι (ἄνθρωποι) ἐξεγέρθηκαν ἐναντίον μου, καί συμμορία ἰσχυρῶν (ἀνθρώπων) ἀπαίτησαν τήν ψυχή μου (ζήτησαν νά ἀφαιρέσουν τή ζωή μου), καί δέν σέ ἔλαβαν καθόλου ὑπόψη τους. Ἀλλά ἐσύ, Κύριε καί Θεέ μου, εἶσαι σπλαχνικός καί ἐλεήμων, μεγαλόψυχος καί πολυέλεος καί ἀληθινός (ἀξιόπιστος). Κοίταξέ με μέ ἀγάπη καί ἐλέησέ με· Δῶσε τή δύναμή σου σ' ἐμένα τό δοῦλο σου, καί σῶσε τό γιό τῆς δούλης σου. Κάνε σ' ἐμένα θαῦμα γιά τό καλό μου, γιά νά τό δοῦν αὐτοί πού μέ μισοῦν καί νά ντροπιασθοῦν· Διότι Ἐσύ, Κύριε, μ' ἐβοήθησες καί μέ παρηγόρησες. Δόξα Πατρί... Καί νῦν καί ἀεί… Ἀλληλούια (γ'.) Δόξα σοι ὁ Θεός (γ'.) Κύριε ἐλέησον (γ'.). Δόξα Πατρί... Ἐσύ ὁ ὁποῖος κατά τήν ἐνάτη ὥρα γιά χάρη μας γεύθηκες θάνατο μέ τό σῶμα σου, νέκρωσε τό σαρκικό φρόνημά μας, Χριστέ Θεέ μας, καί σῶσε μας. Στίχ. Ἂς πλησιάσει ἡ δέησή μου, Κύριε, κοντά σου, καί σύμφωνα μέ τήν ὑπόσχεσή σου δός μου σύνεση. Στίχ. Μακάρι νά φθάσει μπροστά σου, Κύριε, τό αἴτημά μου, καί σύμφωνα μέ τήν ὑπόσχεσή σου λύτρωσέ με. Καί νῦν … Θεοτοκίο. Ἐσύ πού γιά μᾶς γεννήθηκες ἀπό Παρθένο, καί ὑπέμεινες Σταύρωση, Ἀγαθέ, Ἐσύ που λαφυραγώγησες τό

θάνατον σκυλεύσας, καὶ ἔγερσιν δείξας ὡς Θεός, μὴ παρίδῃς οὓς ἔπλασας τῇ χειρὶ σου· δεῖξον τὴν φιλανθρωπίαν σου ἐλεῆμον, δέξαι τὴν τεκοῦσάν σε Θεοτόκον, πρεσβεύουσαν ὑπὲρ ἡμῶν, καὶ σῶσον, Σωτὴρ ἡμῶν, λαὸν ἀπεγνωσμένον. Μὴ δὴ παραδῴῃς ἡμᾶς εἰς τέλος, διὰ τὸ ὄνομά σου τὸ Ἅγιον, καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου, καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν, διὰ Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ, καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου καὶ Ἰσραὴλ τὸν Ἅγιόν σου. Τρισάγιο. (Σελίς 15-16). Τροπάρια. Βλέπων ὁ λῃστὴς τὸν ἀρχηγὸν τῆς ζωῆς ἐπὶ σταυροῦ κρεμάμενον, ἔλεγεν· Εἰ μὴ Θεὸς ὑπῆρχε σαρκωθεὶς, ὁ σὺν ἡμῖν σταυρωθεὶς, οὐκ ἂν ὁ ἥλιος τὰς ακτῖνας ἐναπέκρυψεν, οὐδὲ ἡ γῆ σειομένη ἐκυμαίνετο. Ἀλλ' ὁ πάντων ἀνεχόμενος, μνήσθητί μου, Κύριε, ἐν τῇ βασιλείᾳ σου. Δόξα… Ἐν μέσῳ δύο λῃστῶν, ζυγὸς δικαιοσύνης εὑρέθη ὁ σταυρός σου· τοῦ μὲν καταγομένου εἰς ᾅδην, τῷ βάρει τῆς βλασφημίας, τοῦ δὲ κουφιζομένου πταισμάτων, πρὸς γνῶσιν θεολογίας, Χριστὲ ὁ Θεός, δόξα σοι. Καὶ νῦν… Τὸν ἀμνὸν καὶ ποιμένα καὶ σωτῆρα τοῦ κόσμου, ἐν τῷ σταυρῷ θεωροῦσα ἡ τεκοῦσα, ἔλεγε δακρύουσα. Ὁ μὲν κόσμος ἀγάλλεται, δεχόμενος			θάνατο μέ θάνατο, καί ἔδειξες τήν ἀνάσταση ὡς Θεός, μήν παραβλέψεις αὐτούς πού ἔπλασες μέ τό χέρι σου· Δεῖξε τή φιλανθρωπία σου, ἐλεῆμον, δέξου τή Θεοτόκο πού σ' ἐγέννησε, καί πρεσβεύει γιά μᾶς, καί σῶσε, Σωτήρα μας, λαό ἀπελπισμένο (ἐμᾶς). Μή λοιπόν μᾶς παραδώσεις, νά ἀφανισθοῦμε τελειωτικά, γιά τό ἅγιο ὄνομά σου, καί μήν ἀθετήσεις (μὴν ἀκυρώσεις) τή διαθήκη σου, καί μήν ἀπομακρύνεις τό ἔλεός σου ἀπό μᾶς, γιά χάρη τοῦ ἀγαπημένου σου Ἀβραάμ, καί γιά χάρη τοῦ δούλου σου Ἰσαάκ, καί τοῦ Ἰσραήλ (τοῦ Ἰακώβ), τοῦ ἀφοσιωμένου σ' ἐσένα. Τρισάγιο. (Σελίδα 15-16). Τροπάρια. Βλέποντας ὁ λῃστής τόν ἀρχηγό τῆς ζωῆς κραμασμένον ἐπάνω σέ Σταυρό ἔλεγε· Ἐάν δέν ἦταν Θεός πού πῆρε σάρκα, αὐτός πού σταυρώθηκε μαζί μας, δέν θά εἶχε ἀποκρύψει τίς ἀκτῖνες του ὁ ἥλιος, οὔτε ἡ γῆ θά σείονταν ὡς τρικυμισμένη θάλασσα. Ἀλλά Ἐσύ πού ἀνέχεσαι ὅλους, θυμήσου με, Κύριε, στή Βασιλεία σου. Δόξα … Ἀνάμεσα σέ δύο λῃστές βρέθηκε ὡς ζυγαριά δικαιοσύνης ὁ Σταυρός σου· Διότι ὁ ἕνας κατέβαινε στόν ᾅδη ἐξ αἰτίας τοῦ βάρους τῆς βλαφημίας, καί ὁ ἄλλος ξαλάφρωνε ἀπό τά πταίσματά του, ὁδηγούμενος στή γνώση τῆς θεολογίας. Χριστέ Θεέ μας, δόξα σ' ἐσένα. Καί νῦν … Τόν Ἀμνό (τό ἀρνί) καί Ποιμένα (βοσκό) καί Λυτρωτή βλέποντας ἡ Ἀμνάς(ἡ προβατίνα) ἐπάνω στό Σταυρό ὀλόλυζε (θρηνοῦσε με ἀλαλαγμούς) δακρύζοντας, καί

τὴν λύτρωσιν, τὰ δὲ σπλάγχνα μου φλέγονται, ὁρώσης σου τὴν σταύρωσιν, ἣν ὑπὲρ πάντων ὑπομένεις, ὁ Υἱὸς καὶ Θεός μου. Κύριε, ἐλέησον. Μ'. (40άκις). «Ὀὲν παντί καιρῷ...». (Σελίς 146-147). Εὐχή. Δέσποτα Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ μακροθυμήσας ἐπὶ τοῖς ἡμῶν πλημμελήμασι, καὶ ἄχρι τῆς παρούσης ὥρας ἀγαγὼν ἡμᾶς, ἐν ᾗ ἐπὶ τοῦ ζωοποιοῦ ξύλου κρεμάμενος, τῷ εὐγνώμονι λῃστῇ τὴν εἰς τὸν Παράδεισον ὡδοποίησας εἴσοδον, καὶ θανάτῳ τὸν θάνατον ὤλεσας, ἱλάσθητι ἡμῖν τοῖς ἁμαρτωλοῖς καὶ ἀναξίοις δούλοις σου. Ἡμάρτομεν γὰρ καὶ ἠνομήσαμεν, καὶ οὐκ ἐσμεν ἄξιοι ἄραι τὰ ὄμματα ἡμῶν, καὶ βλέψαι εἰς τὸ ὕψος τοῦ οὐρανοῦ, διότι κατελίπομεν τὴν ὁδόν τῆς δικαιοσύνης σου καὶ ἐπορεύθημεν ἐν τοῖς θελήμασι τῶν καρδιῶν ἡμῶν. Ἀλλ' ἱκετεύομεν τὴν σὴν ἀνείκαστον ἀγαθότητα. Φεῖσαι ἡμῶν, Κύριε, κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ σῶσον ἡμᾶς διὰ τὸ ὄνομά σου τὸ Ἅγιον, ὅτι ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι ἡμῶν. Ἐξελοῦ ἡμᾶς τῆς τοῦ ἀντικειμένου χειρός, καὶ ἄφες ἡμῖν τὰ ἁμαρτήματα, καὶ νέκρωσον τὸ σαρκικὸν ἡμῶν φρόνημα, ἵνα τὸν παλαιὸν ἀποθέμενοι ἄνθρωπον, τὸν νέον ἐνδυσώμεθα, καὶ σοὶ ζήσωμεν τῷ ἡμετέρῳ Δεσπότῃ καὶ κηδεμόνι. Καὶ οὕτω τοῖς σοῖς ἀκολουθοῦντες προστάγμασιν, εἰς τὴν αἰώνιον			ἐκραύγαζε πικρά· Ὁ μέν κόσμος ἀγάλλεται δεχόμενος τή λύτρωση, τά σπλάχνα μου ὅμως καίγονται βλέποντας τή Σταύρωσή σου, τήν ὁποία ὑπομένεις γιά ὅλους ἐσύ ὁ Υἱός καί Θεός μου. Κύριε, ἐλέησον (40άκις). Ὀὲν παντί καιρῷ...». Μ'. (Σελίδα 146-147). Εὐχή. Δέσποτα Κύριε, Ἰησοῦ Χριστέ, Θεέ μας, Ἐσύ πού ἔδειξες μεγαλοψυχία γιά τίς δικές μας ἁμαρτίες, καί μᾶς ἔφερες μέχρι τήν ὥρα αὐτή, κατά τήν ὁποία κραμασμένος ἐπάνω στό ζωοποιό ξύλο τοῦ Σταυροῦ, ἄνοιξες στόν εὐγνώμονα ληστή τήν εἴσοδο στόν παράδεισο, καί καταργησες τό θάνατο μέ τόν θάνατόσου, λυπήσου ἐμᾶς τούς ταπεινούς καί ἁμαρτωλούς καί ἀναξίους δούλους σου. Διότι ἁμαρτήσαμε καί ἀνομήσαμε, καί δέν εἴμαστε ἄξιοι νά σηκώσουμε τά μάτια μας καί νά δοῦμε τό ὕψος τοῦ οὐρανοῦ· Διότι ἐγκαταλείψαμε τό δρόμο τῆς δικαιοσύνης σου (τῶν ἀρετῶν σου), καί πορευθήκαμε σύμφωνα μέ τά θελήματά μας. Ἀλλά ἱκετεύουμε τή δική σου ἀνυπολόγιστη ἀγαθότητα· λυπήσου μας, Κύριε, σύμφωνα μέ τό πολύ ἔλεός σου, καί σῶσε μας πρός χάρη τοῦ ἁγίου ὀνόματός σου, διότι πέρασαν μέσα στή ματαιότητα (χαμένες) οἱ ἡμέρες μας. Βγάλε μας μέσα ἀπό τά χέρια τοῦ ἀντιπάλου μας (τοῦ διαβόλου), καί συγχώρησέ μας τά ἁμαρτήματα, καί νέκρωσε τό σαρκικό μας φρόνημα· Ὥστε, ἀφοῦ ἀφήσουμε κατά μέρος τόν παλαιό ἄνθρωπο, νά ντυθοῦμε τό νέο, καί νά ζήσουμε μαζί μ' ἐσένα, τό δικό μας Δεσπότη (Κύριο) καί κηδεμόνα. Καί ἔτσι, ἀκολουθώντας τά δικά σου προστάγματα, νά καταλήξουμε στήν αἰώνια ἀνάπαυση, ὅπου ὑπάρχει ἡ κατοικία ὅλων αὐτῶν πού

ἀνάπαυσιν καταντήσωμεν, ἔνθα πάντων ἐστὶ τῶν εὐφραινομένων ἡ κατοικία. Σὺ γὰρ εἶ ἡ ὄντως ἀληθινὴ εὐφροσύνη καὶ ἀγαλλίασις τῶν ἀγαπώντων σε, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναμπέπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ Παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.			εὐφραίνονται (κοντά σου). Διότι Ἐσύ εἶσαι ἡ ἀληθινή εὐφροσύνη καί ἀγαλλίαση ὅλων αὐτῶν πού σέ ἀγαποῦν, Χριστέ Θεέ μας· Καί σ' ἐσένα ἀναπέμπουμε (προσφέρουμε), τή δόξα, μαζί μέ τόν Ἄναρχό σου Πατέρα, καί τό Πανάγιο καί Ἀγαθό καί Ζωοποιό σου Πνεῦμα, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν.
Ἀπόλυσις. (Σελίς 16-17). Τῇ Μ. Τεσρακοστῇ ἡ εὐχή αὕτη παραλείπεται. Ψάλλονται ὅμως οἱ Μακαρισμοί, μετά ἐφυμνίου εἰς ἕκαστον στίχον: «Μνήσθητι ἡμῶν, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου». ΜΑΚΑΡΙΣΜΟΙ Ἐν τῇ βασιλείᾳ σου μνήσθητι ἡμῶν, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν. Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται. Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν			Ἀπόλυση. (Σελίδα 16-17). Κατά τή Μεγάλη Σαρακοστή ἡ εὐχή αὐτή παραλείπεται. Ψάλλονται ὅμως οἱ Μακαρισμοί μέ ἐπῳδό σέ κάθε στίχο: «Θυμήσου μας, Κύριε, ὅταν ἔλθεις στή Βασιλεία σου». ΜΑΚΑΡΙΣΜΟΙ Στή Βασιλεία σου θυμήσου μας, Κύριε, ὅταν ἔλθεις στή Βασιλεία σου. Μακάριοι (πανευτυχεῖς) εἶναι οἱ ταπεινόφρονες, διότι δική τους εἶναι ἡ Βασιλεία τῶν οὐρανῶν. Μακάριοι εἶναι αὐτοί πού πενθοῦν, διότι αὐτοί θά παρηγορηθοῦν. Μακάριοι εἶναι οἱ πρᾶοι, οἱ ἥρεμοι, διότι αὐτοί θά κληρονομήσουν τή γῆ. Μακάριοι εἶναι αὐτοί πού πεινοῦν καί διψοῦν τή δικαιοσύνη, διότι αὐτοί θά χορτάσουν (θά ἱκανοποιηθεῖ ἡ ἐπιθυμία τους). Μακάριοι εἶναι οἱ ἐλεήμονες, διότι αὐτοί θά ἐλεηθοῦν. Μακάριοι εἶναι οἱ καθαροί στήν καρδιά, διότι αὐτοί θά

Θεὸν ὄψονται. Μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται, Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς, καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν, ψευδόμενοι ἕνεκεν ἐμοῦ. Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. Δόξα … Καί νῦν… Μνήσθητι ἡμῶν, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου. (γ'.). Χορὸς ὁ ἐπουράνιος ὑμνεῖ σε καὶ λέγει· Ἅγιος, Ἅγιος, Ἅγιος, Κύριος Σαβαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου. Στίχ. Προσέλθετε πρὸς αὐτόν, καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ. Δόξα... Χορὸς ἁγίων Ἀγγέλων καὶ Ἀρχαγγέλων, μετὰ πασῶν τῶν ἐπουρανίων Δυνάμεων, ὑμνεῖ σε καὶ λέγει· Ἅγιος, Ἅγιος, Ἅγιος, Κύριος Σαβαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου. Καὶ νῦν... Τό Σύμβολον τῆς πίστεως. Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, Παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων.			δοῦν τόν Θεό. Μακάριοι εἶναι οἱ εἰρηνοποιοί, διότι αὐτοί θά ἀνακηρυχθοῦν υἱοί τοῦ Θεοῦ. Μακάριοι εἶναι ὅσοι καταδιώχθηκαν γιά χάρη τῆς δικαιοσύνης, διότι σ' αὐτούς ἀνήκει ἡ Βασιλεία τῶν οὐρανῶν. Μακάριοι εἶσθε, ὅταν σᾶς κακολογήσουν, καί σᾶς καταδιώξουν, καί ποῦν κάθε συκοφαντικό λόγο ἐναντίον σας, λέγοντας ψέματα, γιά χάρη μου. Χαίρετε καί σκιρτᾶτε ἀπό ἀγαλλίαση, διότι ὁ μισθός σας θά εἶναι πολύς στούς οὐρανούς. Δόξα… Καί νῦν… Θυμήσου μας, Κύριε, ὅταν ἔλθεις στή Βασιλεία σου (γ'.). Ὁ ἐπουράνιος χορός σέ ὑμνεῖ, καί λέγει· Εἶσαι Ἅγιος, Ἅγιος, Ἅγιος ὁ Κύριος τῶν Δυνάμεων. Εἶναι γεμάτος ὁ οὐρανός, καί ἡ γῆ ἀπό τή δόξα σου. Στίχ. Πλησιάστε σ' αὐτόν καί φωτισθεῖτε, καί τά πρόσωπά σας δέ θά ντροπιασθοῦν. Δόξα ... Χορός ἁγίων Ἀγγέλων καί Ἀρχαγγέλων, μαζί μέ ὅλες τίς ἐπουράνιες Δυνάμεις, σέ ὑμνεῖ καί λέγει· Εἶσαι Ἅγιος, Ἅγιος, γιος, Κύριε, τῶν Δυνάμεων· εἶναι γεμάτος ὁ οὐρανός, καί ἡ γῆ ἀπό τή δόξα σου. Καί νῦν καί ἀεί... Τό σύμβολο τῆς Πίστεως. Πιστεύω σέ ἕνα Θεό, Πατέρα, παντοκράτορα, Ποιητήν οὐρανοῦ καί γῆς, καί τῶν ὁρατῶν ὅλων καί τῶν ἀοράτων.

Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱόν τοῦ Θεοῦ τὸν Μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων. Φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι' οὗ τὰ πάντα ἐγένετο. Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος Ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα. Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα. Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς. Καὶ ἀνελθόντα εἰς τοὺς Οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός. Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ Κύριον, τὸ Ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διά τῶν Προφητῶν. Εἰς Μίαν, Ἁγίαν, Καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν. Ὁμολογῶ ἕν Βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ ἀνάστασιν νεκρῶν.			Καί σέ ἕνα Κύριον Ἰησοῦ Χριστό, τόν Υἱό τοῦ Θεοῦ τόν Μονογενῆ, ὁ ὁποῖος γεννήθηκε ἀπό τόν Πατέρα πρίν ἀπό ὅλους τούς αἰῶνες· Φῶς ἀπό φῶς, Θεόν ἀληθινό ἀπό Θεόν ἀληθινό, πού γεννήθηκε καί δέν δημιουργήθηκε, πού εἶναι ὁμοούσιος (τῆς ἴδιας οὐσίας) μέ τόν Πατέρα, καί διά τοῦ ὁποίου ἔγιναν τά πάντα. (Πιστεύω στό Χριστό), ὁ ὁποῖος γιά μᾶς τούς ἀνθρώπους καί γιά τή δική μας σωτηρία κατέβηκε ἀπό τούς οὐρανούς, καί πῆρε σάρκα ἀπό τό Ἅγιο Πνεῦμα καί τή Μαρία τήν Παρθένο, καί ἔγινε ἄνθρωπος. Καί σταυρώθηκε γιά μᾶς ἐπί τῆς ἐποχῆς τοῦ Ποντίου Πιλάτου, καί ἔπαθε, καί ἐτάφη. Καί ἀναστήθηκε κατά τήν τρίτη ἡμέρα σύμφωνα μέ τίς Γραφές. Καί ἀνέβηκε στούς οὐρανούς, καί κάθεται στά δεξιά τοῦ Πατέρα. Καί θά ἔλθει πάλι μέ δόξα, γιά νά κρίνει ζωντανούς καί νεκρούς, καί ἡ Βασιλεία του δέν θά ἔχει τέλος. (Πιστεύω) Καί στό Πνεῦμα τό Ἅγιο, πού εἶναι Κύριος, δίνει ζωή, πηγάζει (ἐκπορεύεται) ἀπό τόν Πατέρα, καί προσκυνεῖται μαζί μέ τόν Πατέρα καί τόν Υἱό, καί δοξάζεται μαζί τους, καί μίλησε στούς Προφῆτες. (Πιστεύω) Σέ Μία, Ἁγία, Καθολική καί Ἀποστολική Ἐκκλησία. Ὁμολογῶ ὅτι ὑπάρχει ἕνα Βάπτισμα γιά συγχώρηση ἁμαρτιῶν. Περιμένω ἀνάσταση νεκρῶν.

Καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν. Ἄνες, ἄφες, συγχώρησον, ὁ Θεός, τὰ παραπτώματα ἡμῶν, τὰ ἑκούσια καὶ τὰ ἀκούσια, τὰ ἐν ἔργῳ καὶ λόγῳ, τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ, τὰ ἐν νυκτὶ καὶ ἡμέρᾳ, τὰ κατὰ νοῦν καὶ διάνοιαν, τὰ πάντα ἡμῖν συγχώρησον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. Ἡ Κυριακὴ προσευχή. Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπί τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρός καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος,νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Κοντάκια. Τὸ τῆς Μεταμορφώσεως. Ἐπὶ τοῦ ὄρους μετεμορφώθης, καί, ὡς ἐχώρουν οἱ Μαθηταί σου, τὴν δόξαν σου, Χριστὲ ὁ Θεός, ἐθεάσαντο, ἵνα, ὅταν σε ἴδωσι σταυρούμενον, τὸ μὲν πάθος νοήσωσιν ἑκούσιον, τῷ δὲ κόσμῳ κηρύξωσι, ὅτι σὺ ὑπάρχεις ἀληθῶς, τοῦ Πατρὸς τὸ ἀπαύγασμα. Τὸ Κοντάκιον τῆς ἡμέρας.			Καί περιμένω ζωή μελλοντική αἰώνια. Ἀμήν. Ἀπομάκρυνε, ἄφησε, συγχώρησε, Θεέ μας, τά παραπτώματά μας, τά θελληματικά, καί τά μή θελληματικά, πού ἔγιναν μέ ἔργο ἤ λόγο, τά γνωστά καί τά ἄγνωστα, πού ἔγιναν κατά τή νύχτα ἤ τήν ἡμέρα, μέ τό νοῦ καί τή διάνοια· Συγχώρησέ μας τά πάντα, ὡς ἀγαθός καί φιλάνθρωπος. Ἡ Κυριακή προσευχή. Πατέρα μας, πού κατοικεῖς στούς οὐρανούς, ἄς εἶναι ἁγιασμένο τό ὄνομά σου. Ἄς ἔλθει ἡ Βασιλεία σου. Ἄς γίνει τό θέλημά σου, ὅπως στόν οὐρανό ἀπό τους Ἀγγέλους, ἔτσι καί στή γῆ ἀπό τούς ἀνθρώπους. Τήν τροφή μας τήν ἀπαραίτητη γιά τή ζωή δῶσε μας σήμερα. Καί συγχώρησε σ' ἐμᾶς τά ἁμαρτήματά μας, ὅπως κι ἐμεῖς συγχωροῦμε αὐτούς πού ἁμάρτησαν σ' ἐμᾶς. Καί μήν ἐπιτρέψεις, νά πέσουμε σέ πειρασμό, ἀλλά ἀπάλλαξέ μας ἀπό τόν πονηρό. Διότι δική σου εἶναι ἡ Βασιλεία καί ἡ δύναμη καί ἡ δόξα, τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν. Κοντάκια. Τῆς μεταμορφώσεως. Ἐπάνω στό ὄρος μεταμορφώθηκες, καί ὅσο μποροῦσαν νά βαστάξουν οἱ Μαθητές σου, Χριστέ Θεέ μας, εἶδαν τή δόξα σου· ὥστε ὅταν σέ δοῦν νά σταυρώνεσαι, τό πάθος νά κατανοήσουν ὅτι ἦταν θελληματικό, καί στόν κόσμο νά κηρύξουν, ὅτι Ἐσύ ὑπάρχεις ἀληθινά τό φῶς (ἡ ἀνταύγεια) τοῦ Πατρός. Τὸ Κοντάκιο τῆς ἡμέρας.

Τῇ Δευτέρᾳ. Τῶν Ἀρχαγγέλων. Ἀρχιστράτηγοι Θεοῦ, λειτουργοὶ θείας δόξης, τῶν ἀνθρώπων ὁδηγοί, καὶ ἀρχηγοὶ Ἀσωμάτων, τὸ συμφέρον ἡμῖν αἰτήσασθε, καὶ τὸ μέγα ἔλεος, ὡς τῶν Ἀσωμάτων Ἀρχιστράτηγοι. Τῇ δὲ Τρίτῃ, τοῦ Προδρόμου. Προφῆτα Θεοῦ, καὶ Πρόδρομε τῆς χάριτος, τὴν Κάραν τὴν σήν, ὡς ῥόδον ἱερώτατον, ἐκ τῆς γῆς εὑράμενοι, τὰς ἰάσεις πάντοτε λαμβάνομεν· καὶ γὰρ πάλιν, ὡς πρότερον, ἐν κόσμῳ κηρύττεις τὴν μετάνοιαν. Τῇ Τετάρτῃ καί Παρασκευῇ. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι, Χριστὲ ὁ Θεός, εὔφρανον ἐν τῇ δυνάμει σου, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς, κατὰ τῶν πολεμίων, τὴν συμμαχίαν ἔχοιεν τὴν σήν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον. Τῇ Πέμπτῃ, τῶν Ἀποστόλων. Τοὺς ἀσφαλεῖς, καὶ θεοφθόγγους κήρυκας, τὴν κορυφὴν τῶν Μαθητῶν σου, Κύριε, προσελάβου εἰς ἀπόλαυσιν, τῶν ἀγαθῶν σου καὶ ἀνάπαυσιν· τοὺς πόνους γὰρ ἐκείνων καὶ τὸν θάνατον, ἐδέξω ὑπὲρ πᾶσαν ὁλοκάρπωσιν, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια. Τοῦ Ἁγίου Νικολάου. Ἐν τοῖς Μύροις Ἅγιε, ἱερουργὸςἀνεδείχθης· τοῦ Χριστοῦ γὰρ Ὅσιε, τὸ Εὐαγγέλιον πληρώσας, ἔθηκας τὴν ψυχήν σου ὑπὲρ λαοῦ σου, ἔσωσας			Δευτέρα. Τῶν Ἀσωμάτων. Ἀρχιστράτηγοι Θεοῦ, λειτουργοί θείας δόξας, τῶν ἀνθρώπων ὁδηγοί καί ἀρχηγοί τῶν Ἀσωμάτων, ζητῆστε γιά μᾶς τό συμφέρον μας καί τό μέγα ἔλεος, ὡς τῶν Ἀσωμάτων Ἀρχιστράτηγοι. Τρίτη. Τοῦ Προδρόμου. Προφῆτα Θεοῦ καί Πρόδρομε τῆς χάρης, ἀφοῦ βρήκαμε τήν κεφαλή σου ἀπό τή γῆ, ὡς ρόδο ἱερώτατο, παίρνουμε πάντοτε τίς θεραπεῖες· ἄλλωστε πάλι, ὅπως προηγουμένως, κηρύττεις στόν κόσμο τή μετάνοια. Τετάρτη καί Παρασκευή. Ἐσύ πού ὑψώθηκες θεληματικά στό Σταυρό, στήν καινούρια κοινωνία, πού φέρει τό ὄνομά σου (χριστιανοί), δώρισε τήν εὐσπλαχνία σου, Χριστέ Θεέ μας. Χαροποίησε μέ τή δύναμή σου τούς πιστούς ἄρχοντές μας χορηγώντας σ' αὐτούς νίκες κατά τῶν ἐχθρῶν· Εἴθε νά ἔχουν τή δική σου συμμαχία ὡς ὅπλο εἰρήνης ἀκατανίκητο σύμβολο θριάμβου. Πέμπτη. Τῶν Ἀποστόλων. Τούς ἀσφαλεῖς καί θεολόγους κήρυκες, τήν κορυφή τῶν Μαθητῶν σου, Κύριε, τούς παρέλαβες γιά ἀπόλαυση τῶν ἀγαθῶν σου καί ἀνάπαυση· Διότι τούς κόπους ἐκείνων καί τόν θάνατο τούς δέχθηκες πιό εὐχάριστα ἀπό κάθε ὁλοκληρωτική θυσία, Ἐσύ πού μόνος γνωρίζεις τό περιεχόμενο τῶν καρδιῶν. Τοῦ Ἁγίου Νικολάου. Στά Μύρα, Ἅγιε, ἀναδείχθηκες ἱερουργός· Διότι, ἀφοῦ ξεπλήρωσες τό Εὐαγγέλιο τοῦ Χριστοῦ, ἔθεσες τή ζωή σου στή διάθεση τοῦ λαοῦ σου, ἔσωσες τούς ἀθώους ἀπό τό θά-

τοὺς ἀθώους ἐκ τοῦ θανάτου· διὰ τοῦτο ἡγιάσθης, ὡς μέγας μύστης Θεοῦ τῆς χάριτος. Τοῦ Ἁγίου τοῦ Ναοῦ. Τὸ Μαρτυρικὸν τοῦ ἤχου. Δόξα Πατρί... Νεκρώσιμον. Μετὰ τῶν Ἁγίων ἀνάπαυσον, Χριστέ, τὰς ψυχὰς τῶν δούλων σου, ἔνθα οὐκ ἔστι πόνος, οὐ λύπη, οὐ στεναγμός, ἀλλὰ ζωὴ ἀτελεύτητος. Καὶ νῦν... Θεοτοκίο. Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία, πρὸς τὸν Ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς, ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι· Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε. Κύριε ἐλέησον Μ' . (40κις). Ἀπόλυσις: Ἡ συνήθης: (Σελίς 16-17). Ἐὰν δὲν τελεσθῇ προηγιασμένη, ἄρχεται ὁ ἑσπερινός. Ἐὰν ὅμως πρόκειται νὰ τελεσθῇ Λειτουργία τῶν Προηγιασμένων. «Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς… Τρισάγιον . (Σελίς 15-16). Εὐχή. Παναγία Τριὰς, τὸ ὁμοούσιον κράτος, ἡ ἀδιαίρετος βασιλεία, ἡ πάντων τῶν ἀγαθῶν αἰτία, εὐδόκησον δὴ καὶ ἐπ’ ἐμοὶ τῷ ἁμαρτωλῷ· στήριξον, συνέτισον τὴν καρδίαν μου, καὶ πᾶσαν περίελέ μου τὴν βεβηλότητα· φώτισόν μου τὴν διάνοιαν, ἵνα διά			νατο· Γι’ αὐτό ἁγιάσθηκες ὡς μέγας μυσταγωγός τῆς χάρης τοῦ Θεοῦ. Τοῦ Ἁγίου τοῦ Ναοῦ). Τό Μαρτυρικό τοῦ ἤχου. (Δόξα Πατρί...Νεκρώσιμο. Μαζί μέ τούς Ἁγίους ἀνάπαυσε, Χριστέ, τίς ψυχές τῶν δούλων σου, ὅπου δέν ὑπάρχει πόνος οὔτε λύπη οὔτε στεναγμός, ἀλλά ζωή ἀτελείωτη. Καί νῦν...Θεοτοκίο. Προστασία τῶν χριστιανῶν πού δέν ντροπιάζεσαι, μεσιτεία πρός τόν Ποιητή ἀμετακίνητη, μή παραβλέψεις τίς φωνές τῶν ἁμαρτωλῶν προσευχῶν μας, ἀλλά ἔλα βιαστικά σέ βοήθειά ἡμῶν, πού σοῦ φωνάζουμε μέ πίστη· Τρέξε γρήγορα γιά νά πρεσβεύσεις, καί σπεῦσε νά ἱκετεύσεις, Θεοτόκε, Ἐσύ πού εἶσαι ἡ προστασία, αὐτῶν πού σέ τιμοῦν. Τό Κύριε ἐλέησον... (40 φορές). Ἀπόλυση: Ἡ συνηθισμένη: (Σελίδα 16-17). Ἐὰν δὲν τελεσθῇ προηγιασμένη, ἀρχίζει ὁ ἑσπερινός. Ἐὰν ὅμως πρόκειται νὰ τελεσθεῖ Θεία Λειτουργία τῶν Προηγιασμένων μετά τὸ «Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς.... Τρισάγιο . (Σελίδα 15-16). Εὐχή. Παναγία Τριάδα, ἡ ἐξουσία μέ τήν ἴδια οὐσία, ἡ ἀδιαίρετη Βασιλεία, ἡ αἰτία ὅλων τῶν ἀγαθῶν, δεῖξε τήν εὐαρέσκειά σου καί σ’ ἐμένα τόν ἁμαρτωλό· στήριξε τήν καρδιά μου, δός της σύνεση καί ἀφαίρεσε ἀπό μένα ὅλη τήν ἀσέβεια (ἀκαθαρσία)· φώτισε τό νοῦ μου, ὥστε γιά πάντα νά

παντὸς δοξάζω, ὑμνῶ, προσκυνῶ,καὶ λέγω· Εἷς Ἅγιος, εἷς, Κύριος Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ Πατρὸς · Ἀμήν. ΜΕΓΑ ΑΠΟΔΕΙΠΝΟΝ Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Δόξα σοι ὁ Θεός, ἡμῶν δόξα σοι. Βασιλεῦ Οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς Ἀληθείας, ὁ Πανταχοῦ Παρὼν καὶ τὰ Πάντα Πληρῶν, ὁ Θησαυρὸς τῶν Ἀγαθῶν καὶ Ζωῆς Χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος καὶ σῶσον, Ἀγαθὲ τὰς ψυχὰς ἡμῶν. Τρισάγιον. (Σελίς 15-16). Κύριε ἐλέησον ιβ'. Δόξα... Καὶ νῦν... Δεῦτε προσκυνήσωμεν.(Σελ. 140). ΨΑΛΜΟΣ Δ'. (4.). Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσάς μου, ὁ Θεὸς τῆς δικαιοσύνης μου, ἐν θλίψει ἐπλάτυνάς με. Οἰκτείρησόν με, καὶ εἰσάκουσον τῆς προσευχῆς μου. Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; ἵνα τὶ ἀγαπᾶτε ματαιότητα, καὶ ζητεῖτε ψεῦδος; Καὶ γνῶτε, ὅτι ἐθαυμάστωσε Κύριος τὸν ὅσιον αὐτοῦ, Κύριος εἰσακούσεταί μου, ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν.			σέ δοξάζω, νά σέ ὑμνῶ, νά σέ προσκυνῶ καί νά λέγω· Ἕνας εἶναι ἅγιος, ἕνας εἶναι Κύριος, ὁ Ἰησοῦς Χριστός, (καί ὅλα αὐτά νά τά κάνω) πρὸς δόξαν τοῦ Θεοῦ Πατέρα· Ἀμήν. ΜΕΓΑ ΑΠΟΔΕΙΠΝΟ Εἶναι ἄξιος δοξολογίας ὁ Θεός μας πάντοτε· Καί τώρα καί πάντα καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν. Δόξα σ' ἐσένα, Χριστέ Θεέ μας, Δόξα σ' ἐσένα. Βασιλιά Οὐράνιε, Παρηγορητή, τό Πνεῦμα τῆς ἀλήθειας, ὁ ὁποῖος εἶσαι παρών παντοῦ, καί γεμίζεις τά πάντα, ὁ θησαυρός τῶν ἀγαθῶν, καί χορηγός τῆς ζωῆς, ἔλα καί κατοίκησε μέσα μας, καί καθάρισέ μας ἀπό κάθε κηλίδα, καί σῶσε, Ἀγαθέ, τίς ψυχές μας. Τρισάγιο. (Σελίδα 15-16). Κύριε, ἐλέησον. (12 φορές). Δόξα … Καί νῦν … Δεῦτε προσκυνήσωμεν….. (Σελ. 140). ΨΑΛΜΟΣ Δ'. (4). Ὅταν στό παρελθόν σέ παρακάλεσα, μέ εἰσάκουσες, Θεέ μου, πού ἀποδίδεις τό δίκαιο σέ ὅλους καί σ' ἐμένα· στή θλίψη μου μοῦ ἔδωσες ἀνακούφιση. Σπλαχνίσου με καί εἰσάκουσε τήν προσευχή μου. Ἄνθρωποι, μέχρι πότε θά εἶσθε σκληρόκαρδοι; Γιατί ἀγαπᾶτε τά μάταια καί ἐπινοεῖτε ψευτιές; Μάθετε ὅμως ὅτι καί ἄλλοτε μ' ἐβοήθησε μέ θαυμαστό τρόπο, ὁ Κύριος, ἐμένα πού εἶμαι ἀφοσιωμένος σ' αὐτόν.	

Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε, ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε. Θύσατε θυσίαν δικαιοσύνης, καὶ ἐλπίσατε ἐπὶ Κύριον. Πολλοὶ λέγουσι· Τὶς δείξει ἡμῖν τὰ ἀγαθὰ; Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε, ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου. Ἀπὸ καρποῦ σίτου, οἴνου καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν. Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι, καὶ ὑπνώσω. Ὅτι σύ, Κύριε, κατὰ μόνας ἐπ' ἐλπίδι κατῴκισάς με. ΨΑΛΜΟΣ ΣΤ'. (6). Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με. Ἐλέησόν με, Κύριε, ὅτι ἀσθενής εἰμι, ἴασαί με, Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου, καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα, καὶ σύ, Κύριε, ἕως πότε; Ἐπίστρεψον, Κύριε, ῥῦσαι τὴν ψυχήν μου, σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου. Ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου, ἐν δὲ τῷ ᾅδῃ τὶς ἐξομολογήσεταί σοι; Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου, λούσω καθ'			Ὀργίζεσθε ἐναντίον μου, μήν ἁμαρτάνετε ὅμως κατά τοῦ Θεοῦ· Γι' αὐτά πού διαλογίζεσθε στήν καρδιά σας, μετανοῆστε στό κρεβάτι τοῦ ὕπνου σας, καί αἰσθανθεῖτε κατάνυξη. Προσφέρετε θυσία δικαιοσύνης, καί ἐλπίστε στόν Κύριο. Πολλοί (πού δέν ἐλπίζουν στόν Κύριο), λένε· Ποιός θά μᾶς δώσει τά παραίτητα γιά τή ζωή μας ἀγαθά; Σ' ἐμᾶς ὅμως, Κύριε, ἡ φωτεινή μορφή σου ἔδωσε βοήθεια· ἔδωσες εὐφροσύνη πνευματική στήν καρδιά μου, (ἀλλά ὄχι στούς ἐχθρούς μου). Αὐτοί εἶναι γεμάτοι ἀπό τούς καρπούς τους, ἀπό σιτάρι, κρασί καί λάδι. Ἐγώ ὅμως ἀπόψε θά ξαπλώσω, καί ἀμέσως θά μέ πάρει ὁ ὕπνος. Διότι Ἐσύ, Κύριε μέ ἔκανες, νά κατοικῶ μέ τήν ἐλπίδα σ' ἐσένα, ἄν καί εἶμαι μόνος. ΨΑΛΜΟΣ ΣΤ'. (6). Κύριε, μή μέ ἐλέγξεις αὐστηρά (ὡς ἀμετανόητο) μέ τό θυμό σου, οὔτε νά μέ τιμωρήσεις σκληρά μέ τήν ὀργή σου. Ἐλέησέ με, Κύριε, διότι εἶμαι ἐξασθενημένος· θεράπευσέ με, Κύριε, διότι ἐταράχθηκαν τά κόκκαλά μου, καί ἡ ψυχή μου εἶναι πολύ ταραγμένη· Κι Ἐσύ, Κύριε, μέχρι πότε θά ἀδιαφορεῖς γιά μένα; Ἔλα κοντά μου, Κύριε, λύτρωσε τήν ψυχή μου· Σῶσε με γιά χάρη τῆς εὐσπλαχνίας σου. Διότι μετά τό θάνατο δέν μπορεῖ κάποιος, νά σέ θυμᾶται, (ὅπως τώρα)· Καί στόν ᾅδη ποιός θά σέ δοξολογεῖ; Κουράσθηκα ἀπό τό στεναγμό μου, κάθε νύχτα βρέχω τό

ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω. Ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου, ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου. Ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ὅτι εἰσήκουσε Κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου. Ἤκουσε Κύριος τῆς δεήσεώς μου, Κύριος τὴν προσευχήν μου προσεδέξατο. Αἰσχυνθείησαν καὶ ταραχθείησαν πάντες οἱ ἐχθροί μου, ἀποστραφείησαν καὶ καταισχυνθείησαν σφόδρα διὰ τάχους. ΨΑΛΜΟΣ ΙΒ'. (12) Ἕως πότε, Κύριε, ἐπιλήσῃ μου εἰς τέλος; ἕως πότε ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ; Ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου, ὀδύνας ἐν καρδίᾳ μου, ἡμέρας καὶ νυκτός; Ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός μου ἐπ' ἐμέ; ἐπίβλεψον, εἰσάκουσόν μου, Κύριε, ὁ Θεός μου. Φώτισον τοὺς ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον, μήποτε εἴπῃ ὁ ἐχθρός μου· Ἴσχυσα πρὸς αὐτόν. Οἱ θλίβοντές με ἀγαλλιάσονται, ἐὰν σαλευθῶ, ἐγὼ δέ ἐπὶ τῷ ἐλέει σου ἤλπισα. Ἀγαλλιάσεται ἡ καρδία μου ἐπὶ τῷ σωτηρίῳ			κρεβάτι μου, μέ τά δάκρυά μου βρέχω τό στρῶμα μου. Πόνεσαν τά μάτια μου (γιατί κλαίω διαρκῶς) ἐξ αἰτίας τοῦ θυμοῦ σου· Γέρασα ἀπό τά βάσανα καί εἶμαι περιφρονημένος μπροστά στά μάτια τῶν ἐχθρῶν μου. Φύγετε μακριά ἀπό μένα, ὅλοι ὅσοι ἐργάζεσθε τήν ἀνομία, διότι ἄκουσε ὁ Κύριος τή φωνή τοῦ θρήνου μου. Ἄκουσε ὁ Κύριος τή δέησή μου· Ὁ Κύριος δέχθηκε τήν προσευχή μου. Ἂς ντροπιασθοῦν, καί ἂς ταραχθοῦν ὅλοι οἱ ἐχθροί μου· Ἂς τραποῦν σέ φυγή, καί ἂς καταντροπιασθοῦν πολύ, καί τώρα ἀμέσως. ΨΑΛΜΟΣ ΙΒ΄. (12). Ἕως πότε, Κύριε, θά μέ ἔχεις λησμονημένο τελείως; ἕως πότε θά ἀποστρέφεις τό πρόσωπό σου ἀπό μένα; Ἕως πότε θά κάνω μέσα μου σχέδια διαφυγῆς ἀπό τόν κίνδυνο; καί ὅμως θά δοκιμάζει ἡ καρδιά μου θλίψεις ἡμέρα καί νύχτα; Ἕως πότε θά ὑψώνεται ἀπειλητικός ὁ ἐχθρός μου μπροστά μου; Ρίξε βλέμμα συμπαθείας σ' ἐμένα, εἰσάκουσέ με, Κύριε Θεέ μου. Φώτισε τά μάτια μου (μέ τό χαμόγελό σου), γιά νά μήν πέσω στόν ὕπνο τοῦ θανάτου. Γιά νά μήν πεῖ κάποτε ὁ ἐχθός μου, ὑπερίσχυσα ἀπέναντί του καί τόν νίκησα. Αὐτοί πού μέ θλίβουν, θά χαροῦν πάρα πολύ, ἄν κλονισθῶ καί πέσω· Ἐγώ ὅμως στήριξα τήν ἐλπίδα μου στό ἔλεός σου. Θά σκιρτήσει ἀπό ἀγαλλίαση ἡ καρδιά μου, ὅταν θά μοῦ

σου· Ἄισω τῷ Κυρίῳ τῷ εὐεργετήσαντί με, καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ Ὑψίστου. (Καὶ πάλιν). Ἐπίβλεψον, εἰσάκουσόν μου, Κύριε, ὁ Θεός μου. Φώτισον τοὺς ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον, μήποτε εἴπῃ ὁ ἐχθρός μου· Ἴσχυσα πρὸς αὐτόν. Δόξα... Καὶ νῦν... Ἀλληλούια, (γ'.). Δόξα σοι ὁ Θεός, (γ'). Κύριε, ἐλέησον (γ'.). Δόξα... Καὶ νῦν... ΨΑΛΜΟΣ ΚΔ'. (24). Πρὸς σέ, Κύριε, ἦρα τὴν ψυχήν μου, ὁ Θεός μου, ἐπὶ σοὶ πέποιθα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα. Μηδὲ καταγελασάτωσάν με οἱ ἐχθροί μου· καὶ γὰρ πάντες οἱ ὑπομένοντές σε, οὐ μὴ καταισχυνθῶσιν. Αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες διακενῆς. Τὰς ὁδούς σου, Κύριε, γνώρισόν μοι, καὶ τὰς τρίβους σου δίδαξόν με. Ὁδήγησόν με ἐπὶ τὴν ἀλήθειάν σου, καὶ δίδαξόν με, ὅτι σὺ εἶ ὁ Θεὸς ὁ Σωτήρ μου, καὶ σὲ ὑπέμεινα ὅλην τὴν ἡμέραν. Μνήσθητι τῶν οἰκτιρμῶν σου, Κύριε, καὶ τὰ ἐλέη σου, ὅτι ἀπὸ τοῦ αἰῶνός εἰσιν.			χαρίσεις τή σωτηρία· Τότε θά ὑμνῶ εὐχαριστώντας ἐσένα τόν Κύριο,πού μέ εὐεργέτησες, καί θά ψάλλω δοξάζοντας τόὄνομα τοὺ Κυρίου τοῦ Ὑψίστου. (Καί πάλι). Ρίξε βλέμμα συμπαθείας σ' ἐμένα, εἰσάκουσέ με, Κύριε Θεέ μου. Φώτισε τά μάτια μου (μέ τό χαμόγελό σου), γιά νά μήν πέσω στόν ὕπνο τοῦ θανάτου· Γιά νά μήν πεῖ κάποτε ὁ ἐχθρός μου, ὑπερίσχυσα ἀπέναντί του καί τόν νίκησα. Δόξα... Καὶ νῦν... Ἀλληλούϊα, (γ'.). Δόξα σοι ὁ Θεός, (γ'). Κύριε, ἐλέησον (γ'). Δόξα... Καὶ νῦν... ΨΑΛΜΟΣ ΚΔ'. (24). Σ' ἐσένα, Κύριε, ὕψωσα τήν ψυχή μου. Θεέ μου, σ' ἐσένα ἔχω ἐμπιστοσύνη· ποτέ μή μ' ἀφήσεις, νά ντροπιασθῶ. Καί ἄς μή γελάσουν σέ βάρος μου οἱ ἐχθροί μου· Γιατί ὅλοι ὅσοι δείχνουν ὑπομονή περιμένοντας τή βοήθειά σου, δέν θά ντροπιασθοῦν. Θαντροπιασθοῦν ἐκεῖνοι πού παρανομοῦν ματαιοπονώντας. Κάνε σ' ἐμένα γνωστούς τούς δρόμους σου, καί δίδαξέ με τίς πορεῖες σου. Ὁδήγησέ με στήν ἀλήθεια σου, καί δίδαξέμε, διότι Ἐσύ εἶσαι ὁ Θεός ὁ Σωτήρας μου, καί γι' αὐτό μέ ὑπομονή σέ περιμένω νά μέ βοηθήσεις ὅλη τήν ἡμέρα. Θυμήσου τήν εὐσπλαχνία καί τά ἐλέη σου, πού μᾶς ἔδωσες πρίν ἀπό πολούς αἰῶνες.

Ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου μὴ μνησθῇς. Κατὰ τὸ ἔλεός σου μνήσθητί μου σύ, ἕνεκεν τῆς χρηστότητός σου, Κύριε. Χρηστὸς καὶ εὐθὺς ὁ Κύριος, διὰ τοῦτο νομοθετήσει ἁμαρτάνοντας ἐν ὁδῷ. Ὁδηγήσει πραεῖς ἐν κρίσει, διδάξει πραεῖς ὁδοὺς αὐτοῦ. Πᾶσαι αἱ ὁδοὶ Κυρίου ἔλεος, καὶ ἀλήθεια τοῖς ἐκζητοῦσι τὴν διαθήκην αὐτοῦ, καὶ τὰ μαρτύρια αὐτοῦ. Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, καὶ ἱλάσθητι τῇ ἁμαρτίᾳ μου·πολλὴ γὰρ ἐστι. Τὶς ἐστιν ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον; νομοθετήσει αὐτῷ ἐν ὁδῷ ᾗ ᾑρετίσατο. Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται, καὶ τὸ σπέρμα αὐτοῦ κληρονομήσει γῆν. Κραταίωμα Κύριος τῶν φοβουμένων αὐτόν, καὶ ἡ διαθήκη αὐτοῦ δηλώσει αὐτοῖς. Οἱ ὀφθαλμοί μου διὰ παντὸς πρὸς τὸν Κύριον, ὅτι αὐτὸς ἐκσπάσει ἐκ παγίδος τοὺς πόδας μου. Ἐπίβλεψον ἐπ' ἐμέ, καὶ ἐλέησόν με, ὅτι μονογενὴς καὶ πτωχός εἰμι ἐγώ. Αἱ θλίψεις τῆς καρδίας μου ἐπληθύνθησαν, ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ με. Ἴδε τήν ταπείνωσίν μου, καὶ τὸν κόπον μου,			Μή θυμηθεῖς τίς ἁμαρτίες πού ἔκανα κατά τή νεότητά μου, καί ὅσες διέπραξα ἀπό ἄγνοια. Σύμφωνα μέ τό ἔλεός σου θυμήσου με Ἐσύ, γιά χάρη τῆς ἀγαθότητάς σου, Κύριε. Ἀγαθὸς καί δίκαιος εἶναι ὁ Κύριος, Γι' αὐτό θά καθοδηγήσει αὐτούς πού ἁμαρτάνουν στό δρόμο τῆς ζωῆς τους, (γιά νά ἐπιστρέψουν). Θά ὁδηγήσει τούς πράους στή σύνεση· θά διδάξει στούς πράους τούς δρόμους τῶν ἐντολῶν του. Ὅλες οἱ ἐντολές τοῦ Κυρίου εἶναι γεμάτες ἀπό ἔλεος καί ἀξιοπιστία, γιά ὅσους ἐπιζητοῦν νά μάθουν τό νόμο του καί τίς ἐντολές του. Γιά τό ὄνομά σου, Κύριε, συγχώρησε τίς ἁμαρτίες μου, γιατί εἶναι πολλές. Ποιός εἶναι ὁ ἄνθρωπος πού σέβεται βαθιά τόν Κύριο; Θά τοῦ δώσει τόν νόμο του, γιά νά καθοδηγεῖται στό δρόμο τοῦ Θεοῦ, πού διάλεξε. Ἡ ψυχή τοῦ ἀνθρώπου αὐτοῦ θά ἀναπαύεται μέσα στά ἀγαθά, καί οἱ ἀπόγονοί του θά κληρονομήσουν τή γῆ. Ὁ Κύριος εἶναι ἀκατανίκητη δύναμη, γι' αὐτούς πού τόν σέβονται βαθιά, καί τό βεβαιώνει ἡ διαθήκη (ἡ συμφωνία) πού ἔκανε μ' αὐτούς. Τά μάτια μου πάντοτε εἶναι στραμμένα στόν Κύριο, διότι αὐτός θά ἐλευθερώσει τά πόδια μου ἀπό κάθε παγίδα. Ρίξε τό βλέμμα σου σπλαχνικό ἐπάνω μου καί ἐλέησέ με, διότι εἶμαι μόνος καί ταλαίπωρος. Οἱ θλίψεις τῆς καρδιᾶς μου ἔχουν γίνει πολλές· Λύτρωσέ με ἀπό τίς στενοχώριες μου. Κοίταξε τήν ταπείνωσή μου καί τόν κόπο μου, καί συγ-

καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου. Ἴδε τοὺς ἐχθρούς μου, ὅτι ἐπληθύνθησαν, καὶ μῖσος ἄδικον ἐμίσησάν με. Φύλαξον τὴν ψυχήν μου, καὶ ῥῦσαί με, μὴ καταισχυνθείην ὅτι ἤλπισα ἐπὶ σέ. Ἄκακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι, ὅτι ὑπέμεινά σε, Κύριε. Λύτρωσαι, ὁ Θεός, τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ. ΨΑΛΜΟΣ Λ'. (30). Ἐπὶ σοί, Κύριε, ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα, ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με, καὶ ἐξελοῦ με. Κλῖνον πρός με τὸ οὖς σου, τάχυνον τοῦ ἐξελέσθαι με. Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστήν καὶ εἰς οἶκον καταφυγῆς τοῦ σῶσαί με. Ὅτι κραταίωμά μου, καὶ καταφυγή μου εἶ σύ, καὶ ἕνεκεν τοῦ ὀνόματός σου ὁδηγήσεις με, καὶ διαθρέψεις με. Ἐξάξεις με ἐκ παγίδος ταύτης, ἧς ἔκρυψάν μοι, ὅτι σὺ εἶ ὁ ὑπερασπιστής μου, Κύριε. Εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου, ἐλυτρώσω με, Κύριε, ὁ Θεὸς τῆς ἀληθείας. Ἐμίσησας τοὺς διαφυλάσσοντας ματαιότητας διακενῆς. Ἐγὼ δὲ ἐπὶ τῷ Κυρίῳ ἤλπισα, ἀγαλλιάσομαι καὶ εὐφρανθήσομαι ἐπὶ τῷ ἐλέει σου. Ὅτι ἐπεῖδες ἐπὶ τὴν ταπείνωσίν μου, ἔσωσας			χώρησε ὅλες τίς ἁμαρτίες μου. Κοίταξε τούς ἐχθρούς μου, ὅτι ἔγιναν πάρα πολλοί, καί μ' ἐμίσησαν ἄδικα. Φύλαξε τήν ψυχή μου καί λύτρωσέ με· Ἄς μή ντροπιασθῶ, διότι σ' ἐσένα ἐλπίζω. Ἄκακοι καί εἰλικρινεῖς ἄνθρωποι μέ ἀκολουθοῦσαν, διότι ἐγώ ἔδειχνα ὑπομονή περιμένοντάς σε, Κύριε. Λύτρωσε, Θεέ μου, τό λαό τοῦ Ἰσραήλ ἀπό ὅλες τίς θλίψεις του. ΨΑΛΜΟΣ Λ'. (30)). Σ' ἐσένα, Κύριε, στήριξα τίς ἐλπίδες μου, ἄς μήν ντροπιασθῶ ποτέ· μέ τή δικαιοσύνη σου γλύτωσέ με καί ἐλευθέρωσέ με ἀπό τούς κινδύνους πού διατρέχω. Στρέψε τό αὐτί σου σ' ἐμένα, τρέξε γρήγορα, νά μέ σώσεις. Γίνε γιά μένα Θεός ὑπερασπιστής καί ἰσχυρό καταφύγιο, γιά νά μέ σώσεις. Διότι Ἐσύ εἶσαι ἡ δύναμή μου καί τό καταφύγιό μου, καί γιά χάρη τοῦ ὀνόματός σου θά μέ ὁδηγήσεις καί θά μέ διαθρέψεις. Θά μέ βγάλεις ἀπό τήν παγίδα αὐτή πού μοῦ ἔστησαν, διότι Ἐσύ εἶσαι ὁ ὑπερασπιστής μου, Κύριε. Στά χέρια σου θά ἐμπιστευθῶ τήν ψυχή μου· μέ λύτρωσες πολλές φορές, Κύριε, Ἐσύ ὁ Θεός τῆς ἀλήθειας. Μίσησες ἐκείνους πού λατρεύουν τά εἴδωλα χωρίς καμμιά ὠφέλεια. Ἐγώ ὅμως στήριξα τίς ἐλπίδες μου στόν Κύριο. Θά σκιρτήσω ἀπό ἀγαλλίαση καί εὐφροσύνη γιά τό ἔλεός σου. Γιατί εἶδες μέ συμπάθεια τήν ταπείνωσή μου, καί ἔσωσες

ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μου. Καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθρῶν, ἔστησας ἐν εὐρυχώρῳ τοὺς πόδας μου. Ἐλέησόν με, Κύριε, ὅτι θλίβομαι, ἐταράχθη ἐν θυμῷ ὁ ὀφθαλμός μου, ἡ ψυχή μου, καὶ ἡ γαστήρ μου. Ὅτι ἐξέλιπεν ἐν ὀδύνῃ ἡ ζωή μου, καὶ τὰ ἔτη μου ἐν στεναγμοῖς. Ἠσθένησεν ἐν πτωχείᾳ ἡ ἰσχύς μου, καὶ τὰ ὀστᾶ μου ἐταράχθησαν. Παρὰ πάντας τοὺς ἐχθρούς μου ἐγενήθην ὄνειδος, καὶ τοῖς γείτοσί μου σφόδρα, καὶ φόβος τοῖς γνωστοῖς μου. Οἱ θεωροῦντες με ἔξω ἔφυγον ἀπ' ἐμοῦ, ἐπελήσθην ὡσεὶ νεκρὸς ἀπὸ καρδίας. Ἐγενήθην ὡσεὶ σκεῦος ἀπολωλός, ὅτι ἤκουσα ψόγον πολλῶν παροικούντων κυκλόθεν. Ἐν τῷ ἐπισυναχθῆναι αὐτοὺς ἅμα ἐπ' ἐμέ, τοῦ λαβεῖν τὴν ψυχήν μου ἐβουλεύσαντο. Ἐγὼ δὲ ἐπὶ σοί, Κύριε, ἤλπισα, εἶπα· Σὺ εἰ ὁ Θεός μου ἐν ταῖς χερσί σου οἱ κλῆροί μου. Ῥῦσαί με ἐκ χειρὸς ἐχθρῶν μου, καὶ ἐκ τῶν καταδιωκόντων με. Ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν δοῦλόν σου, σῶσόν με ἐν τῷ ἐλέει σου· Κύριε, μὴ καταισχυνθείην, ὅτι ἐπεκαλεσάμην σε. Αἰσχυνθείησαν ἀσεβεῖς, καὶ καταχθείησαν εἰς ᾅδου.			ἀπό τούς διαφόρους κινδύνους τή ζωή μου. Καί δέν ἄφησες νά συλληφθῶ, καί νά πέσω στά χέρια τῶν ἐχθρῶν μου, ἀντίθετα στήριξες σέ εὐρυχωρία τά πόδια μου, (γιά νά κινοῦνται ἐλεύθερα). Ἐλέησέ με, Κύριε, γιατί θλίβομαι· Ταράχθηκαν ἀπό τόν δίκαιο θυμό σου, κι ἐθόλωσαν τά μάτια μου, ἡ ψυχή μου καί τά σωθικά μου. Διότι πέρασε καί ἔφθασε στό τέλος ἡ ζωή μου, καί τά χρόνια μου πέρασαν μέ στεναγμούς· Ἐξασθένησε ἀπό τήν ταλαιπωρία ἡ δύναμή μου, καί τά κόκκαλά μου ταράχθηκαν. Ἔγινα ἀντικείμενο περιφρονήσεως ἀπό ὅλους τούς ἐχθρούς μου καί ἀπό τούς γείτονές μου ὑπερβολικά, καί προκαλῶ φόβο στούς γνωστούς μου· Αὐτοί πού μέ βλέπουν ἔξω μέ ἀποφεύγουν. Λησμονήθηκα ἀπό τήν καρδιά τῶν φίλων μου,σαν νά εἶμαι νεκρός. Ἔγινα ὅπως ἕνα ἄχρηστο σκεῦος. Καί ἐπί πλέον ἄκουσα συκοφαντίες ἀπό πολλούς πού κατοικοῦν γύρω μου. Καί συγκεντρώθηκαν ὅλοι αὐτοί μαζί, καί ἀποφάσισαν νά μοῦ πάρουν τή ζωή μου. Ἐγώ ὅμως σ᾽ ἐσένα στήριξα τίς ἐλπίδες μου, Κύριε, εἶπα· Ἐσύ εἶσαι ὁ Θεός μου. Στά χέρια σου εἶναι τό μέλλλον μου. Ἀπάλλαξέ με ἀπό τά χέρια τῶν ἐχθρῶν μου καί αὐτῶν πού μέ καταδιώκουν. Κάνε νά λάμψει τό πρόσωπό σου ἐπάνω σ᾽ ἐμένα τό δοῦλο σου, σῶσε με μέ τό ἔλεός σου· Κύριε, μήν ἀφήσεις νά ντροπιασθῶ, διότι ἐσένα ἐπικαλέσθηκα. Ἂς ντροπιασθοῦν οἱ ἀσεβεῖς καί ἂς κατεβοῦν στόν ᾅδη.

Ἀλαλα γενηθήτω τὰ χείλη τὰ δόλια, τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν, ἐν ὑπερηφανίᾳ καὶ ἐξουδενώσει. Ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου, Κύριε, ἧς ἔκρυψας τοῖς φοβουμένοις σε! Ἐξειργάσω τοῖς ἐλπίζουσιν ἐπὶ σὲ, ἐναντίον τῶν υἱῶν τῶν ἀνθρώπων. Κατακρύψεις αὐτοὺς ἐν ἀποκρύφῳ τοῦ προσώπου σου, ἀπὸ ταραχῆς ἀνθρώπων. Σκεπάσεις αὐτοὺς ἐν σκηνῇ ἀπὸ ἀντιλογίας γλωσσῶν. Εὐλογητὸς Κύριος, ὅτι ἐθαυμάστωσε τὸ ἔλεος αὐτοῦ ἐν πόλει περιοχῆς. Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου· Ἀπέρριμμαι ἀπὸ προσώπου τῶν ὀφθαλμῶν σου. Διὰ τοῦτο εἰσήκουσας τῆς φωνῆς τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι με πρὸς σέ. Ἀγαπήσατε τὸν Κύριον πάντες οἱ ὅσιοι αὐτοῦ, ὅτι ἀληθείας ἐκζητεῖ Κύριος, καὶ ἀνταποδίδωσι τοῖς περισσῶς ποιοῦσιν ὑπερηφανίαν. Ἀνδρίζεσθε, καὶ κραταιούσθω ἡ καρδία ὑμῶν, πάντες οἱ ἐλπίζοντες ἐπὶ Κύριον. ΨΑΛΜΟΣ 90. Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου, ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται. Ἐρεῖ τῷ Κυρίῳ· Ἀντιλήπτωρ μου εἶ, καὶ καταφυγή μου, ὁ Θεός μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν. Ὅτι αὐτὸς ῥύσεταί σε ἐκ παγίδος θηρευτῶν, καὶ ἀπὸ λόγου ταραχώδους.			Ἂς γίνουν ἄλαλα τά χείλη πού μιλοῦν μέ δόλο, καί ξεστομίζουν συκοφαντίες κατά τοῦ δικαίου μέ ὑπερηφάνεια καί περιφρόνηση. Πόσο πολύ εἶναι τό πλῆθος τῆς ἀγαθότητάς σου, Κύριε, τήν ὁποία ἔκρυψες γι' αὐτούς πού σέ σέβονται! Τήν ἑτοίμασες, γιά ὅσους ἐλπίζουν σ' ἐσένα, μπροστά στούς ἀνθρώπους. Θά τούς κρύψεις σέ κρυφό καταφύγιο τῆς προστασίας σου ἀπό ταραχή ἀνθρώπων. Θά τούς σκεπάσεις μέσα στή σκηνή σου ἀπό γλῶσσες συκοφαντίας. Ἂς εἶναι δοξασμένος ὁ Κύριος, διότι ἔδειξε θαυμαστό τό ἔλεός του σ' ἐμένα, τόν νά ἤμουν σέ πόλη περιτειχισμένη. Καί ὅμως ἐγώ μέσα στήν ἀμηχανία μου (τήν παραζάλη μου) εἶπα· Ἔχω ἀπορριφθεῖ μακριά ἀπό τά μάτια σου. Ἐσύ ὅμως ἄκουσες τή φωνή τῆς δεήσεώς μου, ὅταν κραύγασα πρός ἐσένα. Ἀγαπήσατε τόν Κύριο ὅλοι οἱ εὐσεβεῖς, διότι ὁ Κύριος ἐπιζητεῖ τήν ἀλήθεια, καί ἀνταποδίδει τήν τιμωρία σ' αὐτούς, οἱ ὁποῖοι δείχνουν περίσσια ὑπερηφάνεια. Νά εἶσθε ἀνδρεῖοι, καί νά παίρνει δύναμη ἡ καρδιά σας, ὅλοι ἐσεῖς πού στηρίζετε τίς ἐλπίδες σας στόν Κύριο. ΨΑΛΜΟΣ. (90). Αὐτός πού κατοικεῖ κάτω ἀπό τή βοήθεια τοῦ Ὑψίστου, θά ἀναπαύεται κάτω ἀπό τή σκέπη τοῦ Θεοῦ τοῦ οὐρανοῦ. Θά λέγει στόν Κύριο· Εἶσαι βοηθός μου καί καταφύγιό μου· (Αὐτός εἶναι) ὁ Θεός μου, καί θά ἐλπίζω σ' αὐτόν. Διότι αὐτός θά σέ γλυτώσει ἀπό τήν παγίδα τῶν κυνηγῶν, καί ἀπό κάθε λόγο πού φέρνει ταραχή.

Ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι, καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς, ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ.			Μέ τά νῶτα του θά σέ σκεπάζει καί θά ἐλπίζεις στή προστασία τῶν φτερῶν του· ὡς ἀσπίδα θά σέ περικυκλώσει ἡ ἀλήθειά του.
Οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ βέλους πετομένου ἡμέρας.			Δέν θά φοβηθεῖς ἀπό φόβο νυκτερινό, ἀπό βέλος πού πετᾷ τήν ἡμέρα.
Ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου, ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ.			Ἀπό κάθε πρᾶγμα πού κινεῖται μέσα στό σκοτάδι, ἀπό κάθε συναπάντημα καί δαιμόνιο, πού ἐνεργεῖ κατά τό μεσημέρι.
Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιάς, καὶ μυριὰς ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ.			Θά πέφτουν (νεκροί) χίλιοι ἀπό τά ἀριστερά σου καί δέκα χιλιάδες ἀπό τά δεξιά σου, ἐσένα ὅμως δέν θά σέ πλησιάσει (τό κακό).
Πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις, καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψει.			Ἀντίθετα, ἐσύ θά ἔχεις ἀνοιχτά τά μάτια σου, καί θά βλέπεις, πῶς τιμωροῦνται οἱ ἁμαρτωλοί.
Ὅτι σύ, Κύριε, ἡ ἐλπίς μου, τὸν Ὕψιστον ἔθου καταφυγήν σου.			(Θά λές)· Ἐσύ, Κύριε, εἶσαι ἡ ἐλπίδα μου. (Καί ἡ ἀπάντηση)· Τόν Ὕψιστο ἔβελες καταφύγιό σου.
Οὐ προσελεύσεται πρὸς σὲ κακά, καὶ μάστιξ οὐκ ἐγγιεῖ ἐν τῷ σκηνώματί σου.			Δέν θά σέ πλησιάσουν ποτέ κακά, καί καμμιά μάστιγα ἀσθενείας δέν θά πλησιάσει στήν κατοικία σου.
Ὅτι τοῖς Ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου.			Διότι θά δώσει ἐντολή στούς ἀγγέλους του, νά σέ διαφυλάξουν σέ ὅλους τούς δρόμους (τῆς ζωῆς) σου.
Ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.			Θά σέ σηκώσουν στά χέρια, γιά νά μή σκοντάψει τό πόδι σου σέ καμμιά πέτρα.
Ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσει, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα.			Θά πατήσεις ἐπάνω σέ ἀσπίδα καί βασιλίσκο (δηλητηριώδη φίδια) καί δέν θά πάθεις τίποτε, καί θά καταπατήσεις λιοντάρια καί δράκοντες.
Ὅτι ἐπ' ἐμὲ ἤλπισε, καὶ ῥύσομαι αὐτόν, σκεπάσω αὐτόν, ὅτι ἔγνω τὸ ὄνομά μου.			Ἐπειδή ὁ δοῦλος μου αὐτός στήριξε τήν ἐλπίδα του σ' ἐμένα, (λέγει ὁ Θεός), θά τόν γλυτώσω (ἀπό κάθε κίνδυνο)· Θά τόν σκεπάσω προστατευτικά, γιατί ἀναγνωρίζει τό ὄνομά μου.
Κεκράξεται πρός με, καὶ εἰσακούσομαι αὐτοῦ,			Θά κράζει πρός ἐμένα καί θά τόν ἀκούω, θά εἶμαι μαζί

μετ' αὐτοῦ εἰμι ἐν θλίψει· Ἐξελοῦμαι αὐτόν, καὶ δοξάσω αὐτόν. Μακρότητα ἡμερῶν ἐμπλήσω αὐτόν, καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου. Δόξα... Καὶ νῦν... Ἀλληλούια, (γ΄.). Δόξα σοι ὁ Θεός,(γ΄.). Κύριε, ἐλέησον (γ'). Δόξα... Καὶ νῦν... (Καί ψάλλομεν τό ἑξῆς μετά ἐφυμνίου ἀνά στίχον): Ὅτι μεθ' ἡμῶν ὁ Θεός. Μεθ' ἡμῶν ὁ Θεός, γνῶτε ἔθνη καὶ ἡττᾶσθε, ὅτι μεθ' ἡμῶν ὁ Θεός. Ἐπακούσατε ἕως ἐσχάτου τῆς γῆς. Ἰσχυκότες ἡττᾶσθε. Ἐὰν γὰρ πάλιν ἰσχύσητε, καὶ πάλιν ἡττηθήσεσθε. Καὶ ἢν ἂν βουλὴν βουλεύσησθε, διασκεδάσει Κύριος. Καὶ λόγον, ὃν ἐὰν λαλήσητε, οὐ μὴ ἐμμείνῃ ἐν ὑμῖν, Τὸν δὲ φόβον ὑμῶν οὐ μὴ φοβηθῶμεν, ουδ' οὐ μὴ ταραχθῶμεν. Κύριον δὲ τὸν Θεὸν ἡμῶν, αὐτὸν ἁγιάσωμεν, καὶ αὐτὸς ἔσται ἡμῖν φόβος. Καὶ ἐὰν ἐπ' αὐτῷ πεποιθὼς ᾖ ἔσται μοι εἰς ἁγιασμόν. Καὶ πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ, καὶ σωθήσομαι δι' αὐτοῦ.			του σέ κάθε θλίψη· Θά τόν βγάλω ἀπό τίς δοκιμασίες καί θά τόν δοξάσω. Θά χαρίσω σ' αὐτόν μακροημέρευση, καί θά τοῦ δείχνω τή σωτηρία μου. Δόξα... Καὶ νῦν... Ἀλληλούϊα (γ΄.). Δόξα σοι ὁ Θεός (γ΄.). Κύριε, ἐλέησον (γ'). Δόξα... Καὶ νῦν... (Ψάλλουμε τό ἑξῆς: Μέ ἐπῳδό: Ὅτι μεθ' ἡμῶν ὁ Θεός). Ὁ Θεός εἶναι μαζί μας, κατανοῆστε το ἐσεῖς τά ἔθνη καί ὑποχωρῆστε, διότι εἶναι μαζί μας ὁ Θεός. Ἀκοῦστε το μέχρι τά πέρατα τῆς γῆς. Ἐσεῖς οἱ ἰσχυροί, ὑποχωρῆστε. Ἐάν ἀποκτήσετε πάλι δύναμη, πάλι θά ἡττηθεῖτε (θά νικηθεῖτε). Καί ὅποια ἀπόφαση κι ἄν πάρετε, θά τή ματαιώσει ὁ Θεός. Καί ὅποιο λόγο ἀπειλητικό κι ἄν πεῖτε, δέν θά πραγματοποιηθεῖ γιά χάρη σας. Καί δέν θά φοβηθοῦμε τό φόβο τό δικό σας, οὔτε θά ταραχθοῦμε. Ἀντίθετα ἄς ἀποδείξουμε τήν ἁγιότητα τοῦ Θεοῦ, καί αὐτός ἄς εἶναι γιά μᾶς ὁ μόνος φόβος, πού ἐμπνέεται ἀπ' αὐτόν. Καί ἐάν ἔχω τήν πεποίθησή μου σ' αὐτόν, αὐτό θά εἶναι γιά μένα αἰτία ἁγιασμοῦ. Καί θά στηρίξω τήν πεποίθησή μου (τήν ἐμπιστοσύνη μου) ἐπάνω του, καί θά σωθῶ μέσῳ αὐτοῦ.

Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἃ μοι ἔδωκεν ὁ Θεός. Ὁ λαὸς ὁ πορευόμενος ἐν σκότει, ἴδε φῶς μέγα. Οἱ κατοικοῦντες ἐν χώρᾳ, καὶ σκιᾷ θανάτου, φῶς λάμψει ἐφ' ἡμᾶς. Ὅτι Παιδίον ἐγεννήθη ἡμῖν, Υἱός, καὶ ἐδόθη ἡμῖν. Οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ. Καί τῆς εἰρήνης αὐτοῦ οὐκ ἔστιν ὅριον. Καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ, Μεγάλης Βουλῆς Ἄγγελος. Θαυμαστὸς σύμβουλος. Θεὸς ἰσχυρός, Ἐξουσιαστής, Ἄρχων εἰρήνης. Πατὴρ τοῦ μέλλοντος αἰῶνος. Δόξα... Ὅτι μεθ' ἡμῶν ὁ Θεός. Καὶ νῦν... Ὅτι μεθ' ἡμῶν ὁ Θεός. Μεθ' ἡμῶν ὁ Θεός , γνῶτε ἔθνη καὶ ἡττᾶσθε, ὅτι μεθ' ἡμῶν ὁ Θεός. Τροπάρια (χῦμα). Τὴν ἡμέραν διελθών, εὐχαριστῶ σοι, Κύριε, τὴν ἑσπέραν, αἰτοῦμαι, σὺν τῇ νυκτὶ ἀναμάρτητον, παράσχου μοι, Σωτήρ, καὶ σῶσόν με. Δόξα... Τὴν ἡμέραν παρελθών, δοξολογῶ σε, Δέσποτα, τὴν ἑσπέραν αἰτοῦμαι, σὺν τῇ νυκτὶ ἀσκανδάλιστον, παράσχου μοι, Σωτήρ, καὶ σῶσόν με.			Νά ἐγώ καί τά παιδιά πού μοῦ ἔδωσε ὁ Θεός. Ὁ λαός πού πορευόταν στό σκοτάδι, εἶδε μέγα φῶς. Ἐσεῖς πού κατοικεῖτε σέ χώρα καί σκιά θανάτου, θά λάμψει φῶς ἐπάνω σας.. Διότι ἕνα Παιδί γεννήθηκε γιά σᾶς, Υἱός καί δόθηκε σ' ἐσᾶς. Τά διάσημα (τά διακριτικά) τῆς ἐξουσίας του εἶναι ἐπάνω στόν ὦμο του. Καί ἡ εἰρήνη, πού θά φέρει, δέν θά ἔχει τέλος. Καί τό ὄνομά του εἶναι: Ἀγγελιοφόρος τῆς μεγάλης βουλῆς (ἀποφάσεως) τοῦ Θεοῦ. Θαυμαστός Σύμβουλος. Θεός ἐξουσιαστής, ἄρχοντας τῆς εἰρήνης. Πατέρας τοῦ μελλοντικοῦ αἰώνα. Δόξα … Διότι εἶναι μαζί μας ὁ Θεός. Καί νῦν… Διότι εἶναι μαζί μας ὁ Θεός. Ὁ Θεός εἶναι μαζί μας, κατανοῆστε το ἐσεῖς τά ἔθνη καί ὑποχωρῆστε, διότι εἶναι μαζί μας ὁ Θεός. Τροπάρια (χύμα). Ἀφοῦ πέρασα τήν ἡμέρα, σέ εὐχαριστῶ, Κύριε, Ζητῶ τό βράδυ μαζί μέ τή νύχτα ἀναμάρτητο, δός μου τα, Σωτήρα, καί σῶσε με. Δόξα Πατρί... Ἀφοῦ προσπέρασα τήν ἡμέρα, σέ δοξολογῶ, Κύριε. Ζητῶ τό βράδυ μαζί μέ τή νύχτα ἀσκανδάλιστο, δός μου τα, Σωτήρα, καί σῶσε με.

Καὶ νῦν... Τὴν ἡμέραν διαβάς, ὑμνολογῶ σε, Ἅγιε, τὴν ἑσπέραν, αἰτοῦμαι, σὺν τῇ νυκτὶ ἀνεπίβουλον, παράσχου μοι, Σωτήρ, καὶ σῶσόν με. Ἡ ἀσώματος φύσις, τὰ Χερουβίμ, ἀσιγήτοις σε ὕμνοις, δοξολογεῖ. Ἑξαπτέρυγα ζῷα, τὰ Σεραφίμ, ταῖς ἀπαύστοις φωναῖς σε, ὑπερυψοῖ. Τῶν Ἀγγέλων τε πᾶσα ἡ στρατιά, τρισαγίοις σὲ ᾄσμασιν, εὐφημεῖ. Πρὸ γὰρ πάντων ὑπάρχεις, ὁ ὢν Πατήρ, καὶ συνάναρχον ἔχεις, τὸν σὸν Υἱόν. Καὶ ἰσότιμον φέρων, Πνεῦμα ζωῆς, τῆς Τριάδος δεικνύεις, τὸ ἀμερές. Παναγία Παρθένε, Μήτηρ Θεοῦ, οἱ τοῦ Λόγου αὐτόπται, καὶ ὑπουργοί, Προφητῶν καὶ Μαρτύρων,πάντες χοροί, ὡς ἀθάνατον ἔχοντες, τὴν ζωήν, Ὑπὲρ πάντων πρεσβεύσατε, ἐκτενῶς, ὅτι πάντες ὑπάρχομεν, ἐν δεινοῖς. Ἵνα πλάνης ῥυσθέντες, τοῦ πονηροῦ, τῶν Ἀγγέλων βοήσωμεν, τὴν ᾠδήν. Ἅγιε, Ἅγιε, Ἅγιε, Τρισάγιε Κύριε, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν. Τό σύμβολον τῆς Πίστεως. Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, Παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων.			Καί νῦν... Ἀφοῦ ἔχω διαβεῖ τήν ἡμέρα, σέ ὑμνολογῶ, Ἅγιε· Ζητῶ τό βράδυ μαζί μέ τή νύχτα χωρίς ὑπουλότητα σέ βάρος μου, δός μου τα, Σωτήρα, καί σῶσε με. Ἡ ἀσώματη φύση, δηλαδή τά Χερουβίμ, μέ ἀκατάπαυστους ὕμνους σέ δοξολογοῦν. Τά Ἑξαπτέρυγα, τά ζωντανά ὄντα (μέ τά ἕξη φτερά), δηλαδή τά Σεραφίμ, μέ ἀκατάπαυστες φωνές σέ ὑπερυψώνουν. Καί ὅλη ἡ στρατιά τῶν Ἀγγέλων σέ ἐγκωμιάζει μέ τόν τρισάγιο ὕμνο. Διότι Ἐσύ ὑπάρχεις πρίν ἀπό ὅλα, ὁ ἀληθινός Πατέρας, καί ἔχεις μαζί σου ἐπίσης Ἄναρχο τόν Υἱό σου. Καί φέροντας ἰσότιμο τό Πνεῦμα τῆς ζωῆς, δείχνεις ὅτι ἡ Ἁγία Τριάδα εἶναι ἀχώριστη. Παναγία Παρθένε, Μητέρα του Θεοῦ, Ἀπόστολοι, πού εἴδατε μέ τά μάτια σας τό Λόγο τοῦ Θεοῦ καί τόν ὑπηρετήσατε· Ὅλα τά πλήθη τῶν Προφητῶν καί τῶν Μαρτύρων, πού ἔχετε ἀθάνατη τή ζωή, Πρεσβεύσατε γιά ὅλους παρατεταμένα, διότι ὅλοι βρισκόμαστε μέσα σέ δεινά (συμφορές). Ὥστε ὅλοι ἀπαλλαγμένοι ἀπό τόν πονηρό, νά κραυγάσουμε τόν ὕμνο τῶν Ἀγγέλων. Ἅγιε, Ἅγιε, Ἅγιε, Τρισάγιε Κύριε, ἐλέησε καί σῶσε μας. Ἀμήν. Τό σύμβολο τῆς Πίστεως. Πιστεύω σέ ἕνα Θεό, Πατέρα, παντοκράτορα, Ποιητήν οὐρανοῦ καί γῆς, καί τῶν ὁρατῶν ὅλων καί τῶν ἀοράτων.

Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱόν τοῦ Θεοῦ τὸν Μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων. Φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι' οὗ τὰ πάντα ἐγένετο. Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος Ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα. Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα. Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς. Καὶ ἀνελθόντα εἰς τοὺς Οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός. Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ της βασιλείας οὐκ ἔσται τέλος. Καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ Κύριον, τὸ Ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διά τῶν Προφητῶν. Εἰς Μίαν , Ἁγίαν, Καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν. Ὁμολογῶ ἕν Βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ ἀνάστασιν νεκρῶν. Καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.			Καί σέ ἕνα Κύριον Ἰησοῦ Χριστό, τόν Υἱό τοῦ Θεοῦ τόν Μονογενῆ, ὁ ὁποῖος γεννήθηκε ἀπό τόν Πατέρα πρίν ἀπό ὅλους τούς αἰῶνες· Φῶς ἀπό φῶς, Θεόν ἀληθινό ἀπό Θεόν ἀληθινό, πού γεννήθηκε καί δέν δημιουργήθηκε, πού εἶναι ὁμοούσιος (τῆς ἴδιας οὐσίας) μέ τόν Πατέρα, καί διά τοῦ ὁποίου ἔγιναν τά πάντα. (Πιστεύω στόν Χριστό), ὁ ὁποῖος γιά μᾶς τούς ἀνθρώπους καί γιά τή δική μας σωτηρία κατέβηκε ἀπό τούς οὐρανούς, καί πῆρε σάρκα ἀπό τό Ἅγιο Πνεῦμα καί τή Μαρία τήν Παρθένο, καί ἔγινε ἄνθρωπος. Καί σταυρώθηκε γιά μᾶς ἐπί τῆς ἐποχῆς τοῦ Ποντίου Πιλάτου, καί ἔπαθε, καί ἐτάφη. Καί ἀναστήθηκε κατά τήν τρίτη ἡμέρα σύμφωνα μέ τίς Γραφές. Καί ἀνέβηκε στούς οὐρανούς, καί κάθεται στά δεξιά τοῦ Πατέρα. Καί θά ἔλθει πάλι μέ δόξα, γιά νά κρίνει ζωντανούς καί νεκρούς, καί ἡ Βασιλεία του δέν θά ἔχει τέλος. (Πιστεύω) Καί στό Πνεῦμα τό Ἅγιο, πού εἶναι Κύριος, δίνει ζωή, πηγάζει (ἐκπορεύεται) ἀπό τόν Πατέρα, καί προσκυνεῖται μαζί μέ τόν Πατέρα καί τόν Υἱό, καί δοξάζεται μαζί τους, καί μίλησε μέ τούς Προφῆτες. (Πιστεύω) Σέ Μία, Ἁγία, Καθολική καί Ἀποστολική Ἐκκλησία. Ὁμολογῶ ὅτι ὑπάρχει ἕνα Βάπτισμα γιά συγχώρηση ἁμαρτιῶν. Περιμένω ἀνάσταση νεκρῶν. Καί περιμένω ζωή μελλοντική αἰώνια. Ἀμήν.

Παναγία Δέσποινα Θεοτόκε, πρέσβευε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν. (γ'.). Πᾶσαι αἱ οὐράνιαι Δυνάμεις τῶν ἁγίων Ἀγγέλων καὶ Ἀρχαγγέλων, πρεσβεύσατε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν (δίς). Ἅγιε Ἰωάννη, Προφῆτα καὶ Πρόδρομε, καὶ Βαπτιστὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν (δίς). Ἅγιοι ἔνδοξοι Ἀπόστολοι, Προφῆται, καί Μάρτυρες, καὶ πάντες Ἅγιοι, πρεσβεύσατε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν. (δίς). Ὅσιοι, θεοφόροι Πατέρες ἡμῶν, Ποιμένες, καὶ Διδάσκαλοι τῆς οἰκουμένης, πρεσβεύσατε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν (δίς). (Ὁ Ἅγιος τοῦ Ναοῦ). Ἡ ἀήττητος, καὶ ἀκατάλυτος, καὶ θεία δύναμις τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἁμαρτωλούς (δίς). Ὁ Θεός, ἱλάσθητι ἡμῖν τοῖς ἁμαρτωλοῖς (γ'.). Καὶ ἐλέησον ἡμᾶς. Τρισάγιον (Σελίς 15-16). (Τῇ Δευτέρᾳ καί Τετάρτῃ τροπάρια τά ἑξῆς): Φώτισον τοὺς ὀφθαλμούς μου, Χριστὲ ὁ Θεός, μήποτε ὑπνώσω εἰς θάνατον, μήποτε εἴπῃ ὁ ἐχθρός μου· Ἴσχυσα πρὸς αὐτόν. Δόξα... Ἀντιλήπτωρ τῆς ψυχῆς μου, γενοῦ, ὁ Θεός, ὅτι μέσον διαβαίνω παγίδων πολλῶν, ῥῦσαί με ἐξ αὐτῶν, καὶ σῶσόν με, ἀγαθέ, ὡς φιλάνθρωπος.			Παναγία Κυρία Θεοτόκε, πρέσβευε γιά μᾶς τούς ἁμαρτωλούς. (γ'.). Ὅλες οἱ οὐράνιες Δυνάμεις τῶν ἁγίων Ἀγγέλων καί Ἀρχαγγέλων, πρεσβεύσατε γιά μᾶς τούς ἁμαρτωλούς. (β'.). Ἅγιε Ἰωάννη Προφῆτα καί Πρόδρομε καί Βαπτιστά τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, πρέσβευε γιά μᾶς τούς ἁμαρτωλούς. (β'.). Ἅγιοι ἔνδοξοι Ἀπόστολοι, Προφῆτες καί Μάρτυρες καί ὅλοι οἱ Ἅγιοι, πρεσβεύσατε γιά μᾶς τούς ἁμαρτωλούς. (β'.). Ὅσιοι θεοφόροι Πατέρες μας, Ποιμένες καί Διδάσκαλοι τῆς οἰκουμένης, πρεσβεύσατε γιά μᾶς τούς ἁμαρτωλούς. (β'.). (Ὁ Ἅγιος τοῦ Ναοῦ). Ἡ ἀήττητη καί ἀκατάλυτη καί θεία δύναμη τοῦ Τιμίου καί ζωοποιοῦ Σταυροῦ, μή ἐγκαταλείψεις ἐμᾶς τούς ἁμαρτωλούς. (β'.). Θεέ μου, συγχώρησε ἐμᾶς τούς ἁμαρτωλούς. (γ'.). Καί ἐλέησέ μας. Τρισάγιο. (Σελίδα 15-16). (Κατά τή Δευτέρα καί τήν Τετάρτη λέγονται τροπάρια). Φώτισε τά μάτια μου, Χριστέ Θεέ μου, γιά νά μήν πέσω στόν ὕπνο τοῦ θανάτου, γιά νά μήν πεῖ κάποτε ὁ ἐχθρός μου, «τόν νίκησα». Δόξα... Γίνε βοηθός τῆς ψυχῆς μου, Θεέ μου, διότι διαβαίνω μέσα ἀπό πολλές παγίδες· Λύτρωσέ με ἀπ' αὐτές, καί σῶσε με, Ἀγαθέ, ὡς φιλάνθρωπος.

Καὶ νῦν... Θεοτοκίον. Ὅτι οὐκ ἔχομεν παρρησίαν, διὰ τά πολλὰ ἡμῶν ἁμαρτήματα, σὺ τὸν ἐκ σοῦ γεννηθέντα δυσώπησον, Θεοτόκε Παρθένε· πολλὰ γὰρ ἰσχύει δέησις Μητρός, πρὸς εὐμένειαν Δεσπότου· μὴ παρίδῃς ἁμαρτωλῶν ἱκεσίας ἡ πάνσεμνος, ὅτι ἐλεήμων ἐστί, καὶ σῴζειν δυνάμενος, ὁ καὶ παθεῖν ὑπὲρ ἡμῶν, σαρκὶ καταδεξάμενος. (Τῇ Τρίτῃ καί Πέμπτῃ. Τροπάρια, τά ἑξῆς): Τῶν ἀοράτων ἐχθρῶν μου τὸ ἄυπνον ἐπίστασαι, Κύριε, καὶ τῆς ἀθλίας σαρκός μου, τὸ ἄτονον ἔγνως, ὁ πλάσας με· διὸ εἰς χεῖράς σου, παραθήσομαι τὸ πνεῦμά μου. Σκέπασόν με πτέρυξι τῆς σῆς ἀγαθότητος, ἵνα μὴ ὑπνώσω εἰς θάνατον, καὶ τοὺς νοεροὺς ὀφθαλμούς μου φώτισον, ἐν τῇ τρυφῇ τῶν θείων λόγων σου, καὶ διέγειρόν με ἐν καιρῷ εὐθέτῳ, πρὸς σὴν δοξολογίαν, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος. Στίχ. Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με, κατὰ τὸ κρῖμα τῶν ἀγαπώντων τὸ ὄνομά σου. Ὡς φοβερὰ ἡ κρίσις σου, Κύριε, τῶν Ἀγγέλων παρισταμένων, τῶν ἀνθρώπων εἰσαγομένων, τῶν βίβλων ἀνεῳγμένων, τῶν ἔργων ἐρευνωμένων, τῶν λογισμῶν ἐξεταζομένων. Ποία κρίσις ἔσται ἐν ἐμοί, τῷ συλληφθέντι ἐν ἁμαρτίαις; τίς μου τὴν φλόγα κατασβέσει; τίς μου τὸ σκότος καταλάμψει; εἰ μή, σύ, Κύριε, ἐλεήσεις με, ὡς φιλάνθρωπος;			Καί νῦν … Θεοτοκίο. Ἐπειδή δέν ἔχουμε θάρρος ἐξ αἰτίας τῶν πολλῶν ἁμαρτημάτων μας, Ἐσύ παρακάλεσε, Θεοτόκε Παρθένε, αὐτόν πού γεννήθηκε ἀπό σένα· Διότι ἔχει πολλή δύναμη ἡ παράκληση τῆς Μητέρας, γιά νά κάνει εὐνοϊκό τόν Κύριο· Μήν παραβλέψεις, πάνσεμνη, τίς ἱκεσίες τῶν ἁμαρτωλῶν· Διότι εἶναι σπλαχνικός, καί μπορεῖ νά σώζει, ἐκεῖνος πού καταδέχθηκε νά πάθει σωματικά γιά μᾶς. (Κατά τήν Τρίτη καί Πέμπτη. Τροπάρια τά ἑξῆς:). Γνωρίζεις, Κύριε, ὅτι δέν κοιμοῦνται οἱ ἀόρατοι ἐχθροί μου, καί γνωρίζεις ἐπίσης τήν ἀδυναμία τοῦ ἀθλίου μου σώματος, Πλάστη μου· γι' αὐτό στά χέρια σου ἐμπιστεύομαι τό πνεῦμα μου. Σκέπασέ με μέ τά φτερά τῆς ἀγαθότητάς σου, γιά νά μήν πέσω σέ ὕπνο θανάτου· Καί φώτισε τά πνευματικά μου μάτια, μέ τήν ἀπόλαυση τῶν θεϊκῶν σου λόγων· καί ξύπνα με στόν κατάλληλο καιρό, γιά νά δοξολογήσω ἐσένα, πού εἶσαι ὁ μόνος ἀγαθός καί φιλάνθρωπος. Στίχ. Ρίξε ἐπάνω μου σπλαχνικό τό βλέμμα σου, καί ἐλέησέ με, σύμφωνα μέ τήν κρίση πού ἔχεις, γι' αὐτούς πού ἀγαποῦν τό ὄνομά σου. Πόσο φοβερή θά εἶναι ἡ κρίση σου, Κύριε, ὅταν θά παραστέκονται οἱ Ἄγγελοι, θά ὁδηγοῦνται μπροστά σου οἱ ἄνθρωποι, θά ἀνοίγονται τά βιβλία, θά ἐρευνῶνται τά ἔργα, θά περνοῦν ἀπό λεπτομερῆ ἐξέταση οἱ λογισμοί· ποιά κατάδίκη θά ἐπιβληθεῖ σ' ἐμένα, πού γεννήθηκα μέσα σέ ἁμαρτίες; Ποιός θά μοῦ σβήσει τή φλόγα τῆς κολάσεως; ποιός θά μοῦ φωτίσει τό σκοτάδι; ἐάν Ἐσύ δέν μέ ἐλεήσεις,

Δόξα... Δάκρυά μοι δός, ὁ Θεός, ὥς ποτε τῇ γυναικὶ τῇ ἁμαρτωλῷ, καὶ ἀξίωσόν με βρέχειν τοὺς πόδας σου, τοὺς ἐμὲ ἐκ τῆς ὁδοῦ, τῆς πλάνης ἐλευθερώσαντας, καὶ μύρον εὐωδίας σοι προσφέρειν, βίον καθαρὸν ἐν μετανοίᾳ μοι κτισθέντα, ἵνα ἀκούσω κἀγὼ τῆς εὐκταίας σου φωνῆς. Ἡ πίστις σου σέσωκέ σε, πορεύου εἰς εἰρήνην. Καὶ νῦν... Θεοτοκίον. Τὴν ἀκαταίσχυντον, Θεοτόκε, ἐλπίδα σου ἔχων, σωθήσομαι, τὴν προστασίαν σου κεκτημένος, Πανάχραντε, οὐ φοβηθήσομαι, καταδιώξω τοὺς ἐχθρούς μου, καὶ τροπώσομαι αὐτούς, μόνην ἀμπεχόμενος, ὡς θώρακα, τὴν σκέπην σου, καὶ τὴν παντοδύναμον βοήθειάν σου, καθικετεύων, βοῶ σοι· Δέσποινα, σῶσόν με ταῖς πρεσβείαις σου, καὶ ἀνάστησόν με ἐκ ζοφώδους ὕπνου, πρὸς σὴν δοξολογίαν, δυνάμει τοῦ ἐκ σοῦ σαρκωθέντος, Υἱοῦ τοῦ Θεοῦ. Τὸ Κύριε, ἐλέησον (Μ'.). Δόξα... Καὶ νῦν... Τὴν τιμιωτέραν... (Σελίς 39-40). Ἐν ὀνόματι Κυρίου εὐλόγησον, Πάτερ. Δι' εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν. Εὐχή τοῦ Μεγάλου Βασιλείου.			ὡς φιλάνθρωπος; Δόξα … Δός μου δάκρυα, Θεέ μου, ὅπως κάποτε στήν ἁμαρτωλή γυναίκα, καί ἀξίωσέ με, νά βρέχω τά πόδια σου, τά ὁποῖα μέ ἐλευθέρωσαν ἀπό τό δρόμο τῆς πλάνης, καί νά σοῦ προσφέρω, ὡς εὐωδιαστό μύρο, ζωή καθαρή, πού μοῦ προῆλθε ἀπό τή μετάνοια· Γιά νά ἀκούσω καί ἐγώ τή φωνή σου, πού εὔχομαι· ἡ πίστη σου σέ ἔσωσε, πήγαινε στό καλό, μέ εἰρήνη. Καί νῦν … Θεοτοκίο. Ἔχοντας, Θεοτόκε,τήν ἐλπίδα σ' ἐσένα πού δέν ντροπιάζεσαι, θά σωθῶ. Κατέχοντας τήν προστασία σου, Παναμόλυντη, δέν θά φοβηθῶ. Θά καταδιώξω τούς ἐχθρούς μου, καί θά τούς τρέψω σέ φυγή, φορώντας ὡς θώρακα μόνο τή σκέπη σου· καί ζητώντας ἱκετευτικά τήν παντοδύναμη βοήθειά σου, φωνάζω σ' ἐσένα· Κυρία, σῶσε με μέ τίς πρεσβεῖες σου, καί ἀνάστησέ με ἀπό τόν κατασκότεινο ὕπνο γιά νά σέ δοξολογῶ, μέ τή δύναμη τοῦ Υἱοῦ τοῦ Θεοῦ, πού πῆρε σάρκα ἀπό σένα. Κύριε, ἐλέησον. (40 φορές). Δόξα Πατρί... Καί νῦν καί ἀεί... Τὴν τιμιωτέραν... (Σελίς 39-40). Στό ὄνομα τοῦ Κυρίου εὐλόγησέ μας, πάτερ. Μέ τίς εὐχές τῶν ἁγίων Πατέρων μας, Κύριε Ἰησοῦ Χριστέ, Θεέ μας, ἐλέησε καί σῶσε μας. Ἀμήν. Εὐχή τοῦ Μεγάλου Βασιλείου.

Κύριε, Κύριε, ὁ ῥυσάμενος ἡμᾶς ἀπὸ παντὸς βέλους πετομένου ἡμέρας, ῥῦσαι ἡμᾶς καὶ ἀπὸ παντὸς πράγματος ἐν σκότει διαπορευομένου. Πρόσδεξαι θυσίαν ἑσπερινήν, τὰς τῶν χειρῶν ἡμῶν ἐπάρσεις. Καταξίωσον δὲ ἡμᾶς καὶ τὸ νυκτερινὸν στάδιον ἀμέμπτως διελθεῖν, ἀπειράστους κακῶν, καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ταραχῆς καὶ δειλίας, τῆς ἐκ τοῦ διαβόλου ἡμῖν προσγινομένης. Χάρισαι ταῖς ψυχαῖς ἡμῶν κατάνυξιν, καὶ τοῖς λογισμοῖς ἡμῶν μέριμναν τῆς ἐν τῇ φοβερᾷ καὶ δικαίᾳ σου κρίσει ἐξετάσεως. Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας ἡμῶν, καὶ νέκρωσον τὰ μέλη ἡμῶν τὰ ἐπὶ τῆς γῆς, ἵνα καὶ ἐν τῇ καθ' ὕπνον ἡσυχίᾳ ἐμφαιδρυνώμεθα τῇ θεωρίᾳ τῶν κριμάτων σου. Ἀπόστησον δὲ ἀφ' ἡμῶν πᾶσαν φαντασίαν ἀπρεπῆ, καὶ ἐπιθυμίαν βλαβεράν. Διανάστησον δὲ ἡμᾶς ἐν τῷ καιρῷ τῆς προσευχῆς ἐστηριγμένους ἐν τῇ πίστει, καὶ προκόπτοντας ἐν τοῖς παραγγέλμασί σου, εὐδοκίᾳ καὶ ἀγαθότητι τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Δεῦτε, προσκυνήσωμεν. (Σελίς 140). ΨΑΛΜΟΣ Ν'. (50). Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου			Κύριε, Κύριε, Ἐσύ πού μᾶς γλύτωσες ἀπό κάθε βέλος, πού πετάει τήν ἡμέρα, λύτρωσέ μας καί ἀπό κάθε πρᾶγμα πού κινεῖται στό σκοτάδι. Δέξου τόν ἑσπερινή θυσία τό ὅτι ὑψώνουμε σ' ἐσένα τά χέρια μας. Καί καταξίωσέ μας νά περάσουμε ἄμεμπτα τό χρονικό διάστημα τῆς νύχτας, ἀπείραχτοι ἀπό τό κακό· Καί λύτρωσέ μας ἀπό κάθε ταραχή καί δειλία πού μᾶς φέρνει ὁ διάβολος. Χάρισε στίς ψυχές μας κατάνυξη, καί στούς λογισμούς μας φροντίδα, σχετικά μέ τήν ἐκ μέρους σου ἐξέταση σέ βάρος μας, κατά τή φοβερή καί δίκαιή σου κρίση. Κράτησε καθηλωμένο (καρφωμένο) τό σῶμα μας ἀπό τό φόβο σου, καί νέκρωσε τά ἐπίγεια μέλη μας, ὥστε, καί κατά τήν ἡσυχία στή διάρκεια τοῦ ὕπνου, νά χαιρόμαστε μέ τή θεωρία τῶν δικαίων ἀποφάσεών σου. Καί ἀπομάκρυνε ἀπό μᾶς κάθε ἀπρεπῆ φαντασία, καί βλαβερή ἐπιθυμία. Καί κράτησέ μας ὄρθιους κατά τόν καιρό τῆς προσευχῆς, γιά νά εἴμαστε στηριγμένοι στήν πίστη, καί νά προοδεύουμε στήν τήρηση τῶν ἐντολῶν σου μέ τήν ἀγάπη καί ἀγαθότητα τοῦ Μονογενοῦς σου Υἱοῦ, μαζί μέ τόν ὁποῖο εἶσαι ἄξιος δοξολογίας, καί μαζί μέ τό Πανάγιο καί ἀγαθό καί ζωοποιό σου Πνεῦμα, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν. Δεῦτε, προσκυνήσωμεν. (Σελίς 140). ΨΑΛΜΟΣ Ν'. (50). Ἐλέησέ με, Θεέ μου, σύμφωνα μέ τό μέγα ἔλεός σου, καί σύμφωνα μέ τό πλῆθος τῆς εὐσπλαχνίας σου σβῆσε ἐντελῶς τήν παρανομία μου. Πλύνε με πάλι καί πάλι ἀπό τήν ἀνομία μου, καί ἀπό τήν

καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντὸς. Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ραντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι, πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ πνεῦμά σου τὸ ἅγιόν μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ			ἀκαθαρσία τῆς ἁμαρτίας μου καθάρισέ με. (Ζητῶ τό ἔλεός σου), διότι ἐγώ ἀναγνωρίζω τήν ἀνομία μου μου καί ἡ ἁμαρτία μου ὀρθώνεται μπροστά μου γιά πάμου καί ἡ ἁμαρτία μου εἶναι μπροστά μου γιά πάντα Σ' ἐσένα ἀποκλειστικά ἁμάρτησα, καί ἔπραξα τό πονηρό μπροστά σου· (τά ὁμολογῶ αὐτά), γιά νά φανεῖς, πόσο δίκαιος εἶσαι στίς καταδικαστικές ἀποφάσεις σου, καί νά ἀναδειχθεῖς νικητής, ὅταν κακόβουλα σέ ἐπικρίνουν. (Ἐλέησέ με), διότι μέσα σέ ἀνομίες ἔγινε ἡ σύλληψή μου, καί μέσα σέ ἁμαρτίες μέ κυοφόρησε στά σπλάχνα της ἡ μητέρα μου. Ἐσύ ἀγαπᾶς τήν ἀλήθεια. Φανέρωσέ μου τά ἄγνωστα καί κρυμμένα μυστήρια τῆς σοφίας σου, (γιά νά φυλαχθῶ). Θά μέ ραντίσεις μέ ὕσσωπο (ποῶδες φυτό ὅπως ὁ βασιλικός) καί θά καθαρισθῶ· θά μέ πλύνεις καί θά λευκανθῶ πιό πολύ ἀπό τό χιόνι. Θά μέ κάνεις νά ἀκούσω λόγια πού προξενοῦν ἀγαλλίαση καί εὐφροσύνη· θά αἰσθανθοῦν ἀγαλλίαση τά ταπεινωμένα ὀστά μου (τά κόκκαλά μου). Ἀπόστρεψε (γύρισε) τό πρόσωπό σου ἀπό τίς ἁμαρτίες μου, καί σβῆσε ἐντελῶς ὅλες τίς ἀνομίες μου. Καρδιά καθαρή κτίσε μέσα μου, ὦ Θεέ, καί ἐγκαινίασε στά κατάβαθά μου πνεῦμα μέ ὀρθό φρόνημα. Μή μέ ἀπορρίψεις ἀπό τό πρόσωπό σου, καί μήν ἀφαιρέσεις ἀπό μένα τό Πνεῦμα σου τό Ἅγιο. Δῶσε μου τήν ἀγαλλίαση γιά τή σωτηρία, πού προέρχεται ἀπό σένα, καί στήριξέ με μέ πνεῦμα αὐτοκυριαρχίας. Ἔτσι θά διδάξω τό νόμο σου σέ πολλούς παρανόμους,

σὲ ἐπιστρέψουσιν. Ρῦσαί με ἐξ αἱμάτων ὁ Θεὸς ὁ Θεὸς τῆς σωτηρίας μου ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ὅτι εἰ ἠθέλησας θυσίαν ἔδωκα ἂν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ἀγάθυνον Κύριε ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλημ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους. ΨΑΛΜΟΣ ΡΑ'. (101) Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλθέτω. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, ἐν ᾗ ἂν ἡμέρα, θλίβωμαι, κλῖνον πρός με τὸ οὖς σου. Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ ἐπάκουσόν μου, Ὅτι ἐξέλιπον ὡσεὶ καπνὸς αἱ ἡμέραι μου, καὶ τὰ ὀστᾶ μου ὡσεὶ φρύγιον συνεφρύγησαν. Ἐπλήγην ὡσεὶ χόρτος, καὶ ἐξηράνθη ἡ καρδία μου, ὅτι ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου.			ὥστε νά ἐπιστρέψουν σ' ἐσένα πολλοί ἀσεβεῖς. Ἀπάλλαξέ με, Θεέ μου, Θεέ Σωτήρα μου, ἀπό τήν ἐνοχή τῶν αἱμάτων, (πού χύθηκαν ἐξ αἰτίας μου)· τότε ἡ γλῶσσα μου θά διαλαλεῖ μέ ἀγαλλίαση τήν ἀγαθή δικαιοσύνη σου. Κύριε, θά ἀνοίξεις τά χείλη μου, καί τό στόμα μου θά διαλαλεῖ τόν ὕμνο σου. Διότι, ἄν ἤθελες θυσία, εὐχαρίστως θά τήν πρόσφερα. Ἐσύ ὅμως δέ μένεις εὐχαριστημένος μέ ὁλοκαυτώματα (θυσία πού καίεται ὅλο τό ζῶο). Θυσία εὐάρεστη στόν Θεό εἶναι ἡ ψυχή ἡ συντετριμμένη· Καρδιά συντετριμμένη καί ταπεινωμένη ὁ Θεός δέ θά τήν περιφρονήσει. Δεῖξε, Κύριε, ἀγαθοσύνη στή Σιών μέ τή χάρη σου, καί ἄς ξαναχτισθοῦν τά τείχη τῆς Ἱερουσαλήμ. Τότε θά δεχθεῖς θυσία σύμφωνη μέ τό Νόμο σου, εὐχαριστήρια θυσία καί ὁλοκαυτώματα. Τότε θά μποροῦν νά ἀνεβάσουν ἐπάνω στό βωμό σου νεαρούς ταύρους. ΨΑΛΜΟΣ ΡΑ΄. (101). Κύριε, εἰσάκουσε τήν προσευχή μου καί ἡ κραυγή μου ἄς φθάσει σ' ἐσένα. Μήν ἀποστρέψεις τό πρόσωπό σου ἀπό μένα· ὅποιαν ἡ μέρα θλίβομαι, στρέψε τό αὐτί σου σ' ἐμένα. Ὅποιαν ἡμέρα θά σέ ἐπικαλεσθῶ, ἐπάκουσέ με ἀμέσως. Διότι χάθηκαν ὡς καπνός οἱ ἡμέρες μου, καί τά κόκκαλά μου ὡς φρύγανα (προσανάμματα) καταξεράθηκαν. Χτυπήθηκα ὡς χόρτο, καί ξεράθηκε ἡ καρδιά μου, διότι λησμόνησα, νά φάγω τό ψωμί μου.

Ἀπὸ φωνῆς τοῦ στεναγμοῦ μου ἐκολλήθη τὸ ὀστοῦν μου τὴ σαρκί μου. Ὡμοιώθην πελεκᾶνι ἐρημικῷ, ἐγενήθην ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ. Ἠγρύπνησα, καὶ ἐγενόμην ὡς στρουθίον μονάζον ἐπὶ δώματος. Ὅλην τὴν ἡμέραν ὠνείδιζόν με οἱ ἐχθροί μου, καὶ οἱ ἐπαινοῦντές με κατ' ἐμοῦ ὤμνυον. Ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφαγον, καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων. Ἀπὸ προσώπου τῆς ὀργῆς σου καὶ τοῦ θυμοῦ σου, ὅτι ἐπάρας κατέρραξάς με. Αἱ ἡμέραι μου ὡσεὶ σκιὰ ἐκλίθησαν, κἀγὼ ὡσεὶ χόρτος ἐξηράνθην. Σὺ δέ, Κύριε, εἰς τὸν αἰῶνα μένεις, καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν. Σὺ ἀναστὰς οἰκτειρήσεις τὴν Σιών, ὅτι καιρὸς τοῦ οἰκτειρῆσαι αὐτήν, ὅτι ἥκει καιρός. Ὅτι εὐδόκησαν οἱ δοῦλοί σου τοὺς λίθους αὐτῆς, καὶ τὸν χοῦν αὐτῆς οἰκτειρήσουσι. Καὶ φοβηθήσονται τὰ ἔθνη τὸ ὄνομά σου, Κύριε, καὶ πάντες οἱ βασιλεῖς τῆς γῆς τὴν δόξαν σου. Ὅτι οἰκοδομήσει Κύριος τὴν Σιών, καὶ ὀφθήσεται ἐν τῇ δόξῃ αὐτοῦ. Ἐπέβλεψεν ἐπὶ τὴν προσευχὴν τῶν ταπεινῶν,			Ἀπό τή φωνή τοῦ στεναγμοῦ μου ἐκόλλησαν τά κόκκαλά μου στή σάρκα μου (ἔγινα πετσί καί κόκκαλο). Ἔγινα ὅμοιος μέ πελεκᾶνο ἐρημικό (μοναχικό), ὅμοιος μέ νυχτοπούλι πού θρηνεῖ ἐπάνω σέ ἐρειπωμένο σπίτι. Ἀγρύπνησα, καί ἔγινα ὅπως τό μοναχικό σπουργίτι ἐπάνω σέ στέγη. Ὅλη τήν ἡμέρα μέ περιγελοῦσαν οἱ ἐχθροί μου, καί αὐτοί πού πρίν μέ ἐπαινοῦσαν, τώρα ὁρκίζονται ἐναντίον μου καί μέ καταριῶνται. Γιατί ἔφαγα τή στάχτη τοῦ πένθους μου ὡς ἄρτο, καί τό νερό πού πίνω, τό ἀνακατώνω μέ τά δάκρυα τοῦ θρήνου μου. (Ὅλα αὐτά τά παθαίνω) ἐξ αἰτίας τῆς ὀργῆς σου καί τοῦ θυμοῦ σου, διότι ἀφοῦ μ' ἐξερρίζωσες (ἀπό τήν Πατρίδα μου), μ' ἐπέταξες (ἐδῶ στήν ξένη χώρα). Οἱ ἡμέρες μου χάνονται ὅπως ἡ σκιά, καί ἐγώ ξεράθηκα ὅπως τό χόρτο. Ἐσύ ὅμως, Κύριε, παραμένεις αἰώνια, καί τό ὄνομά σου μνημονεύεται ἀπό γενιά σέ γενιά. Ἐσύ, Κύριε, σήκω καί δεῖξε τήν εὐσπλαχνία σου στήν Ἱερουσαλήμ, διότι εἶναι καιρός, νά τήν σπλαχνισθεῖς, πράγματι ἦλθε ὁ καιρός. Διότι οἱ δοῦλοι σου ἐπιθύμησαν καί τίς ἐρειπωμένες πέτρες της, καί ἐπιθυμοῦν νά φιλήσουν τό χῶμα της. Καί τότε θά φοβηθοῦν τά ἔθνη τό ὄνομά σου, Κύριε, καί ὅλοι οἱ βασιλεῖς τῆς γῆς τή δόξα σου. Διότι θά ξαναχτίσει ὁ Κύριος τήν Ἱερουσαλήμ, καί θά ἐμφανισθεῖ ἐκεῖ μέ ὅλη τή δόξα του. Ἔριξε στοργικό βλέμμα στήν προσευχή τῶν ταπεινῶν,

καὶ οὐκ ἐξουδένωσε τὴν δέησιν αὐτῶν. Γραφήτω αὕτη εἰς γενεὰν ἑτέραν, καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν Κύριον. Ὅτι ἐξέκυψεν ἐξ ὕψους ἁγίου αὐτοῦ, Κύριος ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν ἐπέβλεψε. Τοῦ ἀκοῦσαι τοῦ στεναγμοῦ τῶν πεπεδημένων, τοῦ λῦσαι τοὺς υἱοὺς τῶν τεθανατωμένων. Τοῦ ἀναγγεῖλαι ἐν Σιὼν τὸ ὄνομα Κυρίου, καὶ τὴν αἴνεσιν αὐτοῦ ἐν Ἰερουσαλήμ. Ἐν τῷ ἐπισυναχθῆναι λαοὺς ἐπὶ τὸ αὐτό, καὶ βασιλεῖς τοῦ δουλεύειν τῷ Κυρίῳ. Ἀπεκρίθη αὐτῷ ἐν ὁδῷ ἰσχύος αὐτοῦ· Τὴν ὀλιγότητα τῶν ἡμερῶν μου ἀνάγγειλόν μοι. Μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου, ἐν γενεᾷ γενεῶν τὰ ἔτη σου. Κατ' ἀρχὰς σύ, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί. Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις, καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται. Καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτούς, καὶ ἀλλαγήσονται, σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν. Οἱ υἱοὶ τῶν δούλων σου κατασκηνώσουσι, καὶ τὸ σπέρμα αὐτῶν εἰς τὸν αἰῶνα κατευθυνθήσεται.			καί δέν περιφρόνησε τή δέησή τους. Ἂς γραφεῖ ἡ προφητεία αὐτή γιά τήν ἑπόμενη γενιά, καί ὁ λαός πού θά γεννηθεῖ (βλέποντας τήν ἐκπλήρωσή της) ἄς δοξολογήσει τόν Κύριο. Διότι ἔσκυψε ἀπό τό ἅγιο ὕψος του, ἀπό τόν οὐρανό, ὁ Κύριος ἔρριξε στοργικό βλέμμα στή γῆ. Γιά νά ἀκούσει τό στεναγμό τῶν ἁλυσοδεμένων, γιά νά ἀπελευθερώσει ἀπό τά δεσμά τούς υἱούς αὐτῶν πού θανατώθηκαν στήν ἐξορία. Γιά νά ἀναγγείλουν αὐτοί στή Σιών τό ὄνομα τοῦ Κυρίου, καί νά ψάλουν τή δοξολογία του ἐκεῖ στήν Ἰερουσαλήμ· Ὅταν θά συγκεντρωθοῦν στό ἴδιο μέρος λαοί πολλοί καί βασιλεῖς, γιά νά ὑπηρετοῦν τόν Κύριο. (Καί ὁ αἰχμάλωτος λαός) ἀποκρίθηκε καί εἶπε μέ ὅση δύναμη τοῦ ἀπέμεινε· ἀνάγγειλέ μου, Κύριε, τίς λιγοστές ἡμέρες πού μοῦ ἔχουν μείνει. (Ἄραγε θά προλάβω νά δῶ τήν ἐπιστροφή, ἀπό τήν ἐξορία); Μή μέ πάρεις ἀπό τόν κόσμο αὐτό στή μέση τῆς ζωῆς μου, Ἐσύ πού τά ἔτη σου εἶναι ἀτελείωτα ἀπό γενιά σέ γενιά. Στήν ἀρχή, Κύριε, θεμελίωσες τή γῆ, καί ἔργα τῶν χεριῶν σου εἶναι οἱ οὐρανοί. Αὐτοί θά χαθοῦν, Ἐσύ ὅμως παραμένεις· καί ὅλος ὁ κόσμος ὅπως ἕνα ἔνδυμα θά παλιώσει. Καί ὡς (νά εἶναι) ἐπανωφόρι θά τόν περιτυλίξεις, καί θά τόν ἀλλάξεις· Ἐσύ ὅμως παραμένεις ὁ ἴδιος καί τά ἔτη σου δέν θά τελειώσουν. Τά τέκνα τῶν δούλων σου θά ἐγκατασταθοῦν μέ ἀσφάλεια, καί οἱ ἀπόγονοί τους θά προοδεύουν μέσα στούς αἰῶνες.

Προσευχή Μανασσῆ, Βασιλέως τῆς Ἰουδαίας. Κύριε παντοκράτορ, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, τοῦ Ἀβραάμ, καὶ Ἰσαάκ, καὶ Ἰακώβ, καὶ τοῦ σπέρματος αὐτῶν τοῦ δικαίου, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν σύν παντὶ τῷ κόσμῳ αὐτῶν, ὁ πεδήσας τὴν θάλασσαν τῷ λόγῳ τοῦ προστάγματος, σου, ὁ κλείσας τὴν ἄβυσσον, καὶ σφραγισάμενος αὐτὴν τῷ φοβερῷ καὶ ἐνδόξῳ ὀνόματί σου, ὃν πάντα φρίσσει καὶ τρέμει ἀπὸ προσώπου τῆς δυνάμεώς σου, ὅτι ἄστεκτος ἡ μεγαλοπρέπεια τῆς δόξης σου, καὶ ἀνυπόστατος ἡ ὀργὴ τῆς ἐπὶ ἁμαρτωλοῖς ἀπειλῆς σου, ἀμέτρητόν τε καὶ ἀνεξιχνίαστον τὸ ἔλεος τῆς ἐπαγγελίας σου. Σὺ γὰρ εἶ Κύριος ὕψιστος, εὔσπλαγχνος, μακρόθυμος, καὶ πολυέλεος, καὶ μετανοῶν ἐπὶ κακίας ἀνθρώπων. Σύ, Κύριε, κατὰ τὸ πλῆθος τῆς χρηστότητός σου ἐπηγγείλω μετάνοιαν, καὶ ἄφεσιν τοῖς ἡμαρτηκόσι σοι, καὶ τῷ πλήθει τῶν οἰκτιρμῶν σου ὥρισας μετάνοιαν ἁμαρτωλοῖς εἰς σωτηρίαν. Σὺ οὖν, Κύριε, ὁ Θεὸς τῶν δυνάμεων, οὐκ ἔθου μετάνοιαν δικαίοις, τῷ Ἀβραάμ, καὶ Ἰσαάκ, καὶ Ἰακώβ, τοῖς οὐχ ἡμαρτηκόσι σοι, ἀλλ' ἔθου μετάνοιαν ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ, διότι ἥμαρτον ὑπὲρ ἀριθμὸν ψάμμου θαλάσσης. Ἐπλήθυναν αἱ ἀνομίαι μου, Κύριε, ἐπλήθυναν αἱ ἀνομίαι μου, καὶ οὐκ εἰμὶ ἄξιος ἀτενίσαι, καὶ ἰδεῖν τὸ ὕψος τοῦ οὐρανοῦ, ἀπὸ τοῦ πλήθους τῶν ἀδικιῶν μου, κατακαμπτόμενος πολλῷ δεσμῷ σιδηρῷ, εἰς τὸ μὴ ἀνανεῦσαι τὴν κεφαλήν μου, καὶ οὐκ ἔστι μοι			Προσευχή τοῦ Μανασσῆ, Βασιλιᾶ τῆς Ἰουδαίας. Κύριε παντοκράτορα, Θεέ τῶν πατέρων μας, τοῦ Ἀβραάμ, καί τοῦ Ἰσαάκ, καί τοῦ Ἰακώβ, καί τῶν πιστῶν ἀπογόνων τους· Ἐσύ πού δημιούργησες τόν οὐρανό καί τή γῆ μαζί μέ ὅλη τήν ὡραιότητά τους· Ἐσύ πού δέσμευσες τή θάλασσα μέ τό λόγο τοῦ προστάγματός σου· Ἐσύ πού ἔκλεισες τήν ἄβυσσο καί τή σφράγισες μέ τό φοβερό καί ἔνδοξο ὄνομά σου· Ἐσύ, τόν ὁποῖο τά πάντα φρίττουν, καί τρέμουν ἀπό τή δύναμή σου· Διότι εἶναι ἀβάσταχτη ἡ μεγαλοπρέπεια τῆς δόξας σου, καί ἀνυπόφορη ἡ ὀργή τῆς ἀπειλῆς σου γιά τούς ἁμαρτωλούς, ἀλλά καί ἀμέτρητο καί ἀνεξιχνίαστο (ἀνεξερεύνητο) τό ἔλεος πού δείχνεις μέ τίς ὑποσχέσεις σου. Διότι Ἐσύ εἶσαι Κύριος ὕψιστος, εὔσπλαχνος, μεγαλόψυχος καί πολυέλεος, καί μετανοεῖς γιά τίς κακίες τῶν ἀνθρώπων. Ἐσύ, Κύριε, σύμφωνα μέ τό πλῆθος τῆς καλοσύνης σου ὑποσχέθηκες μετάνοια καί ἄφεση ἁμαρτιῶν, σ' αὐτούς πού ἁμάρτησαν σ' ἐσένα, καί σύμφωνα μέ τό πλῆθος τῆς εὐσπλαχνίας σου ὅρισες μετάνοια στούς ἁμαρτωλούς γιά τή σωτηρία τους. Ἐσύ λοιπόν, Κύριε Θεέ τῶν Δυνάμεων, δέν ὅρισες μετάνοια γιά τούς Δικαίους, τόν Ἀβραάμ καί τόν Ἰσαάκ καί τόν Ἰακώβ, πού δέν ἁμάρτησαν σ' ἐσένα, ἀλλά ὅρισες μετάνοια σ' ἐμένα τόν ἁμαρτωλό, διότι ἁμάρτησα ἀναρίθμητα περισσότερο ἀπό τήν ἄμμο τῆς θάλασσας. Πλήθυναν οἱ ἀνομίες μου, Κύριε, πλήθυναν οἱ ἀνομίες μου, καί δέν εἶμαι ἄξιος, νά ἀτενίσω καί νά δῶ τό ὕψος τοῦ οὐρανοῦ, ἐξ αἰτίας τοῦ πλήθους τῶν ἀδικιῶν μου, ἐπειδή ἀναγκάζομαι νά λυγίσω ἐξ αἰτίας πολλῶν σιδερένιων δεσμῶν, γιά νά μή μπορῶ, νά σηκώσω τό κεφάλι μου, καί δέν ὑπάρχει σ' ἐμένα ἀνακούφιση, διότι ἔχω προκαλέσει ὑπερβολικά τό θυμό σου,

ἄνεσις, διότι παρώργισα τὸν θυμόν σου, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, μὴ ποιήσας τὸ θέλημά σου, καὶ μὴ φυλάξας τὰ προστάγματά σου. Καὶ νῦν, κλίνω γόνυ καρδίας, δεόμενος τῆς παρὰ σοῦ χρηστότητος. Ἥμάρτηκα, Κύριε, ἡμάρτηκα, καὶ τὰς ἀνομίας μου ἐγὼ γινώσκω, ἀλλ' αἰτοῦμαι δεόμενος. Ἄνες μοι, Κύριε, ἄνες μοι, καὶ μὴ συναπολέσῃς με ταῖς ἀνομίαις μου, μηδὲ εἰς τὸν αἰῶνα μηνίσας τηρήσῃς τὰ κακά μοι, μηδὲ καταδικάσῃς με ἐν τοῖς κατωτάτοις τῆς γῆς· διότι σὺ εἶ Θεός, Θεὸς τῶν μετανοούντων, καὶ ἐν ἐμοὶ δείξεις πᾶσαν τὴν ἀγαθωσύνην σου, ὅτι ἀνάξιον ὄντα, σώσεις με κατὰ τὸ πολὺ ἔλεός σου, καὶ αἰνέσω σε διὰ παντὸς ἐν ταῖς ἡμέραις τῆς ζωῆς μου. Ὅτι σὲ ὑμνεῖ πᾶσα ἡ δύναμις τῶν οὐρανῶν, καὶ σοῦ ἐστιν ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν. Τρισάγιον. (Σελίς 15-16). Καί τά ἑξῆς τροπάρια: Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς· πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν, ἐλέησον ἡμᾶς. Δόξα... Κύριε, ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν, μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν, ἀλλ' ἐπίβλεψον καὶ νῦν, ὡς εὔσπλαγχνος, καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαός σου,			καί ἔπραξα τό πονηρό ἐνώπιόν σου, καί δέν ἔκανα τό θέλημά σου, καί δέν ἐτήρησα τίς ἐντολές σου. Καί τώρα λυγίζω τά γόνατα τῆς καρδιᾶς μου παρακαπαρακαλώντας καί ζητώντας τήν ἐκ μέρους σου ἀγαθότητα. Ἁμάρτησα, Κύριε, ἁμάρτησα, καί γνωρίζω ἐγώ τίς ἀνομίες μου· ἀλλά παρακαλώντας ζητῶ· δός μου, Κύριε, ἀνακούφιση, δός μου ἀνακούφιση, καί μή μέ ἀφήσεις νά χαθῶ μαζί μέ τίς ἄνομίες μου, οὔτε κρατώντας αἰώνια τήν ὀργή σου νά διατηρήσεις ἄσβεστα τά λάθη μου, οὔτε νά μέ καταδικάσεις στέλνοντάς με στόν ᾅδη· διότι Ἐσύ εἶσαι Θεός, Θεός τῶν μετανοούντων, καί θά δείξεις σ' ἐμένα ὅλη τήν καλοσύνη σου· διότι, μολονότι εἶμαι ἀνάξιος, θά μέ σώσεις, σύμφωνα μέ τό πολύ ἔλεός σου, καί θά σέ ὑμνῶ γιά πάντα ὅλες τίς ἡμέρες τῆς ζωῆς μου. Διότι ἐσένα ὑμνοῦν ὅλες οἱ Δυνάμεις τῶν οὐρανῶν καί δική σου εἶναι ἡ δόξα στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν. Τρισάγιο. (Σελίδα 15-16). Καί τά ἑξῆς τροπάρια: Ἐλέησέ μας, Κύριε, ἐλέησέ μας· Διότι στερημένοι ἀπό κάθε ἀπολογία αὐτή τήν ἱκεσία προσφέρουμε σ' ἐσένα ὡς Κύριον ἐμεῖς οἱ ἁμαρτωλοί· Ἐλέησέ μας. Δόξα... Κύριε, ἐλέησέ μας, διότι σ' ἐσένα ἔχουμε πεποίθηση· μήν ὀργισθεῖς ὑπερβολικά ἐναντίον μας, οὔτε νά θυμηθεῖς τίς ἀνομίες μας· ἀλλά ρίξε σπλαχνικό βλέμμα καί τώρα ὡς εὔσπλαχνος, καί λύτρωσέ μας ἀπό τούς ἐχθρούς μας· διότι Ἐσύ εἶσαι ὁ Θεός μας, καί ἐμεῖς λαός σου· Ὅλοι εἴμαστε ἔργα

πάντες ἔργα χειρῶν σου, καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα. Καὶ νῦν... Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς σέ, μὴ ἀστοχήσωμεν, ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων· σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν χριστιανῶν. Κύριε ἐλέησον (μ'.). Δόξα... Καὶ νῦν... Τὴν Τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν. Ἐν ὀνόματι Κυρίου, εὐλόγησον, Πάτερ. Δι' εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν. Εὐχὴ. Δέσποτα Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα, μία Θεότης, μία Δύναμις, ἐλέησόν με τὸν ἁμαρτωλόν, καὶ οἷς ἐπίστασαι κρίμασι, σῶσόν με τὸν ἀνάξιον δοῦλόν σου, ὅτι εὐλογητὸς εἶ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν. Δεῦτε προσκυνήσωμεν... (Σελίς 140). ΨΑΛΜΟΣ ΞΘ' (69). Ὁ Θεός, εἰς τὴν βοήθειάν μου πρόσχες, Κύριε, εἰς τὸ βοηθῆσαί μοι σπεῦσον.			τῶν χεριῶν σου, καί τό ὄνομά σου ἐπικαλούμεθα. Καί νῦν... Ἄνοιξέ μας τήν πύλη τῆς εὐσπλαχνίας, εὐλογημένη Θεοτόκε· ἐλπίζοντας σ' ἐσένα ἄς μήν ἀποτύχουμε· ἄς ἀπαλλαγοῦμε μέ τή μεσολάβησή σου ἀπό τίς δυσκολίες· διότι Ἐσύ εἶσαι ἡ σωτηρία τοῦ γένους τῶν χριστιανῶν. Κύριε, ἐλέησον. (40 φορές).. Δόξα... Καί νῦν... Ἐσένα, πού εἶσαι τιμιώτερη ἀπό τά Χερουβίμ καί ἀσύγκριτα ἀνώτερη ἀπό τά Σεραφίμ, πού γέννησες χωρίς νά φθαρεῖς τό Λόγο τοῦ Θεοῦ, τήν ἀληθινή Θεοτόκο, ἐσένα μεγαλύνουμε. Στό ὄνομα τοῦ Κυρίου εὐλόγησέ μας, πάτερ. Μέ τίς εὐχές τῶν ἁγίων πατέρων μας, Κύριε Ἰησοῦ Χριστέ, Θεέ μας, ἐλέησε καί σῶσε μας. Ἀμήν. Εὐχή. Κύριε Θεέ, Πατέρα Παντοκράτορα, Κύριε Υἱέ μονονογενές, Ἰησοῦ Χριστέ καί Ἅγιο Πνεῦμα, μία Θεότητα, μία Δύναμη, ἐλέησέ με τόν ἁμαρτωλό· καί μέ τή δικαιοσύνη πού γνωρίζεις, σῶσε με τόν ἀνάξιο δοῦλο σου, διότι εἶσαι ἄξιος δοξολογίας στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν. Δεῦτε προσκυνήσωμεν... (Σελίδα 140). ΨΑΛΜΟΣ ΞΘ'. (69). Θεέ μου, πρόσεξέ με καί βοήθησέ με· Κύριε, τρέξε νά μέ βοηθήσεις.

Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου. Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω, καὶ καταισχυνθήτωσαν οἱ βουλόμενοί μοι κακά. Ἀποστραφήτωσαν παραυτίκα αἰσχυνόμενοι, οἱ λέγοντές μοι· Εὖγε, εὖγε. Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ, πάντες οἱ ζητοῦντές σε, ὁ Θεός, καὶ λεγέτωσαν διά παντός· Μεγαλυνθήτω ὁ Κύριος, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου. Ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης, ὁ Θεός, βοήθησόν μοι· Βοηθός μου καὶ ῥύστης μου εἶ σύ, Κύριε, μὴ χρονίσῃς. Ψαλμὸς ΡΜΒ΄. (142). (Σελίς 27-28). ΔΟΞΟΛΟΓΙΑ (Σελίς 48-50). ΤΜΗΜΑ τοῦ ΜΕΓΑΛΟΥ ΚΑΝΟΝΟΣ Καθαρᾷ Δευτέρᾳ. (Τριῴδιον. Σελίς 139154). Καθαρᾷ Τρίτῃ. (Τριῴδιον. Σελίς 154168). Καθαρᾷ Τετάρτῃ. (Τριῴδιον. Σελίς 184198). Καθαρᾷ Πέμπτῃ. (Τριῴδιον. Σελίς 198-212). (Κατά τάς ἄλλας ἑβδομάδας: Θεοτοκάριον). Τρισάγιον. (Σελίς 15-16). Καί τό ἑξῆς τροπάριον μετά τῶν στίχων αὐτοῦ. Κύριε τῶν Δυνάμεων, μεθ' ἡμῶν γενοῦ· ἄλλον γὰρ ἐκτός σου βοηθόν, ἐν θλίψεσιν οὐκ ἔχομεν, Κύριε τῶν Δυνάμεων, ἐλέησον ἡμᾶς. Στίχ. Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς Ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.			Ἂς καταισχυνθοῦν καί ἄς ντροπιασθοῦν, αὐτοί πού ζητοῦν τήν ψυχή μου. Ἂς στραφοῦν πίσω ἄπρακτοι καί ἄς ντροπιασθοῦν, αὐτοί πού θέλουν τό κακό μου. Ἂς ὀπισθοχωρήσουν ἀμέσως ντροπιασμένοι, αὐτοί πού στή θλίψη μου λένε χαρούμενοι· Εὖγε, εὖγε (ὡραῖα, ὡραῖα). Ἂς σκιρτήσουν ἀπό ἀγαλλίαση καί ἄς εὐφρανθοῦν, ὅλοι ὅσοι ζητοῦν τήν ἐνίσχυσή σου, Θεέ μου, καί ἄς λένε πάντοτε: Ἂς δοξάζεται ὁ Κύριος, ὅλοι ὅσοι ποθοῦν τή σωτηρία, πού προέρχεται ἀπό σένα. Ἐγώ ὅμως εἶμαι φτωχός καί ἄθλιος· Θεέ μου, βοήθησέ με. Βοηθός μου καί λυτρωτής μου εἶσαι Ἐσύ, Κύριε, μήν καθυστερήσεις. Ψαλμὸς 142. (Σελίδα 27-28). ΔΟΞΟΛΟΓΙΑ (Σελίδα 48-50). ΤΜΗΜΑ ΤΟΥ ΜΕΓΑΛΟΥΚΑΝΟΝΟΣ Καθαρή Δευτέρα. (Τριῴδιο. Σελίδα 139154). Καθαρή Τρίτη. (Τριῴδιο .Σελίδα. 134168). Καθαρή Τετάρτη. (Τριῴδιο. Σελίδα 184198). Καθαρή Πέμπτη. (Τριῴδιο. Σελίδα 198-212). (Κατά τίς ἄλλες ἑβδομάδες: Θεοτοκάριο). Τρισάγιο. (Σελίδα15-16). Καί τό ἑξῆς τροπάριομὲ τούς στίχους του. Κύριε τῶν Δυνάμεων, μεῖνε μαζί μας· Διότι ἄλλον ἐκτός ἀπό σένα βοηθό στίς θλίψεις δέν ἔχουμε. Κύριε τῶν Δυνάμεων, ἐλέησέ μας. Στίχ. Ὑμνεῖτε τόν Θεό στόν ἅγιο ναό του· ὑμνεῖτε τον, ὅσοι ζεῖτε κάτω ἀπό τόν οὐρανό, ὁ ὁποῖος εἶναι ἔργο τῆς παντοδυναμίας του.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείας αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ. Στίχ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ. Στίχ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ. Στίχ. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς Ἁγίοις αὐτοῦ. Αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ. Κύριε τῶν Δυνάμεων, μεθ' ἡμῶν γενοῦ· ἄλλον γὰρ ἐκτός σου βοηθόν ἐν θλίψεσιν οὐκ ἔχομεν, Κύριε τῶν Δυνάμεων, ἐλέησον ἡμᾶς. Δόξα... Κύριε, εἰ μὴ τοὺς Ἁγίους σου εἴχομεν πρεσβευτάς, καὶ τὴν ἀγαθότητά σου συμπαθοῦσαν ἡμῖν, πῶς ἐτολμῶμεν, Σῶτερ, ὑμνῆσαί σε, ὃν εὐλογοῦσιν ἀπαύστως Ἄγγελοι; Καρδιογνῶστα, φεῖσαι τῶν ψυχῶν ἡμῶν. Καὶ νῦν... Θεοτοκίον. Πολλὰ τὰ πλήθη τῶν ἐμῶν, Θεοτόκε, πταισμάτων, πρὸς σὲ κατέφυγον, Ἁγνή, σωτηρίας δεόμενος. Ἐπίσκεψαι τὴν ἀσθενοῦσάν μου ψυχήν, καὶ πρέσβευε τῷ Υἱῷ σου καὶ Θεῷ ἡμῶν, δοθῆναί μοι τὴν ἄφεσιν, ὧν ἔπραξα δεινῶν,μόνη εὐλογημένη.			Στίχ. Ὑμνεῖτε τον γιά τά ἔργα τῆς παντοδυναμίας του· ὑμνεῖτε τον σύμφωνα μέ τό πλῆθος τοῦ μεγαλείου του. Στίχ. Ὑμνεῖτε τον μέ τόν ἦχο τῆς σάλπιγγας· ὑμνεῖτε τον μέ ψαλτήρι (ἔγχορδο ὄργανο) καί κιθάρα. Στίχ. Ὑμνεῖτε τον μέ τύμπανα καί ἱερούς χορούς· ὑμνεῖτε τον μέ χορδές καί ὄργανα. Στίχ. Ὑμνεῖτε τον μέ ἠχηρά κύμβαλα (τά χάλκινα πιάτα τῆς μουσικῆς)· ὑμνεῖτε τον μέ κύμβαλα πού προκαλοῦν πάταγο· κάθε πλάσμα πού ἀναπνέει, ἄς ὑμνεῖ τόν Κύριο. Ὑμνεῖτε τόν Θεό στόν ἅγιο ναό του. Ὑμνεῖτε τον, ὅσοι ζεῖτε κάτω ἀπό τόν οὐρανό, ὁ ὁποῖος εἶναι ἔργο τῆς παντοδυναμίας του. Κύριε τῶν Δυνάμεων, μεῖνε μαζί μας· Διότι ἄλλον ἐκτός ἀπό σένα βοηθό στίς θλίψεις δέν ἔχουμε. Κύριε τῶν Δυνάμεων ἐλέησέ μας. Δόξα…. Κύριε, ἄν δέν εἴχαμε πρεσβευτές τούς Ἁγίους σου, καί τήν ἀγαθότητά σου νά μᾶς συμπαθεῖ, πῶς θά τολμούσαμε, Σωτήρα, νά σέ ὑμνήσουμε, ἐσένα πού δοξολογοῦν ἀπαυστα οἱ Ἄγγελοι; Καρδιογνῶστα, σπλαχνίσου τίς ψυχές μας. Καί νῦν …. Θεοτοκίο. Εἶναι πολλά τά πλήθη τῶν πταισμάτων μου, Θεοτόκε· σ' ἐσένα κατέφυγα, Ἁγνή, ζητώντας σωτηρία· ἐπισκέψου τήν ἄρρωστη ψυχή μου, καί μεσίτευε στόν Υἱό σου καί Θεό μας, νά μοῦ δοθεῖ ἡ συγχώρηση τῶν κακῶν πού ἔπραξα, μόνη εὐλογημένη.

Παναγία Θεοτόκε, τὸν χρόνον τῆς ζωῆς μου, μὴ ἐγκαταλίπῃς με, ἀνθρωπίνῃ προστασίᾳ, μὴ καταπιστεύσῃς με, ἀλλ' αὐτὴ ἀντιλαβοῦ, καὶ ἐλέησόν με. Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου. Κύριε, ἐλέησον (μ'.). Ὁ ἐν παντί καιρῷ.». κ.λ.π. (Σελίς 146-147). ΕΥΧΗ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ Ἄσπιλε, ἀμόλυντε, ἄφθορε, ἄχραντε, ἁγνὴ Παρθένε, Θεόνυμφε Δέσποινα, ἡ Θεὸν Λόγον τοῖς ἀνθρώποις τῇ παραδόξῳ σου κυήσει ἑνώσασα καὶ τὴν ἀπωσθεῖσαν φύσιν τοῦ γένους ἡμῶν τοῖς οὐρανίοις συνάψασα· ἡ τῶν ἀπηλπισμένων μόνη ἐλπὶς καί τῶν πολεμουμένων βοήθεια, ἡ ἑτοίμη ἀντίληψις τῶν εἰς σὲ προστρεχόντων, καὶ πάντων τῶν Χριστιανῶν τὸ καταφύγιον· μὴ βδελύξῃ με τὸν ἁμαρτωλόν, τὸν ἐναγῆ, τὸν αἰσχροῖς λογισμοῖς καὶ λόγοις καὶ πράξεσιν ὅλον ἐμαυτὸν ἀχρειώσαντα, καί τῇ τῶν ἡδονῶν τοῦ βίου, ῥαθυμίᾳ γνώμης, δοῦλον γενόμενον. Ἀλλ' ὡς τοῦ φιλανθρώπου Θεοῦ Μήτηρ, φιλανθρώπως σπλαγχνίθητι ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ καὶ ἀσώτῳ, καὶ δέξαι μου τὴν ἐκ ῥυπαρῶν χειλέων προσφερομένην σοι δέησιν, καὶ τὸν σὸν Υἱόν, καὶ ἡμῶν Δεσπότην καὶ Κύριον, τῇ μητρικῇ σου παρρησίᾳ χρωμένη δυσώπησον, ἵνα ἀνοίξῃ κἀμοὶ τὰ φιλάνθρωπα σπλάγχνα τῆς αὐτοῦ ἀγαθότητος καί, παριδών μου τὰ ἀναρίθμητα πταίσματα, ἐπιστρέψῃ με πρὸς μετάνοιαν καί τῶν			Παναγία Θεοτόκε, σέ ὅλη τή διάρκεια τῆς ζωῆς μου μή μέ ἀφήσεις, μή μέ ἐμπιστευθεῖς σέ ἀνθρώπινη βοήθεια, ἀλλά Ἐσύ ἡ ἴδια βοήθησέ με καί ἐλέησέ με. Ὅλη τήν ἐλπίδα μου τήν ἀποθέτω σ' ἐσένα, Μητέρα τοῦ Θεοῦ, φύλαξέ με κάτω ἀπό τή σκέπη σου. Κύριε, ἐλέησον. (40 φορές). «Ὁ ἐν παντί καιρῷ.». κ.λ.π. (Σελίδα 146-147). ΕΥΧΗ ΣΤΗΝ ΥΠΕΡΑΓΙΑ ΘΕΟΤΟΚΟ Ἀκηλίδωτη, ἀμόλυντη, ἄφθορη, ὁλοκάθαρη, ἁγνή Παρθένε, Κυρία, Νύμφη τοῦ Θεοῦ, Ἐσύ πού ἔνωσες τό Λόγο τοῦ Θεοῦ μέ τούς ἀνθρώπους μέ τήν παράδοξη γέννησή σου, καί ἔνωσες τήν ἀποδιωγμένη φύση τοῦ γένους μας μέ τά οὐράνια, ἡ μόνη ἐλπίδα τῶν ἀπελπισμένων καί βοήθεια τῶν πολεμουμένων, ἡ πρόθυμη συμπαράσταση αὐτῶν πού τρέχουν κοντά σου, καί καταφύγιο ὅλων τῶν χριστιανῶν, μή σιχαθεῖς ἐμένα τόν ἁμαρτωλό, τό μολυσμένο, πού ἐξαχρείωσα ὁλόκληρο τόν ἑαυτό μου μέ αἰσχρούς λογισμούς καί λόγους καί πράξεις, καί ἔγινα δοῦλος τῶν ἡδονῶν τῆς ζωῆς ἐξ αἰτίας τῆς ραθυμίας (ταμπελιᾶς) τῆς γνώμης μου. Ἀλλά ὡς Μητέρα τοῦ φιλανθρώπου Θεοῦ, σπλαχνίσου φιλάνθρωπα ἐμένα τόν ἁμαρτωλό καί ἄσωτο, καί δέξου τή δέησή μου πού προσφέρεται σ' ἐσένα ἀπό ἀκάθαρτα χείλη, καί τόν Υἱό σου, τό Δεσπότη καί Κύριό μας, χρησιμοποιώντας τό μητρικό σου θάρρος, παρακάλεσέ τον νά ἀνοίξει καί σ' ἐμένα τά φιλάνθρωπα σπλάχνα τῆς ἀγαθότητάς του, καί ἀφοῦ παραβλέψει τά ἀναρίθμητά μου πταίσματα, νά μέ ἐπιστρέψει σέ μετάνοια, καί νά μέ ἀναδείξει ἄξιον ἐργάτη τῶν ἐντολῶν του. Καί μεῖνε κοντά μου πάντοτε, ὡς ἐλεήμων καί συμπαθής

αὐτοῦ ἐντολῶν ἐργάτην δόκιμον ἀναδείξῃ με. Καὶ πάρεσό μοι ἀεί, ὡ ἐλεήμων, καί συμπαθής, καί φιλάγαθος,ἐν μέν τῷ παρόντι βίῳ θερμή προστάτης καί βοηθός τάς τῶν ἐναντίον ἐφόδους ἀποτειχίζουσα καὶ πρὸς σωτηρίαν καθοδηγοῦσα με· καὶ ἐν τῷ καίρῳ τῆς ἐξόδου μου τὴν ἀθλίαν μου ψυχὴν περιέπουσα καὶ τὰς σκοτεινὰς ὄψεις τῶν πονηρῶν δαιμόνων πόρρω αὐτῆς ἀπελαύνουσα. Ἐν δὲ τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεως, τῆς αἰωνίου με ῥυομένη κολάσεως, καί τῆς ἀπορρήτου δόξης τοῦ σοῦ Υἱοῦ καὶ Θεοῦ ἡμῶν κληρονόμον με ἀποδεικνύουσα. Ἧς καὶ τύχοιμι, Δέσποινα μου, ὑπεραγία Θεοτόκε, διά τῆς σῆς μεσιτείας καὶ ἀντιλήψεως, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς Σου Υἱοῦ, τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ὧι πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. ΕΥΧΗ ΕΙΣ ΤΟΝ ΚΥΡΙΟΝ ΗΜΩΝ Ι. ΧΡΙΣΤΟΝ Καὶ δὸς ἡμῖν, Δέσποτα, πρὸς ὕπνον ἀπιοῦσιν , ἀνάπαυσιν σώματος καὶ ψυχῆς, καὶ διαφύλαξον ἡμᾶς ἀπό τοῦ ζοφεροῦ ὕπνου τῆς ἁμαρτίας καὶ ἀπὸ πάσης σκοτεινῆς καὶ νυκτερινῆς ἡδυπαθείας. Παῦ σον τὰς ὁρμὰς τῶν παθῶν, σβέσον τὰ πεπυρωμένα βέλη τοῦ πονηροῦ τὰ καθ' ἡμῶν δολίως κινούμενα. Τὰς τῆς σαρκὸς ἡμῶν ἐπαναστάσεις κατάστειλον καὶ πᾶν γεῶδες καὶ			καί φιλάγαθη, στήν παροῦσα ζωή θερμή προστάτης καί βοηθός, ἀπομακρύνοντας, ἀπό τά τείχη τῆς ψυχῆς μου τίς ἐφόδους τῶν ἐχθρῶν, καί καθοδηγώντας με στή σωτηρία, καί κατά τόν καιρό τῆς ἐξόδου μου ἀπό τόν κόσμο αὐτό, προστατεύοντας τήν ἄθλια ψυχή μου, καί διώχνοντας μακριά ἀπ' αὐτήν τίς σκοτεινές ὄψεις τῶν πονηρῶν δαιμόνων· Καί (μεῖνε κοντά μου) κατά τή φοβερή ἡμέρα τῆς κρίσεως γλυτώνοντάς με ἀπό τήν αἰώνια κόλαση καί ἀναδεικνύοντάς με κληρονόμο τῆς ἀνεκδιήγητης δόξας τοῦ Υἱοῦ σου καί Θεοῦ μας. Αὐτή τή δόξα μακάρι νά ἐπιτύχω, Κυρία μου ὑπεραγία Θεοτόκε, μέ τή δική σου μεσιτεία καί βοήθεια· Μέ τή χάρη καί τή φιλανθρωπία τοῦ Μονογενοῦς σου Υἱοῦ, τοῦ Κυρίου καί Θεοῦ καί Σωτήρα μας Ἰησοῦ Χριστοῦ. Σ' αύτόν πρέπει κάθε δόξα, τιμή καί προσκύνηση, μαζί μέ τόν ἄναρχο Πατέρα του, καί μαζί μέ τό Πανάγιο καί ἀγαθό, καί ζωοποιό του Πνεῦμα, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν. ΕΥΧΗ ΣΤΟΝ ΚΥΡΙΟ ΜΑΣ ΗΣΟΥ ΧΡΙΣΤΟ Καί τώρα, Κύριε, πού πηγαίνουμε γιά ὕπνο, δός μας ἀνάπαυση σωματική καί ψυχική· καί διαφύλαξέ μας ἀπό τόν ὁλοσκότεινο ὕπνο τῆς ἁμαρτίας , καί ἀπό κάθε σκοτεινή καί νυκτερινή ἁμαρτωλή ἡδονή. Πάψε τίς παρορμήσεις τῶν παθῶν, σβῆσε τά πυρωμένα βέλη τοῦ πονηροῦ, πού κινοῦνται μέ δόλο ἐναντίον μας· καταπράυνε τίς ἄτακτες κινήσεις τοῦ σώματός μας, καί κοίμισε κάθε γήινο καί ὑλικό τρόπο σκέψεως. Καί δώρισέ μας, ὦ Θεέ, ἄγρυπνο νοῦ, συνετή

ὑλικὸν ἡμῶν φρόνημα κοίμισον. Καὶ δώρησαι ἡμῖν, ὁ Θεός, γρήγορον νοῦν, σώφρονα λογισμόν, καρδίαν νήφουσαν, ὕπνον ἐλαφρόν καὶ πάσης σατανικῆς φαντασίας ἀπηλλαγμένον. Διανάστησον δὲ ἡμᾶς ἐν τῷ καιρῷ τῆς προσευχῆς ἐστηριγμένους ἐν ταῖς ἐντολαῖς σου καὶ τὴν μνήμην τῶν σῶν κριμάτων ἐν ἑαυτοῖς ἀπαράθραυστον ἔχοντας. Παννύχιον ἡμῖν τὴν σὴν δοξολογίαν χάρισαι εἰς τὸ ὑμνεῖν καὶ εὐλογεῖν καὶ δοξάζειν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομα σου, τοῦ Πατρὸς καί τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.			σκέψη, καρδιά νηφάλια (γαλήνια), ὕπνον ἐλαφρό, καί ἀπαλλαγμένο ἀπό κάθε σατανική φαντασία. Κάνε μας νά σηκωθοῦμε στόν καιρό τῆς προσευχῆς, στηριγμένοι στίς ἐντολές σου, καί ἔχοντας μέσα μας ἀμετακίνητη τήν ἀνάμνηση τῶν ἐντολῶν σου. Χάρισέ μας τή δύναμη νά σέ δοξολογοῦμε ὅλη τή νύχτα, γιά νά ὑμνοῦμε, νά εὐλογοῦμε καί νά δοξάζουμε τό πάντιμο καί μεγαλοπρεπές ὄνομά σου, τοῦ Πατρός, καί τοῦ Υἱοῦ, καί τοῦ Ἁγίου Πνεύματος, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν.
Ὑπερένδοξε ἀειπάρθενε, εὐλογημένη Θεοτόκε, προσάγαγε τὴν ἡμετέραν προσευχὴν τῷ Υἱῷ σου καὶ Θεῷ ἡμῶν, καὶ αἴτησαι, ἵνα σώσῃ διὰ σοῦ τὰς ψυχὰς ἡμῶν.			Ὑπερένδοξη ἀειπάρθενε, εὐλογημένη Θεοτόκε, ὁδήγησε καί πρόσφερε τήν προσευχή μας στόν Υἱό σου καί Θεό μας, καί παρακάλεσέ τον, νά σώσει διά σοῦ τίς ψυχές μας.
Ἡ ἐλπίς μου ὁ Πατήρ, καταφυγή μου ὁ Υἱός, σκέπη μου τὸ Πνεῦμα τὸ ἅγιον, Τριὰς ἁγία, δόξα σοι.			Ἐσύ ἡ ἐλπίδα μου ὁ Πατέρας, τό καταφύγιό μου ὁ Υἱός, ἡ σκέπη μου τό Πνεῦμα τό Ἅγιο, Ἁγία Τριάδα, δόξα σ’ ἐσένα.
Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μήτηρ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.			Ὅλη τήν ἐλπίδα μου σ’ ἐσένα τήν ἀναθέτω, Μητέρα τοῦ Θεοῦ, φύλαξέ με κάτω ἀπό τή σκέπη σου.
Κατὰ τὴν πρώτην ἑβδομάδα. (Εὐαγγέλιον). Εἰρήνη πᾶσι. Καὶ τῷ πνεύματί σου. Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν. Σοί, Κύριε. (Ἀνάγνωσις Εὐαγγελίου). Ἀπόλυσις.			Κατά τήν Καθαρή ἑβδομάδα: (Εὐαγγέλιο). Εἰρήνη σέ ὅλους. Καί στό πνεῦμα σου. Ἂς ὑποκλίνουμε τά κεφάλια μας στόν Κύριο. Σ’ ἐσένα, Κύριε. (Ἀνάγνωση Εὐαγγελίου). Ἀπόλυση.
Δέσποτα πολυέλεε, Κύριε, Ἰησοῦ Χριστέ, ὁ Θεὸς			Δέσποτα πολυέλεε, Κύριε Ἰησοῦ Χριστέ, Θεέ μας, μέ τίς

ἡμῶν, πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων Ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου καὶ ἐνδόξου Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἁγίων, ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης,τοῦ ἁγίου (τῆς ἡμέρας), οὗ τήν μνήμην ἑορτάζομεν καὶ πάντων σου τῶν Ἁγίων. Εὐπρόσδεκτον ποίησον τὴν δέησιν ἡμῶν, Δώρησαι ἡμῖν τὴν ἄφεσιν τῶν παραπτωμάτων ἡμῶν, Σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου, Ἀποδίωξον ἀφ' ἡμῶν πάντα ἐχθρὸν καὶ πολέμιον, Εἰρήνευσον ἡμῶν τὴν ζωήν, Κύριε, ἐλέησον ἡμᾶς καὶ τὸν κόσμον σου, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος. Εὐξώμεθα ὑπὲρ εἰρήνης τοῦ κόσμου. Κύριε, ἐλέησον. Ὑπερ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν. Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος) καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος. Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν ἔθνους.			πρεσβεῖες τῆς ἀμόλυντης Κυρίας μας Θεοτόκου καί παντοτεινῆς Παρθένου Μαρίας, μέ τή δύναμη τοῦ Τιμίου Σταυροῦ, πού δίνει ζωή, μέ τίς προστασίες τῶν τιμίων, ἐπουρανίων Δυνάμεων τῶν Ἀσωμάτων, μέ τίς ἱκεσίες τοῦ Τιμίου καί ἐνδόξου Προφήτου Προδρόμου καί Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καί φημισμένων Ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καί καλλινίκων (μέ ὡραῖες νίκες) Μαρτύρων, τῶν ὁσίων (ἀσκητῶν) καί θεοφόρων (πού φέρουν τόν Θεό μέσα τους) Πατέρων μας, τῶν ἁγίων καί Δικαίων Θεοπατόρων (προγόνων τοῦ Χριστοῦ) Ἰωακείμ καί Ἄννης, τοῦ ἁγίου (τῆς ἡμέρας), τοῦ ὁποίου τή μνήμη ἑορτάζουμε, καί ὅλων τῶν ἁγίων. Κάνε εὐπρόσδεκτη τή δέησή μας, Δώρισε σ' ἐμᾶς τή συγχώρηση τῶν σφαλμάτων μας. Σκέπασέ μας κάτω ἀπό τή σκέπη τῶν φτερῶν σου. Διῶξε ἀπό μᾶς κάθε ἐχθρό καί ἀντίπαλο. Εἰρήνευσε τή ζωή μας· Κύριε, ἐλέησε ἐμᾶς καί τόν κόσμο σου, καί σῶσε τίς ψυχές μας, ὡς ἀγαθός καί φιλάνθρωπος. Ἂς εὐχηθοῦμε γιά τήν εἰρήνη τοῦ κόσμου. Κύριε, ἐλέησον. Γιά τούς εὐσεβεῖς καί ὀρθοδόξους χριστιανούς. Γιά τόν Ἀρχιεπίσκοπό μας (...) καί ὅλη τή χριστιανική μας ἀδελφότητα. Γιά τό εὐσεβές μας ἔθνος.

Ὑπὲρ εὐοδώσεως καὶ ἐνισχύσεως τοῦ φιλοχρίστου ἡμῶν στρατοῦ. Ὑπερ τῶν ἀπολειφθέντων πατέρων, καὶ ἀδελφῶν ἡμῶν. Ὑπερ τῶν ἐλεούντων καὶ διακονούντων ἡμῖν. Ὑπὲρ τῶν μισούντων καὶ ἀγαπώντων ἡμᾶς. Ὑπερ τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπὲρ αὐτῶν. Ὑπὲρ ἀναρρύσεως τῶν αἰχμαλώτων. Ὑπέρ τῶν ἐν θαλάσσῃ καλῶς πλεόντων. Ὑπὲρ τῶν ἐν ἀσθενείαις κατακειμένων. Εὐξώμεθα καὶ ὑπὲρ εὐφορίας τῶν καρπῶν τῆς γῆς. Καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων, καὶ ἁπανταχοῦ Ὀρθοδόξων. Εἴπωμεν καὶ ὑπὲρ ἑαυτῶν, τὸ Κύριε, ἐλέησον, (γ'). Τῇ μὲν Δευτέρᾳ καὶ, Τετάρτῃ: Πάντων προστατεύεις, Ἀγαθή, τῶν καταφευγόντων ἐν πίστει τῇ κραταιᾷ σου χειρί· ἄλλην γὰρ οὐκ ἔχομεν ἁμαρτωλοὶ πρὸς Θεόν, ἐν κινδύνοις καὶ θλίψεσιν, ἀεὶ μεσιτείαν, οἱ κατακαμπτόμενοι ὑπὸ πταισμάτων, πολλῶν. Μῆτερ τοῦ Θεοῦ τοῦ Ὑψίστου· ὅθεν σοι προσπίπτομεν· ῥῦσαι πάσης περιστάσεως τοὺς δούλους σου. Τῇ δὲ Τρίτῃ καὶ τῇ Πέμπτῃ. Σφαγήν σου τὴν ἄδικον Χριστέ, ἡ Παρθένος			Γιά κατευόδωση καί ἐνίσχυση τοῦ φιλοχρίστου στρατοῦ μας. Γιά τούς πατέρες καί ἀδελφούς μας πού ἀπουσιάζουν. Γ’ αὐτούς πού μᾶς ἐλεοῦν καί μᾶς ὑπηρετοῦν. Γιά ὅσους μᾶς μισοῦν, καί γιά ὅσους μᾶς ἀγαποῦν. Γι’ αὐτούς πού παρήγγειλαν σ’ ἐμᾶς τούς ἀναξίους, νά εὐχόμαστε γι’ αὐτούς. Γιά τήν ἐπάνοδο τῶν αἰχμαλώτων. Γιά ὅσους πλέουν στή θάλασα μέ καλό σκοπό. Γιά ὅσους εἶναι κατάκοιτοι ἐξ αἰτίας ἀσθενειῶν. Ἄς εὐχηθοῦμε καί γιά τήν εὐφορία τῶν καρπῶν τῆς γῆς. Καί γιά ὅλους τούς πατέρες καί ἀδελφούς μας πού ἔχουν ἀναπαυθεῖ προηγουμένως, γιά τούς ὀρθοδόξους πού εἶναι θαμμένοι μέ εὐσέβεια ἐδῶ καί παντοῦ. Ἄς ποῦμε καί γιά μᾶς, τό, Κύριε, ἐλέησον. (Τρίς). Τή μέν Δευτέρα, καί Τετάρτη. Εἶσαι προστάτης ὅλων, Ἀγαθή, πού καταφεύγουν μέ πίστη στό δυνατό σου χέρι (στήν προστασία σου)· διότι ἐμεῖς οἱ ἁμαρτωλοί, πού λυγίζουμε ἀπό τό βάρος πολλῶν πταισμάτων, δέν ἔχουμε στούς κινδύνους καί στίς θλίψεις ἄλλη παντοτεινή μεσιτεία πρός τόν Θεό. Μητέρα τοῦ Θεοῦ τοῦ Ὑψίστου, γι’ αὐτό πέφτουμε μπροστά σου γονατιστοί· λύτρωσε ἀπό κάθε δύσκολη περίσταση ἐμᾶς τούς δούλους σου. Τήν δέ Τρίτη καί Πέμπτη. Βλέποντας ἡ Παρθένος, Χριστέ, τήν ἄδικη σφαγή σου,

βλέπουσα, ὀδυρομένη ἐβόα σοι· Τέκνον γλυκύτατον, πῶς ἀδίκως θνήσκεις; πῶς τῷ ξύλῳ κρέμασαι, ὁ πᾶσαν γῆν κρεμάσας τοῖς ὕδασι; Μὴ λίπῃς μόνην με, Εὐεργέτα πολυέλεε, τὴν Μητέρα καὶ δούλην σου δέομαι Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν. ΜΙΚΡΟΝ ΑΠΟΔΕΙΠΝΟΝ. Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Δόξα σοι, Χριστέ ὁ Θεός ἡμῶν, ἡ ἐλπίς ἡμῶν, δόξα σοι. Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν ὁ θησαυρὸς τῶν ἀγαθῶν καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος καὶ σῶσον ἀγαθέ, τὰς ψυχὰς ἡμῶν. Ἀμήν. Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος ἐλέησον ἡμᾶς (γ'.). Δόξα... Καὶ νῦν... Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου. Κύριε ἐλέησον (γ'.). Δόξα... Καὶ νῦν... Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ			θρηνώντας φώναζε σ' ἐσένα· γλυκύτατο τέκνο μου, πῶς πεθαίνεις ἄδικα; Πῶς κρέμεσαι στό ξύλο, Ἐσύ πού κρέμασες στά νερά ὅλη τῆ γῆ; Μήν ἐγκαταλείψεις μόνη, Εὐεργέτα πολυέλεε, ἐμένα τή Μητέρα καί δούλη σου, σέ παρακαλῶ. Μέ τίς εὐχές τῶν ἁγίων Πατέρων μας, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός μας, ἐλέησέ μας. Ἀμήν. ΜΙΚΡΟ ΑΠΟΔΕΙΠΝΟ. Εἶναι ἄξιος δοξολογίας ὁ Θεός πάντοτε· Καί τώρα καί πάντα καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν. Δόξα σ' ἐσένα, Χριστέ Θεέ μας, ἡ ἐλπίδα μας, δόξα σ' ἐσένα. Βασιλιά Οὐράνιε, Παρηγορητή, τό Πνεῦμα τῆς ἀλήθειας, ὁ ὁποῖος εἶσαι παρών παντοῦ, καί γεμίζεις τά πάντα, ὁ θησαυρός τῶν ἀγαθῶν, καί χορηγός τῆς ζωῆς, ἔλα καί κατοίκησε μέσα μας, καί καθάρισέ μας ἀπό κάθε κηλίδα, καί σῶσε, Ἀγαθέ, τίς ψυχές μας. Ἀμήν. Εἶσαι Ἅγιος ὁ Θεός Πατέρας, Ἅγιος δυνατός ὁ Υἱός, Ἅγιος ἀθάνατος τό Ἅγιο Πνεῦμα. Ἐλέησέ μας. (γ'.). Δόξα… Καί νῦν… Παναγία Τριάδα, ἐλέησέ μας. Κύριε, δεῖξε ἔλεος στίς ἁμαρτίες μας. Δέσποτα, συγχώρησε τίς ἀνομίες μας. Ἅγιε, ἔλα καί θεράπευσε τίς ἀσθένειές μας, γιά χάρη τοῦ ὀνόματός σου. Κύριε, ἐλέησον (γ'.). Δόξα... Καί νῦν... Πατέρα μας, πού κατοικεῖς στούς οὐρανούς, ἅς εἶναι

ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπί τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καί ἡ δύναμις καί ἡ δόξα, τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Κύριε ἐλέησον ΙΒ΄. Δόξα... Καὶ νῦν... Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ. Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ τῷ βασιλεῖ ἡμῶν Θεῷ. Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ, Χριστῷ τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν. Ψαλμὸς Ν΄. (50). Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντὸς. Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ			ἁγιασμένο τό ὄνομά σου. Ἂς ἔλθει ἡ Βασιλεία σου. Ἂς γίνει τό θέλημά σου, ὅπως στόν οὐρανό ἀπό τούς Ἀγγέλους, ἔτσι καί στή γῆ ἀπό τούς ἀνθρώπους. Τήν τροφή μας τήν ἀπαραίτητη γιά τή ζωή δῶσε μας σήμερα. Καί συγχώρησε σ' ἐμᾶς τά ἁμαρτήματά μας, ὅπως κι ἐμεῖς συγχωροῦμε αὐτούς πού ἁμάρτησαν σ' ἐμᾶς. Καί μήν ἐπιτρέψεις, νά πέσουμε σέ πειρασμό, ἀλλά ἀπάλλαξέ μας ἀπό τόν πονηρό. Διότι δική σου εἶναι ἡ Βασιλεία καί ἡ δύναμη καί ἡ δόξα, τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν. Κύριε, ἐλέησον. (12 φορές). Δόξα … Καί νῦν... Ἐλᾶτε, νά προσκυνήσουμε καί νά προσπέσουμε στό Βασιλιά μας καί Θεό. Ἐλᾶτε, νά προσκυνήσουμε, καί νά προσπέσουμε στό Χριστό, τό Βασιλιά μας καί Θεό. Ἐλᾶτε νά προσκυνήσουμε, καί νά προσπέσουμε, σ' αὐτόν, στόν Χριστό τόν Βασιλιά καί Θεό μας. ΨΑΛΜΟΣ Ν΄. (50). Ἐλέησέ με, Θεέ μου, σύμφωνα μέ τό μέγα ἔλεός σου, καί σύμφωνα μέ τό πλῆθος τῆς εὐσπλαχνίας σου σβῆσε ἐντελῶς τήν παρανομία μου. Πλύνε με πάλι καί πάλι ἀπό τήν ἀνομία μου, καί ἀπό τήν ἀκαθαρσία τῆς ἁμαρτίας μου καθάρισέ με. (Ζητῶ τό ἔλεός σου), διότι ἐγώ ἀναγνωρίζω τήν ἀνομία μου καί ἡ ἁμαρτία μου ὀρθώνεται μπροστά μου γιά πάντα. Σ' ἐσένα ἀποκλειστικά ἁμάρτησα, καί ἔπραξα τό πονηρό μπροστά σου· (Τά ὁμολογῶ αὐτά), γιά νά φανεῖς, πόσο δίκαι-	

ὅτι βαστάζεις τὸν βαστάζοντα πάντα. Χαῖρε, ἀστὴρ ἐμφαίνων τὸν Ἥλιον, χαῖρε, γαστὴρ ἐνθέου σαρκώσεως. Χαῖρε, δι' ἧς νεουργεῖται ἡ κτίσις, χαῖρε, δι' ἧς βρεφουργεῖται ὁ Κτίστης. Χαῖρε, Νύμφη ἀνύμφευτε. Βλέπουσα ἡ Ἁγία, ἑαυτὴν ἐν ἁγνείᾳ, φησὶ τῷ Γαβριὴλ θαρσαλέως· Τὸ παράδοξόν σου τῆς φωνῆς, δυσπαράδεκτόν μου τῇ ψυχῇ φαίνεται, ἀσπόρου γὰρ συλλήψεως τήν κύησιν πῶς λέγεις; κράζων, Ἀλληλούια. Γνῶσιν ἄγνωστον γνῶναι, ἡ Παρθένος ζητοῦσα, ἐβόησε πρὸς τὸν λειτουργοῦντα: Ἐκ λαγόνων ἀγνῶν, Υἱὸν πῶς ἐστί τεχθῆναι δυνατόν, λέξον μοι. Πρὸς ἣν ἐκεῖνος ἔφησεν ἐν φόβῳ, πλὴν κραυγάζων οὕτω: Χαῖρε, βουλῆς ἀπορρήτου μύστις, χαῖρε, σιγῆς δεομένων πίστις. Χαῖρε, τῶν θαυμάτων Χριστοῦ τὸ προοίμιον, χαῖρε, τῶν δογμάτων αὐτοῦ τὸ κεφάλαιον. Χαῖρε, κλῖμαξ ἐπουράνιε, δι ' ἧς κατέβη ὁ Θεός, χαῖρε γέφυρα μετάγουσα τοὺς ἐκ γῆς πρὸς οὐρανόν. Χαῖρε, τὸ τῶν Ἀγγέλων πολυθρύλητον θαῦμα, χαῖρε, τὸ τῶν δαιμόνων πολυθρήνητον τραῦμα. Χαῖρε, τὸ Φῶς ἀρρήτως γεννήσασα, Χαῖρε, τὸ πῶς μηδένα διδάξασα. Χαῖρε, σοφῶν ὑπερβαίνουσα γνῶσιν, χαῖρε,			αὐτόν πού συγκρατεῖ τά πάντα. Χαῖρε, ἀστέρι, πού ἐμφανίζεις τόν Ἥλιο· χαῖρε ἐσύ πού στήν κοιλιά σου σαρκώθηκε ὁ Θεός. Χαῖρε ἐσύ, μέ τήν ὁποία γίνεται καινούρια ἡ κτίση· χαῖρε ἐσύ, διά τῆς ὁποίας γίνεται βρέφος ὁ Κτίστης. Χαῖρε, Νύμφη ἀνύμφευτη. Βλέποντας ἡ Ἁγία τόν ἑαυτό της, νά ἔχει ἁγνότητα, λέγει στό Γαβριήλ θαρραλέα· τά παράδοξα λόγια σου στήν ψυχή μου φαίνονται δύσκολα νά γίνουν δεκτά· Διότι πῶς κάνεις λόγο γιά ἐγκυμοσύνη μέ σύλληψη χωρίς ἄνδρα; κράζοντας: Ἀλλήλούϊα. = (Ὑμνεῖτε τόν Θεό). Ζητώντας νά γνωρίσει ἄγνωστη γνώση ἡ Παρθένος, φώναξε πρός τόν ὑπηρέτη τοῦ Θεοῦ· Ἀπό σπλάχνα ἁγνά πῶς εἶναι δυνατό, νά γεννηθεῖ Υἱός; πές μου. Κι ἐκεῖνος ἀπάντησε σ' αὐτήν μέ φόβο, ἀλλά κραυγάζοντας ὡς ἐξῆς: Χαῖρε ἐσύ, πού γίνεσαι γνώστης τῆς μυστηριώδους ἀποφάσεως τοῦ Θεοῦ· χαῖρε ἐσύ πού εἶσαι ἡ πίστη, αὐτῶν πού προσεύχονται σιωπηλά. Χαῖρε ἡ προπομπός (ἡ ἀρχή) τῶν θαυμάτων τοῦ Χριστοῦ· χαῖρε ἡ ἀνακεφαλαίωση τῶν δογμάτων του. Χαῖρε σκάλα ἐπουράνια, μέ τήν ὁποία κατέβηκε ὁ Θεός· χαῖρε γέφυρα πού μεταφέρεις τούς προερχομένους ἀπό τή γῆ στόν οὐρανό. Χαῖρε τό πολυθρύλητο (θρυλικό) θαῦμα τῶν Ἀγγέλων· χαῖρε τό πολυθρήνητο τραῦμα τῶν δαιμόνων. Χαῖρε ἐσύ πού γέννησες τό Φῶς κατά τρόπο μυστηριώδη· χαῖρε, Ἐσύ πού δέν ἐξήγησες σέ κανένα τό πῶς. Χαῖρε ἐσύ πού ὑπερβαίνεις τή γνώση τῶν σοφῶν· χαῖρε

πιστῶν καταυγάζουσα φρένας. Χαῖρε, Νύμφη ἀνύμφευτε. Δύναμις τοῦ Ὑψίστου, ἐπεσκίασε τότε, πρὸς σύλληψιν τῇ Ἀπειρογάμῳ. καὶ τὴν εὔκαρπον ταύτης νηδύν, ὡς ἀγρὸν ὑπέδειξεν ἡδὺν ἅπασι, τοῖς θέλουσι θερίζειν σωτηρίαν, ἐν τῷ ψάλλειν οὕτως. Ἀλληλούια. Ἔχουσα θεοδόχον, ἡ Παρθένος τὴν μήτραν, ἀνέδραμε πρὸς τὴν Ἐλισάβετ, τὸ δὲ βρέφος ἐκείνης εὐθύς, ἐπιγνὸν τὸν ταύτης ἀσπασμόν, ἔχαιρε! καὶ ἅλμασιν ὡς ἄσμασιν, ἐβόα πρὸς τὴν Θεοτόκον. Χαῖρε, βλαστοῦ ἀμαράντου κλῆμα, χαῖρε, καρποῦ ἀκηράτου κτῆμα. Χαῖρε, γεωργὸν γεωργοῦσα φιλάνθρωπον, χαῖρε, φυτουργὸν τῆς ζωῆς ἡμῶν φύουσα. Χαῖρε, ἄρουρα βλαστάνουσα εὐφορίαν, οἰκτιρμῶν, χαῖρε, τράπεζα βαστάζουσα εὐθηνίαν ἱλασμῶν. Χαῖρε, ὅτι λειμῶνα τῆς τρυφῆς ἀναθάλλεις, χαῖρε, ὅτι λιμένα τῶν ψυχῶν ἑτοιμάζεις. Χαῖρε, δεκτὸν πρεσβείας θυμίαμα, χαῖρε, παντὸς τοῦ κόσμου ἐξίλασμα. Χαῖρε, Θεοῦ πρὸς θνητοὺς εὐδοκία, χαῖρε, θνητῶν πρὸς Θεὸν παρρησία. Χαῖρε, Νύμφη ἀνύμφευτε. Ζάλην ἔνδοθεν ἔχων, λογισμῶν ἀμφιβόλων, ὁ σώφρων Ἰωσὴφ ἐταράχθη, πρὸς τὴν ἄγαμόν σε			ἐσύ πού φωτίζεις τίς διάνοιες τῶν πιστῶν. Χαῖρε, Νύμφη ἀνύμφευτη. Δύναμη τοῦ Ὑψίστου ἐπισκίασε (σκέπασε) τότε τήν ἄπειρη γάμου, γιά τή σύλληψή της· καί τά καρποφόρα σπλάχνα της τά ἀνέδειξε ὡς ἀγρό εὐχάριστο σέ ὅλους, πού θέλουν νά θερίσουν σωτηρία, ψάλλοντας ἔτσι: Ἀλλήλούϊα. Ἔχοντας ἡ Παρθένος τήν κοιλιά της ὡς δοχεῖο ὑποδοχῆς τοῦ Θεοῦ, ἔτρεξε στήν Ἐλισάβετ· καί τό βρέφος ἐκείνης ἀμέσως, μόλις ἀντιλήφθηκε τόν χαιρετισμό της χαιρόταν! Καί μέ σκιρτήματα ὡς ἄσματα φώναζε στή Θετόκο· Χαῖρ, κλῆμα ἀμάραντου βλαστοῦ· χαῖρε κτῆμα ἄγνοῦ καρποῦ. Χαῖρε ἐσύ πού καλλιέργησες τόν φιλάνθρωπο γεωργό· χαῖρε ἐσύ, πού βλάστησες τῆς ζωῆς μας τό Φυτουργό. Χαῖρε, γῆ (χωράφι), πού βλαστάνεις εὐφορία εὐσπλαχνίας· χαῖρε τράπεζα πού σηκώνεις ἀφθονία συγχωρήσεως. Χαῖρε, διότι κάνεις νά ξαναβλαστάνει τό λιβάδι τῆς ἀπολαύσεως· χαῖρε, γιατί ἑτοιμάζεις τό λιμάνι τῶν ψυχῶν. Χαῖρε, θυμίαμα εὐπρόσδεκτο γιά πρεσβεία· χαῖρε συγχώρηση ὅλου τοῦ κόσμου. Χαῖρε, ἡ χάρη τοῦ Θεοῦ πρός τούς θνητούς (τούς ἀνθρώπους)· χαῖρε ἡ παρρησία (τό θάρρος) τῶν θνητῶν πρός τόν Θεό. Χαῖρε, Νύμφη ἀνύμφευτη. Ἔχοντας μέσα του ζάλη ἀμφίβολων λογισμῶν ὁ συνετός Ἰωσήφ ταράχθηκε, βλέποντάς σε μέσα στήν ἄγαμη, καί θεω-

θεωρῶν, καὶ κλεψίγαμον ὑπονοῶν Ἄμεμπτε, μαθών δέ σου τὴν σύλληψιν ἐκ Πνεύματος ἁγίου, ἔφη. Ἀλληλούια. «Τῇ Ὑπερμάχῳ...». (Σελίς 227). Τρισάγιον. (Σελίς 15-16). Καί τά λοιπά τοῦ Μικροῦ Ἀποδείπνου. (Σελίς 212-217). ΠΑΡΑΣΚΕΥΗ Β΄. ΕΒΔΟΜΑΔΟΣ ΤΩΝ ΝΗΣΤΕΙΩΝ ΔΕΥΤΕΡΑ ΣΤΑΣΙΣ ΤΟΥ ΑΚΑΘΙΣΤΟΥ Μικρόν Ἀπόδειπνον. (Ἀρχή ἕως τό «Ἄξιόν…». Σελίδα 204-212-217). Κανών. (Τοῦ Ἀκαθίστου. Σελίδα 219227). Τῇ ὑπερμάχῳ…. (Σελίς 227). Ἤκουσαν οἱ ποιμένες τῶν Ἀγγέλων ὑμνούντων τὴν ἔνσαρκον Χριστοῦ παρουσίαν, καὶ δραμόντες ὡς πρὸς ποιμένα, θεωροῦσι τοῦτον ὡς ἀμνὸν ἄμωμον, ἐν τῇ γατρὶ Μαρίας βοσκηθέντα, ἣν ὑμνοῦντες εἶπον: Χαῖρε, ἀμνοῦ καὶ ποιμένος μήτηρ, χαῖρε, αὐλὴ λογικῶν προβάτων. Χαῖρε, ἀοράτων ἐχθρῶν ἀμυντήριον, χαῖρε, Παραδείσου θυρῶν ἀνοικτήριον. Χαῖρε, ὅτι τὰ οὐράνια συναγάλλεται τῇ γῇ, χαῖρε, ὅτι τὰ ἐπίγεια συγχορεύει οὐρανοῖς. Χαῖρε, τῶν Ἀποστόλων τὸ ἀσίγητον στόμα, χαῖρε, τῶν ἀθλοφόρων τὸ ἀνίκητον θάρσος. Χαῖρε, στερρόν τῆς πίστεως ἔρεισμα, χαῖρε,			ρώντας σε ἐξώγαμο, Ἄμεμπτε· μόλις ὅμως ἔμαθε τή σύλληψή σου ἀπό τό Ἅγιο Πνεῦμα, εἶπε: Ἀλληλούια. «Τῇ Ὑπερμάχῳ...». (Σελίδα 227). Τρισάγιο. (Σελίδα 15-16). Καί τά λοιπά τοῦ Μικροῦ Ἀποδείπνου. (Σελίδα 212-217). ΠΑΡΑΣΚΕΥΗ Β΄. ΕΒΔΟΜΑΔΟΣ ΤΩΝ ΝΗΣΤΕΙΩΝ ΔΕΥΤΕΡΑ ΣΤΑΣΗ ΤΟΥ ΑΚΑΘΙΣΤΟΥ. Μικρό Ἀπόδειπνο. (Ἀρχή ἕως τό «Ἄξιόν ἐστι...».Σελίδα 204-212-217). Κανόνας. (Τοῦ Ἀκαθίστου. Σελίδα 219227). Τῇ ὑπερμάχῳ…. (Σελίδα 227). Ἄκουσαν οἱ βοσκοί τούς Ἀγγέλους νά ὑμνοῦν τήν παρουσία τοῦ Χριστοῦ μέ σάρκα· Καί ἀφοῦ ἔτρεξαν πρός αὐτόν ὡς Ποιμένα, τόν βλέπουν ὡς ἀρνί ἄμεμπτο, νά βόσκει στήν κοιλιά τῆς Μαρίας, τήν ὁποία ὑμνώντας εἶπαν· Χαῖρε, Μητέρα τοῦ ἀμνοῦ καί βοσκοῦ· χαῖρε αὐλή λογικῶν προβάτων. Χαῖρε ὀχύρωμα κατά τῶν ἀοράτων ἐχθρῶν· χαῖρε τό κλειδί, πού ἀνοίγει τίς θύρες τοῦ παραδείσου. Χαῖρε, διότι τά οὐράνια ἀγάλλονται μαζί μέ τή γῆ· χαῖρε, διότι τά ἐπίγεια πανηγυρίζουν μαζί μέ τούς οὐρανούς. Χαῖρε τό ἀσίγαστο στόμα τῶν Ἀποστόλων· Χαῖρε τό ἀνίκητο θάρρος τῶν Ἀθλοφόρων (τῶν Μαρτύρων). Χαῖρε στερεό στήριγμα τῆς πίστης· Χαῖρε λαμπρό γνώρι-

λαμπρόν τῆς χάριτος γνώρισμα. Χαῖρε, δι' ἧς ἐγυμνώθη ὁ Ἅδης, χαῖρε, δι' ἧς ἐνεδύθημεν δόξαν. Χαῖρε, Νύμφη ἀνύμφευτε. Θεοδρόμον ἀστέρα θεωρήσαντες Μάγοι, τῇ τούτου ἠκολούθησαν αἴγλη, καὶ ὡς λύχνον κρατοῦντες αὐτόν, δι' αὐτοῦ ἠρεύνων κραταιὸν ἄνακτα, καὶ φθάσαντες τὸν ἄφθαστον, ἐχάρησαν αὐτῷ βοῶντες: Ἀλληλούια. Ἴδον παῖδες Χαλδαίων, ἐν χερσί της Παρθένου, τὸν πλάσαντα χειρί τούς ἀνθρώπους, καὶ Δεσπότην νοοῦντες αὐτόν, εἰ καὶ δούλου ἔλαβε μορφήν, ἔσπευσαν τοῖς δώροις θεραπεῦσαι καὶ βοῆσαι τῇ Εὐλογημένῃ: Χαῖρε, ἀστέρος ἀδύτου Μήτηρ, Χαῖρε, αὐγὴ μυστικῆς ἡμέρας. Χαῖρε, τῆς ἀπάτης τὴν κάμινον σβέσασα, χαῖρε, της τριάδος τούς μύστας φωτίζουσα. Χαῖρε, τύραννον ἀπάνθρωπον ἐκβαλοῦσα της ἀρχῆς, χαῖρε, Κύριον φιλάνθρωπον ἐπιδείξασα Χριστόν. Χαῖρε, ἡ τῆς βαρβάρου λυτρουμένη θρησκείας, χαῖρε, ἡ τοῦ βορβόρου ῥυομένη τῶν ἔργων. Χαῖρε, πυρὸς προσκύνησιν παύσασα, χαῖρε, φλογὸς παθῶν ἀπαλλάτουσα. Χαῖρε, πιστῶν ὁδηγὲ σωφροσύνης, χαῖρε, πασῶν γενεῶν εὐφροσύνη.			σμα τῆς χάρης. Χαῖρε ἐσύ διά τῆς ὁποίας γυμνώθηκε ὁ ᾅδης· Χαῖρε ἐσύ διά τῆς ὁποίας ντυθήκαμε δόξα. Χαῖρε, Νύμφη ἀνύμφευτη. Βλέποντας οἱ Μάγοι τό ἀστέρι, πού ἀκολουθοῦσε τόν δρόμο τόν χαραγμένο ἀπό τόν Θεό, ἀκολούθησαν τή λάμψη του· καί κρατώντας το ὡς λυχνάρι, μέ αὐτό ἔψαχναν νά βροῦν τό δυνατό Βασιλιά· καί ἀφοῦ ἔφθασαν στόν ἄφθαστο, χάρηκαν φωνάζοντας σ' αὐτόν: Ἀλληλούια. Εἶδαν οἱ Χαλδαῖοι (οἱ Βαβυλώνιοι) στά χέρια τῆς Παρθένου, αὐτόν πού ἔπλασε μέ τό χέρι του τούς ἀνθώπους· Καί κατανοώντας τον ὡ Κύριο, ἄν καί ἔλαβε μορφή δούλου, ἔσπευσαν νά τόν ὑπηρετήσουν μέ τά δῶρα, καί νά φωνάξουν στήν Εὐλογημένή· Χαῖρε Μητέρα τοῦ ἄστρου πού δέν δύει· χαῖρε αὐγή μυστηριώδους ἡμέρας. Χαῖρε ἐσύ πού ἔσβησες τό καμίνι τῆς ἀπάτης· χαῖρε ἐσύ πού φωτίζεις τούς πιστούς στήν Ἁγία Τριάδα. Χαῖρε ἐσύ πού ἔδιωξες ἀπό τή ἐξουσία τόν ἀπάνθρωπο τύραννο (τό διάβολο)· χαῖρε ἐσύ πού ἀνέδειξες τόν φιλάνθρωπο Κύριο, τόν Χριστό. Χαῖρε ἐσύ πού μᾶς λυτρώνεις ἀπό τή βάρβαρη θρησκεία· χαῖρε ἐσύ πού μᾶς ἀπαλλάσσεις ἀπό τό βόρβορο τῶν κακῶν ἔργων. Χαῖρε ἐσύ πού ἔπαυσες τήν προσκύνηση τῆς φωτιᾶς· χαῖρε ἐσύ πού μᾶς ἀπαλλάσσεις ἀπό τή φλόγα τῶν παθῶν. Χαῖρε ὁδηγέ τῶν πιστῶν πρός τή σύνεση· χαῖρε ἐσύ εὐφροσύνη ὅλων τῶν γενεῶν.

Χαῖρε, Νύμφη ἀνύμφευτε. Κήρυκες θεοφόροι γεγονόντες οἱ Μάγοι, ὑπέστρεψαν εἰς τὴν Βαβυλῶνα, ἐκτελέσαντές σου τὸν χρησμὸν καὶ κηρύξαντές σε τὸν Χριστὸν ἅπασιν, ἀφέντες τὸν Ἡρῴδην ὡς ληρώδη, μὴ εἰδότα ψάλλειν. Ἀλληλούια. Λάμψας ἐν τῇ Αἰγύπτῳ φωτισμὸν ἀληθείας, ἐδίωξας τοῦ ψεύδους τὸ σκότος, τὰ γὰρ εἴδωλα ταύτης, Σωτήρ, μὴ ἐνέγκαντά σου τὴν ἰσχὺν πέπτωκεν, οἱ τούτων δὲ ῥυσθέντες ἐβόων πρὸς τὴν Θεοτόκον, Χαῖρε, ἀνόρθωσις τῶν ἀνθρώπων, χαῖρε, κατάπωσις τῶν δαιμόνων. Χαῖρε, τῆς ἀπάτης τὴν πλάνην πατήσασα, χαῖρε, τῶν εἰδώλων τὸν δόλον ἐλέγξασα. Χαῖρε, θάλασσα ποντίσασα Φαραὼ τὸν νοητόν, χαῖρε, πέτρα ἡ ποτίσασα τούς διψῶντας τὴν ζωήν. Χαῖρε, πύρινε στῦλε, ὁδηγῶν τούς ἐν σκότει, χαῖρε, σκέπη τοῦ κόσμου, πλατυτέρα νεφέλης. Χαῖρε, τροφὴ τοῦ Μάννα διάδοχε, Χαῖρε, τρυφῆς ἁγίας διάκονε. Χαῖρε, ἡ Γῆ της ἐπαγγελίας, Χαῖρε, ἐξ ἧς ῥέει μέλι καὶ γάλα. Χαῖρε, Νύμφη ἀνύμφευτε. Μέλλοντος Συμεῶνος τοῦ παρόντος αἰῶνος μεθίστασθαι τοῦ ἀπατεῶνος, ἐπεδόθης ὡς βρέφος			Χαῖρε Νύμφη ἀνύμφευτη. Οἱ Μάγοι ἀφοῦ ἔγιναν κήρυκες θεοφόροι, ἐπέστρεψαν στή Βαβυλώνα· ἀφοῦ ἐκτέλεσαν τήν προφητεία σου, καί κήρυξαν σέ ὅλους ἐσένα τό Χριστό, ἀφήνοντας τόν Ἡρώδη ὡς ἀνόητο, πού δέν γνώριζε νά ψάλλει: Ἀλληλούια. Ἀφοῦ ἔλαμψες στήν Αἴγυπτο τό φωτισμό τῆς ἀλήθειας, ἔδιωξες τό σκοτάδι τοῦ ψεύδους· διότι τά εἴδωλά της, Σωτήρα, μή ὑποφέροντας τή δύναμή σου ἔπεσαν· καί αὐτοί πού ἀπαλλάχθηκαν ἀπ' αὐτά, φώναζαν πρός τή Θεοτόκο· Χαῖρε ἡ ἀνόρθωση τῶν ἀνθρώπων· χαῖρε ἡ κατάπτωση τῶν δαιμόνων. Χαῖρε ἐσύ πού πάτησες τήν πλάνη τῆς ἀπάτης· χαῖρε ἐσύ πού ἀπέδειξες τό δόλο τῶν εἰδώλων. Χαῖρε, θάλασσα, πού καταπόντισες τόν πνευματικό Φαραώ (τό διάβολο)· χαῖρε, πέτρα πού πότισες, αὐτούς πού διψοῦσαν τή ζωή. Χαῖρε, πύρινε στῦλε, πού ὁδηγεῖς, αὐτούς πού βρίσκονται στό σκοτάδι· χαῖρε, σκέπη τοῦ κόσμου πλατύτερη ἀπό νεφέλη . Χαῖρε, τροφή πού διαδέχθηκες τό Μάννα· χαῖρε, ἐσύ πού ὑπηρετεῖς τήν ἁγία ἀπόλαυση. Χαῖρε ἡ χώρα πού ὑποσχέθηκε ὁ Θεός· χαῖρε ἐσύ ἀπό τήν ὁποία τρέχει μέλι καί γάλα. Χαῖρε, Νύμφη ἀνύμφευτη. Ὅταν ἐπρόκειτο, νά μετατεθεῖ ὁ Συμεών ἀπό τόν παρόν τα αἰώνα (τήν παροῦσα ζωή) τόν ἀπατεώνα, προσφέρθηκες

αὐτῷ, ἀλλ' ἐγνώσθης τούτῳ καὶ Θεὸς τέλειος, διόπερ ἐξεπλάγη σου τήν ἄρρητον σοφίαν, κράζων, Ἀλληλούια. «Τῇ Ὑπερμάχῳ...». (Σελίς 227). Καί τά λοιπά τοῦ Μικροῦ Ἀποδείπνου. (Σελίς 212- 217). ΠΑΡΑΣΚΕΥΗ Γ'. ΕΒΔΟΜΑΔΟΣ ΤΩΝ ΝΗΣΤΕΙΩΝ Μικρόν Ἀπόδειπνον. (Ἀρχή μέχρι τοῦ «Ἄξιόν ἐστι...»Σελίς 204-212). Κανών. (Τοῦ Ἀκαθίστου. Σελίς 224227). ΤΡΙΤΗ ΣΤΑΣΙΣ ΤΟΥ ΑΚΑΘΙΣΤΟΥ. Νέαν ἔδειξε κτίσιν, ἐμφανίσας ὁ Κτίστης, ὑμῖν τοῖς ὑπ' αὐτοῦ γενομένοις· ἐξ ἀσπόρου βλαστήσας γαστρός, καὶ φυλάξας ταύτην, ὥσπερ ἦν, ἄφθορον, ἵνα τὸ θαῦμα βλέποντες, ὑμνήσωμεν αὐτήν, βοῶντες: Χαῖρε, τὸ ἄνθος τῆς ἀφθαρσίας, χαῖρε, τὸ στέφος της ἐγκρατείας. Χαῖρε, ἀναστάσεως τύπον ἐκλάμπουσα, χαῖρε, τῶν Ἀγγέλων τὸν βίον ἐμφαίνουσα. Χαῖρε, δένδρον ἀγλαόκαρπον, ἐξ οὗ τρέφονται πιστοί, χαῖρε, ξύλον εὐσκιόφυλλον, ὑφ' οὐ σκέπονται πολλοί. Χαῖρε, κυοφοροῦσα ὁδηγὸν πλανωμένοις, χαῖρε, ἀπογεννῶσα λυτρωτὴν αἰχμαλώτοις.			ὡς βρέφος σ' αὐτόν, ἀλλά ἀναγνωρίσθηκες ἀπ' αὐτόν καί Θεός τέλειος, Γι' αὐτό ἀκριβῶς ἀπόρησε γιά τή μυστηριώδη σοφία σου κράζοντας: Ἀλληλούια. «Τῇ Ὑπερμάχῳ...». (Σελίδα 227). Καί τά λοιπά τοῦ Μικροῦ Ἀποδείπνου. (Σελίδα 212-217). ΠΑΡΑΣΚΕΥΗ Γ'. ΕΒΔΟΜΑΔΟΣ ΤΩΝ ΝΗΣΤΕΙΩΝ Μικρό Ἀπόδειπνο. (Ἀρχή ἕως τό «Ἄξιόν ἐστι...»Σελίδα 204-212). Κανόνας. (Τοῦ Ἀκαθίστου. Σελίδα 219227). ΤΡΙΤΗ ΣΤΑΣΗ ΤΟΥ ΑΚΑΘΙΣΤΟΥ. Ἔδειξε νέα κτίση, ἐμφανίζοντάς την ὁ Κτίστης, σ' ἐμᾶς, πού δημιουργηθήκαμε ἀπ' αὐτόν, ἀφοῦ βλάστησε ἀπό κοιλιά χωρίς πεῖρα ἀνδρός, καί τήν φύλαξε ἄφθορη, ὅπως ἦταν, ὥστε βλέποντας τό θαῦμα, νά τήν ὑμνήσουμε φωνάζοντας: Χαῖρε ἐσύ τό ἄνθος τῆς ἀφθαρσίας·χαῖρε τό στεφάνι τῆς ἐγκρατείας. Χαῖρε ἐσύ πού λάμπεις καί προεικονίζεις τό φῶς τῆς Ἀναστάσεως· χαῖρε ἐσύ πού προβάλλεις γιά μίμηση τή ζωή τῶν Ἀγγέλων. Χαῖρε δένδρο μέ τούς λαμπρούς καί γλυκούς καρπούς, ἀπό τό ὁποῖο τρέφονται οἱ πιστοί· χαῖρε δένδρο βαθύσκιο, ἀπό τό ὁποίο σκεπάζονται πολλοί. Χαῖρε, Ἐσύ πού φέρνεις στά σπλάχνα σου ὁδηγό γι' αὐτούς πού πλανῶνται· χαῖρε ἐσύ πού γεννᾷς Λυτρωτή γιά

Χαῖρε, Κριτοῦ δικαίου δυσώπησις, χαῖρε, πολλῶν πταιόντων συγχώρησις. Χαῖρε, στολὴ τῶν γυμνῶν παρρησίας, χαῖρε, στοργὴ πάντα πόθον νικῶσα. Χαῖρε, Νύμφη ἀνύμφευτε. Ξένον τόκον ἰδόντες, ξενωθῶμεν τοῦ κόσμου, τὸν νοῦν εἰς οὐρανὸν μεταθέντες, διὰ τοῦτο γὰρ ὁ ὑψηλὸς Θεὸς ἐπὶ γῆς ἐφάνη ταπεινὸς ἄνθρωπος, βουλόμενος ἑλκύσαι πρὸς τὸ ὕψος τούς Αὐτῷ βοῶντας: Ἀλληλούια. Ὅλος ἦν ἐν τοῖς κάτω, καί τῶν ἄνω οὐδόλως ἀπῆν ὁ ἀπερίγραπτος Λόγος; συγκατάβασις γὰρ θεϊκή, οὐ μετάβασις δὲ τοπικὴ γέγονε; καὶ τόκος ἐκ Παρθένου θεολήπτου ἀκουούσης ταῦτα: Χαῖρε, Θεοῦ ἀχωρήτου χώρα; χαῖρε, σεπτοῦ μυστηρίου θύρα. Χαῖρε, τῶν ἀπίστων ἀμφίβολον ἄκουσμα; χαῖρε, τῶν πιστῶν ἀναμφίβολον καύχημα. Χαῖρε, ὄχημα πανάγιον τοῦ ἐπί τῶν Χερουβίμ· χαῖρε, οἴκημα πανάριστον τοῦ ἐπί τῶν Σεραφίμ. Χαῖρε, ἡ τάναντία εἰς ταὐτὸ ἀγαγοῦσα· χαῖρε, ἡ παρθενίαν καὶ λοχείαν ζευγνῦσα. Χαῖρε, δι' ἧς ἐλύθη παράβασις, χαῖρε, δι' ἧς ἠνοίχθη Παράδεισος.			τούς αἰχμαλώτους. Χαῖρε θερμή παράκληση πρός τόν δίκαιο Κριτή· χαῖρε συγχώρηση γιά πολλούς πού σφάλλουν. Χαῖρε στολή, αὐτῶν πού εἶναι γυμνοί ἀπό θάρρος· χαῖρε στοργή πού νικᾷς κάθε πόθο. Χαῖρε Νύμφη ἀνύμφευτη. Βλέποντας παράξενη γέννηση, ἄς ἀποξενωθοῦμε ἀπό τόν κόσμο μεταθέτοντας τό νοῦ μας στόν οὐρανό· Διότι γι' αὐτό ὁ ὕψιστος Θεός φάνηκε στή γῆ ὡς ταπεινός ἄνθρωπος, θέλοντας νά προσελκύσει στό ὕψος, αὐτούς πού κραυγάζουν: Ἀλληλούια. Ὁλόκληρος βρισκόταν στή γῆ, καί δέν ἀπουσίαζε καθόλου ἀπό τόν οὐρανό ὁ ἀπερίγραπτος Λόγος τοῦ Θεοῦ· διότι ἔγινε συγκατάβαση (κάθοδος) θεϊκή, καί ὄχι μετακίνηση τοπική, καί γέννηση ἀπό Παρθένο κατεχόμενη ἀπό τόν Θεό, ἡ ὁποία ἀκούει τά ἑξῆς: Χαῖρε ὁ χῶρος τοῦ ἀχώρητου Θεοῦ· χαῖρε θύρα τοῦ σεβάσμιου μυστηρίου. Χαῖρε κήρυγμα πού προκαλεῖ ἀμφιβολίες στούς ἀπίστους· χαῖρε καύχημα τῶν πιστῶν, πού δέν ἐπιδέχεται ἀμφιβολίες. Χαῖρε ὄχημα πανάγιο, αὐτοῦ, ὁ ὁποῖος εἶναι ἐπάνω στά Χερουβίμ· χαῖρε οἴκημα πανάριστο, αὐτοῦ ὁ ὁποῖος βρίσκεται ἐπάνω στά Σεραφίμ. Χαῖρε ἐσύ πού ὁδήγησες τά ἀντίθετα στό ἴδιο σημεῖο· χαῖρε ἐσύ πού συνδυάζεις τήν παρθενία καί τή μητρότητα. Χαῖρε ἐσύ, διά τῆς ὁποίας καταλύθηκε ἡ παράβασή μας· χαῖρε ἐσύ, διά τῆς ὁποίας ἀνοίχθηκε ὁ Παράδεισος.

Χαῖρε,ἡ κλείς τῆς Χριστοῦ βασιλείας, χαῖρε, ἐλπὶς ἀγαθῶν αἰωνίων. Χαῖρε, Νύμφη ἀνύμφευτε. Πᾶσα φύσις Ἀγγέλων κατεπλάγη τὸ μέγα τῆς σῆς ἐνανθρωπήσεως ἔργον, τὸν ἀπρόσιτον γὰρ ὡς Θεόν, ἐθεώρει πᾶσι προσιτὸν ἄνθρωπον ἡμῖν μὲν συνδιάγοντα, ἀκούοντα δὲ παρὰ πάντων οὕτως: Ἀλληλούια. Ῥήτορας πολυφθόγγους ὡς ἰχθύας ἀφώνους ὁρῶμεν ἐπὶ σοί, Θεοτόκε· ἀποροῦσι γὰρ λέγειν τὸ πῶς καὶ Παρθένος μένεις καὶ τεκεῖν ἴσχυσας; ἡμεῖς δὲ τὸ Μυστήριον θαυμάζοντες, πιστῶς βοῶμεν: Χαῖρε, σοφίας Θεοῦ δοχεῖον, χαῖρε, προνοίας αὐτοῦ ταμεῖον. Χαῖρε, φιλοσόφους ἀσόφους δεικνύουσα; χαῖρε, τεχνολόγους ἀλόγους ἐλέγχουσα. Χαῖρε, ὅτι ἐμωράνθησαν οἱ δεινοί συζητηταὶ; χαῖρε, ὅτι ἐμαράνθησαν οἱ τῶν μύθων ποιηταί. Χαῖρε, τῶν Ἀθηναίων τὰς πλοκὰς διασπῶσα· χαῖρε, τῶν ἁλιέων τὰς σαγήνας πληροῦσα. Χαῖρε, βυθοῦ ἀγνοίας ἐξέλκουσα· Χαῖρε, πολλοὺς ἐν γνώσει φωτίζουσα. Χαῖρε, ὁλκάς τῶν θελόντων σωθῆναι; χαῖρε, λιμήν τῶν τοῦ βίου πλωτήρων. Χαῖρε, Νύμφη ἀνύμφευτε. Σῶσαι θέλων τὸν κόσμον ὁ τῶν ὅλων			Χαῖρε τό κλειδί τῆς Βασιλείας τοῦ Χριστοῦ· χαῖρε ἐλπίδα τῶν αἰωνίων ἀγαθῶν. Χαῖρε, Νύμφη ἀνύμφευτη. Ὅλη ἡ φύση τῶν Ἀγγέλων ἀπόρησε μέ τό μέγα ἔργο τῆς ἐνανθρωπήσεώς σου· διότι αὐτόν, πού ὡς Θεός εἶναι ἀπλησίαστος, τόν ἔβλεπε ὡς ἄνθρωπο προσιτό (εὐκολοπλησίαστο) σέ ὅλους, νά ζεῖ μαζί μας, καί νά ἀκούει ἀπό ὅλους τό ἑξῆς: Ἀλληλούια. Ρήτορες πολύφωνους ὡς ἄφωνα ψάρια τούς βλέπουμε μπροστά σου, Θεοτόκε· διότι βρίσκονται σέ ἀμηχανία νά ποῦν, τό πῶς καί μένεις Παρθένος καί μπόρεσες νά γεννήσεις· Ἐμεῖς ὅμως θαυμάζοντας τό μυστήριο φωνάζουμε μέ πίστη: Χαῖρε δοχεῖο τῆς σοφίας τοῦ Θεοῦ· Χαῖρε ταμεῖο τῆς προνοίας του. Χαῖρε ἐσύ πού ἀποδεικνύεις ὡς ἀσόφους τούς φιλοσόφους· χαῖρε ἐσύ, πού ἀποδεικνύεις τούς τεχνῖτες τοῦ λόγου, στερημένους ἀπό λογική. Χαῖρε διότι κατήντησαν ἀνόητοι οἱ ἱκανοί συζητητές· χαῖρε γιατί μαράθηκαν οἱ δημιουργοί τῶν μύθων. Χαῖρε ἐσύ πού διαλύεις τούς περίπλοκους λόγους τῶν Ἀθηναίων· χαῖρε ἐσύ πού γεμίζεις τά δίχτυα τῶν ψαράδων. Χαῖρε ἐσύ πού μᾶς ἀνασύρεις ἀπό τό βυθό τῆς ἄγνοίας· χαῖρε ἐσύ πού φωτίζεις πολλούς μέ γνώση. Χαῖρε πλοῖο αὐτῶν πού θέλουν νά σωθοῦ· χαῖρε λιμάνι τῶν θαλασσοπόρων τῆς ζωῆς. Χαῖρε Νύμφη ἀνύμφευτη. Θέλοντας νά σώσει τόν κόσμο αὐτός πού διακόσμησε

κοσμήτωρ, πρὸς τοῦτον αὐτεπάγγελτος ἦλθε, καὶ ποιμὴν ὑπάρχων ὡς Θεός, δι' ἡμᾶς ἐφάνη καθ' ἡμᾶς ἄνθρωπος· ὁμοίῳ γὰρ τὸ ὅμοιον καλέσας, ὡς Θεὸς ἀκούει: Ἀλληλούια. «Τῇ Ὑπερμάχῳ...». (Σελίς 227). Καί τά λοιπά τοῦ Μικροῦ Ἀποδείπνου. (Σελίς 212-217). ΠΑΡΑΣΚΕΥΗ Δ΄. ΕΒΔΟΜΑΔΟΣ ΤΩΝ ΝΗΣΤΕΙΩΝ ΤΕΤΑΡΤΗ ΣΤΑΣΙΣ ΤΟΥ ΑΚΑΘΙΣΤΟΥ Μικρό Ἀπόδειπνον. (Ἀρχή ἕως τό «Ἄξιόν ἐστι...».Σελίδα 204-212-217). Κανών. (Τοῦ Ἀκαθίστου. Σελίδα 219227). Τῇ ὑπερμάχῳ…. (Σελίς 227). Τεῖχος εἶ τῶν Παρθένων, Θεοτόκε Παρθένε, καὶ πάντων τῶν εἰς σὲ προστρεχόντων, ὁ γὰρ τοῦ οὐρανοῦ καὶ τῆς γῆς, κατεσκεύασέ σε Ποιητὴς Ἄχραντε, οἰκήσας ἐν τῇ μήτρα σου, καὶ πάντας σοὶ προσφωνεῖν διδάξας. Χαῖρε, ἡ στήλη τῆς παρθενίας· χαῖρε, ἡ πύλη τῆς σωτηρίας. Χαῖρε, ἀρχηγὲ νοητῆς ἀναπλάσεως· χαῖρε, χορηγὲ θεϊκῆς ἀγαθότητος. Χαῖρε, σὺ γὰρ ἀνεγέννησας τοὺς συλληφθέντας αἰσχρῶς· χαῖρε, σὺ γὰρ ἐνουθέτησας τοὺς συληθέντας τὸν νοῦν.			(στόλισε) τά πάντα, ἦλθε πρός αὐτόν αὐτόκλητος (ἀπό μόνος του)· καί ἐνῷ ἦταν Ποιμένας (ἄρχοντας) ὡς Θεός, γιά χάρη μας φάνηκε ἄνθρωπος ὅῶς ἐμεῖς· διότι ἀφοῦ κάλεσε μέ τό ὅμοιο (τόν ἑαυτό του) τό ὅμοιο, (ἐμᾶς), ὡς Θεός ἀκούει: Ἀλληλούια. «Τῇ Ὑπερμάχῳ...». (Σελίδα 227). Τρισάγιο. Καί τά λοιπά τοῦ Μικροῦ Ἀποδείπνου. Σελίδα 212-217). ΠΑΡΑΣΚΕΥΗ Δ΄. ΕΒΔΟΜΑΔΟΣ ΤΩΝ ΝΗΣΤΕΙΩΝ ΤΕΤΑΡΤΗ ΣΤΑΣΗ ΤΟΥ ΑΚΑΘΙΣΤΟΥ. (ΟΙΚΟΙ: Μικρό Ἀπόδειπνο. (Ἀρχή ἕως τό «Ἄξιόν ἐστι...». Σελίδα 204-212-217). Κανόνας. (Τοῦ Ἀκαθίστου. Σελίδα 219-227). Τῇ ὑπερμάχῳ…. (Σελίδα 227). Εἶσαι τεῖχος τῶν παρθένων, Θεοτόκε Παρθένε, καί ὅλων πού καταφεύγουν σ' ἐσένα· Διότι σέ δημιούργησε ὁ Ποιητής τοῦ οὐρανοῦ καί τῆς γῆς, Ἀμόλυντη, ὁ ὁποῖος κατοίκησε στή μήτρα σου, κι ἐδίδαξε ὅλους νά σέ προσφωνοῦν: Χαῖρε, ἡ στήλη τῆς παρθενίας· χαῖρε, ἡ πύλη τῆς σωτηρίας . Χαῖρε, ἀρχηγέ τῆς πνευματικῆς ἀναπλάσεώς μας· χαῖρε, χορηγέ, θεϊκῆς ἀγαθότητας. Χαῖρε, διότι ἐσύ ἀνγέννησες αὐτούς πού αἰχμαλωτίσθηκαν αἰσχρά· χαῖρε, διότι ἐσύ συμβούλεψες αὐτούς πού λεηλατήθηκε ὁ νοῦς τους (ἔχασαν τά μυαλά τους).

Χαῖρε, ἡ τὸν φθορέα τῶν φρενῶν καταργοῦσα· χαῖρε, ἡ τὸν σπορέα τῆς ἁγνείας τεκοῦσα. Χαῖρε, παστὰς ἀσπόρου νυμφεύσεως· χαῖρε, πιστοὺς Κυρίῳ ἁρμόζουσα. Χαῖρε, καλὴ κουροτρόφε παρθένων· χαῖρε, ψυχῶν νυμφοστόλε ἁγίων, Χαῖρε, Νύμφη ἀνύμφευτε. Ὕμνος ἅπας, ἡττᾶται, συνεκτείνεσθαι σπεύδων, τῷ πλήθει τῶν πολλῶν οἰκτιρμῶν σου, ἰσαρίθμους γὰρ τῇ ψάμμῳ ᾠδάς, ἂν προσφέρωμέν σοί, Βασιλεῦ ἅγιε, οὐδέν τελοῦμεν ἄξιον, ὧν δέδωκας ἡμῖν, τοῖς σοὶ βοῶσιν: Ἀλληλούια. Φωτοδόχον λαμπάδα, τοῖς ἐν σκότει φανεῖσαν, ὁρῶμεν τὴν ἁγίαν Παρθένον, τὸ γὰρ ἄυλον ἅπτουσα φῶς, ὁδηγεῖ πρὸς γνῶσιν θεϊκὴν ἅπαντας, αὐγῇ τὸν νοῦν φωτίζουσα, κραυγῇ δὲ τιμωμένη ταῦτα. Χαῖρε, ἀκτὶς νοητοῦ Ἡλίου, χαῖρε, βολὶς τοῦ ἀδύτου φέγγους. Χαῖρε, ἀστραπὴ τὰς ψυχὰς καταλάμπουσα, χαῖρε, ὦς βροντὴ τοὺς ἐχθροὺς καταπλήττουσα. Χαῖρε, ὅτι τὸν πολύφωτον ἀνατέλλεις φωτισμόν, χαῖρε, ὅτι τὸν πολύρρητον, ἀναβλύζεις ποταμόν. Χαῖρε, τῆς κολυμβήθρας ζωγραφοῦσα τὸν τύπον, χαῖρε, τῆς ἁμαρτίας ἀναιροῦσα τὸν ῥύπον.			Χαῖρε ἐσύ πού καταργεῖς αὐτόν πού φθείρει (καταστρέφει) τό νοῦ· χαῖρε ἐσύ πού γέννησες αὐτόν πού σπέρνει τήν ἀγνότητα. Χαῖρε, νυφικέ θάλαμε γάμου χωρίς ἄνδρα· χαῖρε ἐσύ πού προσαρμόζεις τούς πιστούς στόν Κύριο. Χαῖρε ἐσύ πού εἶσαι καλή παιδοτρόφος τῶν παρθένων· χαῖρε ἐσύ πού στολίζεις μέ νυφικά ἐνδύματα τίς ἅγιες ψυχές. Χαῖρε, Νύμφη ἀνύμφευτη. Κάθε ὕμνος νικιέται, θέλοντας νά λάβει τήν ἴδια ἔκταση μέ τό πλῆθος τῆς πολλῆς εὐσπλαχνίας σου· διότι, καί ἄν σοῦ προσφέρουμε ὕμνους, ἴσους σέ ἀριθμό μέ τήν ἄμμο, Βασιλιά ἅγιε, δέν κάνουμε τίποτε ἀντάξιο μέ αὐτά πού ἔδωσες, σ' ἐμᾶς πού φωνάζουμε σ' ἐσένα: Ἀλληλούια. Σαν ὁλόφωτη λαμπάδα, πού φάνηκε σ' αὐτούς πού βρίσκονταν στό σκοτάδι, βλέπουμε τή ἁγία Παρθένο· διότι ἀνάβοντας τό ἄυλο (τό πνευματικό) φῶς, ὁδηγεῖ στή γνώση τοῦ Θεοῦ ὅλους, καί φωτίζει μέ θεϊκή λάμψη τό νοῦ, καί δέχεται τιμή μέ αὐτές τίς κραυγές: Χαῖρε, ἀκτίνα τοῦ νοητοῦ (τοῦ πνευματικοῦ) Ἡλίου· χαῖρε, φωτεινή βολίδα τοῦ φωτός (φωτοβολίδα) πού δέν δύει (δέν βασιλεύει). Χαῖρε, ἀστραπή πού φωτίζεις τίς ψυχές· χαῖρε ἐσύ πού ὡς βροντή κατατρομάζεις τούς ἐχθρούς. Χαῖρε, διότι ἀνατέλλεις τόν πολύφωτο φωτισμό· χαῖρε, διότι ἀναβλύζεις τόν ποταμό μέ τά πολλά νερά. Χαῖρε ἐσύ πού ζωγραφίζεις τόν τύπο τῆς κολυμβήθρας· χαῖρε ἐσύ πού ἀφαιρεῖς τήν ἀκαθαρσία τῆς ἁμαρτίας .

Χαῖρε, λουτὴρ ἐκπλύνων συνείδησιν, χαῖρε, κρατὴρ κιρνῶν ἀγαλλίασιν. Χαῖρε, ὀσμὴ τῆς Χριστοῦ εὐωδίας, χαῖρε, ζωὴ μυστικῆς εὐωχίας: Χαῖρε, Νύμφη ἀνύμφευτε. Χάριν δοῦναι θελήσας, ὀφλημάτων ἀρχαίων, ὁ πάντων χρεωλύτης ἀνθρώπων, ἐπεδήμησε δι' ἑαυτοῦ, πρὸς τοὺς ἀποδήμους τῆς αὐτοῦ χάριτος, καὶ σχίσας τὸ χειρόγραφον, ἀκούει παρὰ πάντων οὕτως: Ἀλληλούια. Ψάλλοντές σου τὸν τόκον, ἀνυνοῦμέν σε πάντες, ὡς ἔμψυχον ναόν, Θεοτόκε, ἐν τῇ σῇ γὰρ οἰκήσας γαστρί, ὁ συνέχων πάντα τῇ χειρὶ Κύριος, ἡγίασεν, ἐδόξασεν, ἐδίδαξε βοᾶν σοὶ πάντας. Χαῖρε, σκηνὴ τοῦ Θεοῦ καὶ Λόγου· χαῖρε, Ἁγία Ἁγίων μείζων. Χαῖρε, κιβωτὲ χρυσωθεῖσα τῷ Πνεύματι· χαῖρε, θησαυρὲ τῆς ζωῆς ἀδαπάνητε. Χαῖρε, τίμιον διάδημα, βασιλέων εὐσεβῶν· χαῖρε, καύχημα σεβάσμιον, Ἱερέων εὐλαβῶν. Χαῖρε τῆς Ἐκκλησίας ὁ ἀσάλευτος πύργος, χαῖρε, τῆς βασιλείας τὸ ἀπόρθητον τεῖχος. Χαῖρε, δι' ἧς ἐγείρονται τρόπαια· χαῖρε, δι' ἧς ἐχθροὶ καταπίπτουσι. Χαῖρε, χρωτὸς τοῦ ἐμοῦ θεραπεία, χαῖρε, ψυχῆς τῆς ἐμῆς σωτηρία. Χαῖρε, Νύμφη ἀνύμφευτε.			Χαῖρε, λουτρό, πού ξεπλύνει τή συνείδηση· χαῖρε, δοχεῖο πού πρσφέρει ἀγαλλίαση . Χαῖρε, ὀσμή τῆς εὐωδίας τοῦ Χριστοῦ· χαῖρε, ζωή μυστικῆς ἀπολαύσεως. Χαῖρε, Νύμφη ἀνύμφευτη. Θέλοντας νά δώσει χάρη στίς παλαιές ἁμαρτίες τῶν ἀνθρώπων, ὁ Θεός πού συγχωρεῖ ὅλους, ἦλθε ὁ ἴδιος κοντά στούς ἀνθρώπους, πού ἀπομακρύνθηκαν ἀπό τή χάρη του· καί ἀφοῦ ἔσχισε τό γραμμάτιο τῶν ἁμαρτιῶν τους, ἀκούει ἀπό ὅλους: Ἀλληλούια. Ψάλλοντας πρός τιμήν τοῦ τέκνου σου, σέ ἀνυμνοῦμε ὅλοι, ὡς ἔμψυχο ναό, Θεοτόκε· διότι ἀφοῦ κατοίκησε στή δική σου κοιλιά ὁ Κύριος, πού συγκρατεῖ μέ τό χέρι του τά σύμπαντα, σέ ἁγίασε, σέ δόξασε καί δίδαξε ὅλους, νά φωνάζουν σ' ἐσένα: Χαῖρε, σκηνή τοῦ Θεοῦ καί Λόγου· χαῖρε, Ἁγία ἀνώτερη ἀπό τούς Ἁγίους. Χαῖρε, κιβωτέ ἐπιχρυσωμένη μέ τό ἅγιο Πνεῦμα· χαῖρε, θησαυρέ τῆς ζωῆς ἀνεξάντλητε. Χαῖρε, πολύτιμο στέμμα βασιλέων εὐσεβῶν· χαῖρε καύχημα σεβάσμιο ἱερέων εὐλαβῶν. Χαῖρε, ὁ ἀσάλευτος πύργος τῆς Ἐκκλησίας· χαῖρε, τό ἀπόρθητο (πού δέν κυριεύεται) τεῖχος τῆς Βασιλείας. Χαῖρε ἐσύ, διά τῆς ὁποίας στήνονται τρόπαια (μνημεῖα νίκης)· χαῖρε, ἐσύ διά τῆς ὁποίας πέφτουν κάτω οἱ ἐχθροί. Χαῖρε ἐσύ πού εἶσαι ἡ θεραπεία τοῦ σώματός μου· χαῖρε ἐσύ πού εἶσαι ἡ σωτηρία τῆς ψυχῆς μου. Χαῖρε, Νύμφη ἀνύμφευτη.

Ὦ πανύμνητε Μῆτερ, ἡ τεκοῦσα τὸν πάντων Ἁγίων ἁγιώτατον Λόγον (γ'.)· δεξαμένη τὴν νῦν προσφοράν, ἀπὸ πάσης ῥύσαι συμφορᾶς ἅπαντας, καὶ τῆς μελλούσης λύτρωσαι κολάσεως τοὺς σοὶ βοῶντας: Ἀλληλούια. « Ἄγγελος πρωτοστάτης . (Α'. Οἶκος τοῦ Ἀκαθίστου. Σελίς 227). «Τῇ Ὑπερμάχῳ...». (Σελίς 227). Καί τά λοιπά τοῦ Μικροῦ Ἀποδείπνου. (Σελίς 212-217). ΠΑΡΑΣΚΕΥΗ Ε'. ΕΒΔΟΜΑΔΟΣ ΤΩΝ ΝΗΣΤΕΙΩΝ Μικρόν Ἀπόδειπνον. (Ἀρχή ἕως τό «Ἄξιόν ἐστι...». (Σελίδα 204-212-217). Τό προσταχθέν μυστικῶς λαβών ἐν γνώσει, ἐν τῇ σκηνῇ τοῦ Ἰωσήφ, σπουδῇ ἐπέστη, ὁ Ἀσώματος λέγων τῇ ἀπειρογάμῳ· ὁ κλίνας τῇ καταβάσει τούς οὐρανούς, χωρεῖται ἀναλλοιώτως ὅλος ἐν σοί. Ὅν καί βλέπων ἐν μήτρᾳ σου, λαβόντα δούλου μορφήν ἐξίσταμαι κραυγάζειν σοι· Χαῖρε Νύμφη ἀνύμφευτε, ΠΡΩΤΗ ΣΤΑΣΙΣ. ΟΙΚΟΙ: Α'. Ζ'. (Σελίς 227-230). Τῇ ὑπερμάχῳ...». (Σελίς 227). Κανών. Ὠιδαί Α'. καί Γ'. (Σελίς 219221).			Ὦ πανύμνητη Μητέρα, πού γέννησες τό Λόγο τοῦ Θεοῦ, τόν πιό Ἅγιο ἀπό ὅλους τούς ἁγίους (γ'.). Δέξου αὐτή τήν προσφορά, καί ἀπάλλαξέ μας ὅλους ἀπό κάθε συμφορά· Καί λύτρωσε ἀπό τήν μελλοντική κόλαση, αὐτούς πού φωνάζουν σ' ἐσένα: Ἀλληλούια. «Ἄγγελος πρωτοστάτης...». Ὁ Α'. Οἶκος τοῦ Ἀκαθίστου. Σελίδα 227). «Τῇ Ὑπερμάχῳ...». (Σελίδα 227). Καί τά λοιπά τοῦ Μικροῦ Ἀποδείπνου. (Σελίδα 212-217). ΠΑΡΑΣΚΕΥΗ Ε'. ΕΒΔΟΜΑΔΟΣ ΤΩΝ ΝΗΣΤΕΙΩΝ Μικρό Ἀπόδειπνο. (Ἀρχή ἕως τό «Ἄξιόν ἐστι...». (Σελίδα 204-212-217). Ἀφοῦ ἔμαθε κατά τρόπο μυστηριώδη τό πρόσταγμα τοῦ Θεοῦ, ὁ Ἀσώματος (ὁ Γαβριήλ), παρουσιάσθηκε βιαστικά στήν κατοικία τοῦ Ἰωσήφ λέγοντας σ' ἐκείνην πού δέν εἶχε πεῖρα γάμου· αὐτός πού μέ τήν κάθοδό του ἔκλινε τούς οὐρανούς (τούς ἔκανε νά σκύψουν), χωρεῖ μέσα σου ὁλόκληρος, χωρίς νά ἀλλοιωθεῖ. Αὐτόν καί βλέποντας νά παίρνει στή μήτρα σου δούλου μορφή, ἀπορῶ καί σοῦ φωνάζω· χαῖρε, Νύμφη ἀνύμφευτη. ΠΡΩΤΗ ΣΤΑΣΗ. ΟΙΚΟΙ: Α'. Ζ'. (Σελίδα 227-230). «Τῇ ὑπερμάχῳ...». (Σελίδα 227). Κανόνας. Ὠιδές Α'. καί Γ'. (Σελίδα 229-221).

ΔΕΥΤΕΡΑ ΣΤΑΣΙΣ. ΟΙΚΟΙ: Η΄.Μ΄. (Σελίς 230-233). «Τῇ Ὑπερμάχῳ...». (Σελίς 227). Κανών. Ὠιδαί Δ΄. Ε΄. καί ΣΤ΄. (Σελίς 221-223). ΤΡΙΤΗ ΣΤΑΣΙΣ. (ΟΙΚΟΙ: Ν΄. Σ΄. (Σελίς 233-236). «Τῇ Ὑπερμάχῳ...». (Σελίς 227). Κανών. Ὠιδαί Ζ΄. Η΄. καί Θ΄. (Σελίς 224-227). ΤΕΤΑΡΤΗ ΣΤΑΣΙΣ. ΟΙΚΟΙ: Τ΄. –Ω΄. καί Α΄. (Σελίς 236239). «Τῇ Ὑπερμάχῳ...». (Σελίς 227). (Καί τά λοιπά τοῦ Μικροῦ Ἀποδείπνου). (Σελίς 212-217). Τροπάριον. Τήν ὡραιότητα τῆς παρθενίας σου, καί τό ὑπέρλαμπρον τό τῆς ἁγνείας σου, ὁ Γαβριήλ καταπλαγείς ἐβόα σοι, Θεοτόκε· ποῖόν σοι ἐγκώμιον προσαγάγω ἐπάξιον, τί δέ ὀνομάσω σε, ἀπορῶ καί ἐξίσταμαι. Διό ὡς προσετάγην βοῶ σοι· χαῖρε, ἡ Κεχαριτωμένη. Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν. ΜΙΚΡΟΣ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ Ὁ Ἱερεὺς: Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε,			ΔΕΥΤΕΡΑ ΣΤΑΣΗ. ΟΙΚΟΙ: Η΄. –Μ΄. (Σελίδα 230-233). «Τῇ Ὑπερμάχῳ...». (Σελίδα 227). Κανόνας. Ὠιδές Δ΄. Ε΄. καί ΣΤ΄.(Σελίδα 221-223). ΤΡΙΤΗ ΣΤΑΣΗ. (ΟΙΚΟΙ: Ν΄. Σ΄. (Σελίδα 233-236). «Τῇ Ὑπερμάχῳ...». (Σελίδα 227). Κανόνας. Ὠιδές Ζ΄. Η΄. καί Θ΄. (Σελίδα 224-227). ΤΕΤΑΡΤΗ ΣΤΑΣΗ. ΟΙΚΟΙ: Τ΄. –Ω΄. καί Α΄. (Σελίδα. 236239). «Τῇ Ὑπερμάχῳ...». (Σελίδα 227). (Καί τά λοιπά τοῦ Μικροῦ Ἀποδείπνου). (Σελίδα 212-217). Τροπάριο. Ἐκπληκτος ἀπό τήν ὡραιότητα τῆς παρθενίας σου καί τήν ὑπερβολική λάμψη τῆς ἁγνότητάς σου ὁ Γαβριήλ φώναζε δυνατά σ' ἐσένα, Θεοτόκε· Ποιό ἐγκώμιο νά σοῦ προσφέρω ἀντάξιο, καί τί νά σέ ὀνομάσω, ἀπορῶ καί μένω ἐκστατικός. Γι' αὐτό, ὅπως προστάχθηκα, φωνάζω δυνατά σ' ἐσένα· χαῖρε ἡ Κεχαριτωμένη (αὐτή πού ἔχει ὅλες τίς χάρες). Μέ τίς εὐχές τῶν Ἁγίων Πατέρων μας, Κύριε Ἰησοῦ Χριστέ Θεέ μας, ἐλέησε καί σῶσε μας. Ἀμήν. ΜΙΚΡΗ ΠΑΡΑΚΛΗΣΗ Ὁ Ἱερεύς. Ἂς εἶναι δοξασμένος ὁ Θεός μας πάντοτε, τώ-

νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ψαλμὸς ΡΜΒ'. (142). Κύριε εἰσάκουσον τῆς προσευχῆς μου ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου. Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου· Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου ὅτι ἐπὶ σοὶ ἤλπισα· Γνώρισόν μοι Κύριε ὁδὸν ἐν ᾗ πορεύσομαι ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.			ρα καί πάντα καί στούς αἰῶνες τῶν αἰώνων. Ψ. Ἀμήν. (Εἴθε, μακάρι νά γίνει). ΨΑΛΜΟΣ ΡΜΒ'. (142). Κύριε, εἰσάκουσε τήν προσευχή μου, δέξου στ' αὐτιά σου τήν δέησή μου στό ὄνομα τῆς ἀξιοπιστίας σου, εἰσάκουσέ με ἐν ὀνόματι τῆς δικαιοσύνης σου. Μή θελήσεις ὅμως, νά προχωρήσεις σέ αὐστηρή κρίση γιά μένα τό δοῦλο σου, διότι εἶναι ἀδύνατο νά δικαιωθεῖ ἐμπρός σου κάθε ζωντανός. (Ἄκουσέ με), διότι ὁ ἐχθρός καταδίωξε τήν ψυχή μου, ἐξευτέλισε μέχρι τό χῶμα τή ζωή μου. Μέ ὁδήγησε μέχρι τόν σκοτεινό ᾅδη, ὅπου βρίσκονται ἀπό αἰῶνες οἱ νεκροί, ἔπεσε σέ κατάθλιψη τό πνεῦμα μου, μέσα μου εἶναι ταραγμένη διαρκῶς ἡ καρδιά μου. (Σ' αὐτή τήν κατάσταση) θυμήθηκα ἡμέρες παλιές, βύθισα τή σκέψη μου σέ ὅλα τά ἔργα σου. Μελέτησα προσεκτικά τά ἔργα τῶν χεριῶν σου. Ὕψωσα ἱκετευτικά τά χέρια μου πρός ἐσένα· ἡ ψυχή μου μπροστά σου μοιάζει μέ κατάξερη γῆ πού διψᾷ. Εἰσάκουσε με, Κύριε, τό γρηγορώτερο, γιατί χάνεται τό πνεῦμα μου. Μή γυρίσεις μέ ἀποστροφή τό πρόσωπό σου ἀπό μένα, καί ὁμοιωθῶ μέ τούς νεκρούς, πού κατεβαίνουν ὁριστικά στόν τάφο. Φρόντισε, Κύριε, νά ἀκούσω καί νά αἰσθανθῶ γρήγορα (τό πρωΐ) τό ἔλεός σου, διότι σ' ἐσένα στηρίζω τήν ἐλπίδα μου. Κάνε νά γνωρίσω, Κύριε, τό δρόμο πού πρέπει νά πορευθῶ, διότι σ' ἐσένα ὕψωσα τήν ψυχή μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου Κύριε πρὸς σὲ κατέφυγον. Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου ὅτι σὺ εἶ ὁ Θεός μου· Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ, ἕνεκεν τοῦ ὀνόματός σου Κύριε ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου· Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου ὅτι ἐγὼ δοῦλός σού εἰμι. Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Στίχ, α'. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ. Στίχ, β'. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς. Στίχ, γ'. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. Τροπάρια. Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν, ἁμαρτωλοὶ καὶ ταπεινοί, καὶ προσπέσωμεν ἐν μετανοίᾳ, κράζοντες ἐκ βάθους ψυχῆς· Δέσποινα, βοήθησον ἐφ' ἡμῖν σπλαγχνισθεῖσα, σπεῦσον, ἀπολλύμεθα ὑπὸ πλήθους πταισμάτων, μὴ ἀποστρέψῃς σοὺς δούλους κενούς· σὲ γὰρ καὶ μόνην ἐλπίδα κεκτήμεθα.			Βγάλε με ἀπό τά χέρια τῶν ἐχθρῶν μου, Κύριε, διότι σ' ἐσένα καταφεύγω· Δίδαξέ με, νά ἐφαρμόζω τό θέλημά σου, διότι Ἐσύ εἶσαι ὁ Θεός μου. Τό Πνεῦμα σου τό ἀγαθό ἄς μέ ὁδηγεῖ στόν ἴσιο δρόμο, γιά χάρη τοῦ ὀνόματός σου, Κύριε, (πού σημαίνει ἔλεος καί ἀγάπη), θά παρατείνεις τή ζωή μου. Μέ τή δικαιοσύνη σου θά βγάλεις τήν ψυχή μου ἀπό τή βαριά θλίψη, καί μέ τό ἔλεός σου θά ἐξολοθρεύσεις τούς ἐχθρούς μου. Καί θά καταστρέψεις ὅλους, ὅσοι θλίβουν τήν ψυχή μου, διότι ἐγώ εἶμαι δοῦλος σου. Ὁ Θεός καί Κύριος ἔλαμψε σ' ἐμᾶς μέ τήν ἀποκάλυψή του. Ἄς Εἶναι δοξασμένος αὐτός πού ἔρχεται (γιά νά μᾶς σώσει) σταλμένος ἀπό τόν Κύριο. Στίχ. α'. Δοξολογεῖτε μέ εὐχαριστίες τόν Κύριο, καί καλεῖτε σέ βοήθεια τό ἅγιο ὄνομά του. Στίχ. β'.Ὅλα τά γύρω ἔθνη μέ περικύκλωσαν, καί μέ τή δύναμη τοῦ ὀνόματος τοῦ Κυρίου τά ἀντιμετώπισα. Στίχ. γ'.Ἐκ μέρους τοῦ Κυρίου κατορθώθηκε αὐτή ἡ σωτηρία μας, καί εἶναι ἀξιοθαύμαστη στά μάτια μας. Τροπάρια. Ἄς πλησιάσουμε τρέχοντας μέ ἐπιμονή στή Θεοτόκο, ἁμαρτωλοί καί ταπεινοί, καί ἄς πέσουμε μπροστά της μέ μετάνοια κράζοντας ἀπό τά βάθη τῆς ψυχῆς: Κυρία, βοήθησέ μας δείχνοντάς μας εὐσπλαχνία· τρέξε, γιατί χανόμαστε ἀπό τό πλῆθος τῶν πταισμάτων· μή μᾶς γυρίσεις πίσω ἐμᾶς τούς δούλους σου ἄδειους· Διότι ἐσένα καί μόνη ἔχουμε ἐλπίδα.

Δόξα... Καὶ νῦν... Οὐ σιωπήσωμέν ποτε, Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τὶς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; Τὶς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν. Ψαλμὸς Ν'. (50). Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἐλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντὸς. Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου· Ἰψδού γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ραντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι, πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην,			Δόξα... Καί νῦν... Δέν θά σωπάσουμε ποτέ, Θεοτόκε, νά διακηρύττουμε τή δύναμή σου ἐμεῖς οἱ ἀνάξιοι· διότι ἄν ἐσύ δέν πρωτοστατοῦσες ἱκετεύοντας, ποιός θά μᾶς γλύτωνε ἀπό τόσο μεγάλους κινδύνους; Ποιός θά μᾶς εἶχε διαφυλάξει ἕως τώρα ἐλευθέρους; Δέν θά ἀπομακρυνθοῦμε, Κυρία, ἀπό σένα· Διότι σώζεις πάντα τούς δούλους σου ἀπό κάθε εἴδους δεινά (θλίψεις). ΨΑΛΜΟΣ. Ν'. (50). Ἐλέησέ με, Θεέ μου, σύμφωνα μέ τό μέγα ἔλεός σου, καί σύμφωνα μέ τό πλῆθος τῆς εὐσπλαχνίας σου σβῆσε ἐντελῶς τήν παρανομία μου. Πλύνε με πάλι καί πάλι ἀπό τήν ἀνομία μου, καί ἀπό τήν ἀκαθαρσία τῆς ἁμαρτίας μου καθάρισέ με. (Ζητῶ τό ἔλεός σου), διότι ἐγώ ἀναγνωρίζω τήν ἀνομία μου καί ἡ ἁμαρτία μου ὀρθώνεται μπροστά μου γιά πάντα. Σ' ἐσένα ἀποκλειστικά ἁμάρτησα, καί ἔπραξα τό πονηρό μπροστά σου· (Τά ὁμολογῶ αὐτά), γιά νά φανεῖς, πόσο δίκαιος εἶσαι στίς καταδικαστικές ἀποφάσεις σου, καί νά ἀναδειχθεῖς νικητής, ὅταν κακόβουλα σέ ἐπικρίνουν. (Ἐλέησέ με), διότι μέσα σέ ἀνομίες ἔγινε ἡ σύλληψή μου, καί μέσα σέ ἁμαρτίες μέ κυοφόρησε στά σπλάχνα της ἡ μητέρα μου. Ἐσύ ἀγαπᾷς τήν ἀλήθεια. Φανέρωσέ μου τά ἄγνωστα καί κρυμμένα μυστήρια τῆς σοφίας σου, (γιά νά φυλαχθῶ). Θά μέ ραντίσεις μέ ὕσσωπο (ποῶδες φυτό ὅ[πως ὁ βασιλικός) καί θά καθαρισθῶ· θά μέ πλύνεις καί θά λευκανθῶ πιό πολύ ἀπό τό χιόνι. Θά μέ κάνεις νά ἀκούσω λόγια πού προξενοῦν

ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ὅτι εἰ ἠθέλησας θυσίαν ἔδωκα ἂν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Αγάθυνον Κύριε ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου			ἀγαλλίαση καί εὐφροσύνη· θά αἰσθανθοῦν ἀγαλλίαση τά ταπεινωμένα ὀστά μου. Ἀπόστρεψε (γύρισε) τό πρόσωπό σου ἀπό τίς ἁμαρτίες μου, καί σβῆσε ἐντελῶς ὅλες τίς ἀνομίες μου. Καρδιά καθαρή κτίσε μέσα μου, Θεέ μου, καί ἐγκαινίασε στά κατάβαθά μου πνεῦμα μέ ὀρθό φρόνημα. Μή μέ ἀπορρίψεις ἀπό τό πρόσωπό σου, καί μήν ἀφαιρέσεις ἀπό μένα τό Πνεῦμα σου τό Ἅγιο. Δῶσε μου τήν ἀγαλλίαση γιά τή σωτηρία, πού προέρχεται ἀπό σένα, καί στήριξέ με μέ πνεῦμα αὐτοκυριαρχίας . Ἔτσι θά διδάξω τό νόμο σου σέ πολλούς παρανόμους, ὥστε νά ἐπιστρέψουν σ' ἐσένα πολλοί ἀσεβεῖς. Ἀπάλλαξέ με, Θεέ μου, Θεέ Σωτήρα μου, ἀπό τήν ἐνοχή τῶν αἱμάτων, (πού χύθηκαν ἐξ αἰτίας μου)· τότε ἡ γλῶσσα μου θά διαλαλεῖ μέ ἀγαλλίαση τήν ἀγαθή δικαιοσύνη σου. Κύριε, θά ἀνοίξεις τά χείλη μου, καί τό στόμα μου θά διαλαλεῖ τόν ὕμνο σου. Διότι, ἄν ἤθελες θυσία, εὐχαρίστως θά τήν πρόσφερα. Ἐσύ ὅμως δέν μένεις εὐχαριστημένος μέ ὁλοκαυτώματα (θυσία πού καίεται ὅλο τό ζῶο). Θυσία εὐάρεστη στόν Θεό εἶναι ἡ ψυχή ἡ συντετριμμένη· καρδιά συντετριμμένη καί ταπεινωμένη ὁ Θεός δέ θά τήν περιφρονήσει. Δεῖξε, Κύριε, ἀγαθοσύνη στή Σιών μέ τή χάρη σου, καί ἄς ξαναχτισθοῦν τά τείχη τῆς Ἱερουσαλήμ. Τότε θά δεχθεῖς θυσία σύμφωνη μέ τό Νόμο σου, εὐχαριστήρια θυσία καί ὁλοκαυτώματα. Τότε θά μποροῦν νά ἀνεβάσουν ἐπάνω στό βωμό σου

μόσχους. Ὠιδή Α'. Εἱρμός. Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν, καὶ τὴν αἰγυπτίαν μοχθηρίαν διαφυγών ὁ Ἰσραηλίτης ἀνεβόα· τῷ Λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν. Τροπάρια. Πολλοῖς συνεχόμενος πειρασμοῖς, πρὸς σὲ καταφεύγω, σωτηρίαν ἐπιζητῶν· ὦ Μῆτερ τοῦ Λόγου καὶ Παρθένε, τῶν δυσχερῶν καὶ δεινῶν με διάσωσον. Παθῶν με ταράττουσι προσβολαί, πολλῆς ἀθυμίας, ἐμπιπλῶσαί μου τὴν ψυχήν, εἰρήνευσον, Κόρη, τῇ γαλήνῃ, τῇ τοῦ Υἱοῦ καὶ Θεοῦ σου, Πανάμωμε. Σωτῆρα τεκοῦσάν σε καὶ Θεόν, δυσωπῶ, Παρθένε, λυτρωθῆναί με τῶν δεινῶν· σοὶ γὰρ νῦν προσφεύγων ἀνατείνω, καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν. Νοσοῦντα τὸ σῶμα καὶ τὴν ψυχήν, ἐπισκοπῆς θείας, καὶ προνοίας τῆς παρὰ σοῦ, ἀξίωσον, μόνη Θεομῆτορ, ὡς ἀγαθὴ ἀγαθοῦ τε λοχεύτρια. Ὠιδὴ Γ'. Ὁ Εἱρμὸς. Οὐρανίας ἁψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δομῆτορ, σύ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε φιλάνθρωπε. Προστασίαν καὶ σκέπην, ζωῆς ἐμῆς τίθημι, Σέ,			νεαρούς ταύρους. Ὠιδή Α'. Εἱρμός. Ἀφοῦ πέρασε τήν ὑγρή θάλασσα ὡς ξηρά, καί διέφυγε τή σκληρότητα τῶν Αἰγυπτίων, ὁ Ἰσραηλιτικός λαός φώναζε· ἄς ψάλλουμε στό Λυτρωτή καί Θεό μας. Τροπάρια. Ἐπειδή πιέζομαι ἀπό πολλούς πειρασμούς, σ' ἐσένα καταφεύγω ἀναζητώντας σωτηρία· Ὦ Μητέρα τοῦ Λόγου τοῦ Θεοῦ καί Παρθένε, σῶσε με ἀπό τίς δυσκολίες καί τίς συμφορές. Μέ ταράζουν ἐπιθέσεις τῶν παθῶν καί μοῦ γεμίζουν τήν ψυχή θλίψη· Εἰρήνευσέ με, Κόρη, μέ τή γαλήνη τοῦ Υἱοῦ καί Θεοῦ σου, Πάναγνη. Ἐπειδή γέννησες Σωτήρα καί Θεό, σέ παρακαλῶ, Παρθένε, νά λυτρωθῶ ἀπό τά δεινά (τίς συμφορές)· διότι σ' ἐσένα καταφεύγοντας τώρα ὑψώνω καί τήν ψυχή καί τή διάνοια (τό νοῦ) μου. Ἐπειδή ἀσθενῶ σωματικά καί ψυχικά, ἀξίωσέ με, νά ἐπιτύχω θεϊκή ἐπίσκεψη καί φροντίδα ἐκ μέρους σου, μόνη Μητέρα τοῦ Θεοῦ, ὡς ἀγαθή πού εἶσαι, καί ἔγινες λεχώνα (Μητέρα) τοῦ ἀγαθοῦ Θεανθρώπου. Ὠιδή Γ'. Ὁ Εἱρμός. Κύριε, Ἐσύ πού δημιούργησες τήν ὀροφή τῆς οὐράνιας ἁψίδας (τόν οὐρανό) καί οἰκοδόμησες τήν Ἐκκλησία, ἐσύ στερέωσέ με στή δική σου ἀγάπη, ἐσύ πού εἶσαι τό ἀποκορύφωμα τῶν ἐπιθυμητῶν πραγμάτων, τό στήριγμα τῶν πιστῶν, μόνε φιλάνθρωπε. Σέ ἔχω προστασία καί σκέπη τῆς ζωῆς μου, ἐσένα Παρ-

Θεογεννῆτορ, Παρθένε, σύ με κυβέρνησον, πρὸς τὸν λιμένα σου, τῶν ἀγαθῶν ἡ αἰτία, τῶν πιστῶν τὸ στήριγμα, μόνη πανύμνητε. Ἱκετεύω, Παρθένε, τὸν ψυχικὸν τάραχον, καὶ τῆς ἀθυμίας τὴν ζάλην, διασκεδάσαι μου· σὺ γάρ, Θεόνυμφε, τὸν ἀρχηγὸν τῆς γαλήνης, τὸν Χριστὸν ἐκύησας, μόνη πανάχραντε. Εὐεργέτην τεκοῦσα, τὸν τῶν καλῶν αἴτιον, τῆς εὐεργεσίας τὸν πλοῦτον, πᾶσιν ἀνάβλυσον· πάντα γὰρ δύνασαι, ὡς δυνατὸν ἐν ἰσχύϊ, τὸν Χριστὸν κυήσασα, Θεομακάριστε. Χαλεπαῖς ἀρρωστίαις, καὶ νοσεροῖς πάθεσιν, ἐξεταζομένῳ, Παρθένε, σύ μοι βοήθησον· τῶν ἰαμάτων γάρ, ἀνελλιπῆ σε γινώσκω, θησαυρόν, Πανάμωμε, τὸν ἀδαπάνητον. Διάσωσον, ἀπὸ κινδύνων, τοὺς δούλους σου, Θεοτόκε, ὅτι πάντες μετὰ Θεόν, εἰς σὲ καταφεύγομεν, ὡς ἄρρηκτον τεῖχος καὶ προστασίαν. Ἐπίβλεψον, ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος. Ὁ Ἱερεύς. Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἐλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον. Κύριε ἐλέησον (τρίς). Ἔτι δεόμεθα ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (….) καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος. Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης,			θένε, πού γέννησες τόν Θεό· ἐσύ κυβέρνησέ με πρός τό δικό σου λιμάνι, ἐσύ ἡ αἰτία τῶν ἀγαθῶν, τῶν πιστῶν τό στήριγμα, μόνη πανύμνητη. Σέ ἱεκετεύω, Παρθένε, νά διασκορπίσεις τήν ψυχική μου ταραχή καί τή ζάλη τῆς θλίψης μου· διότι ἐσύ, Νύμφη τοῦ Θεοῦ, μόνη πάναγνη, γέννησες τόν ἀρχηγό τῆς γαλήνης, τό Χριστό. Ἐπειδή γέννησες τόν εὐεργέτη, τόν αἴτιο τῶν καλῶν, κάνε νά ἀναβλύσει ὁ πλοῦτος τῆς εὐεργεσίας σέ ὅλους· διότι ὅλα τά μπορεῖς, ἐπειδή γέννησες τόν δυνατό στήν ἰσχύ, τό Χριστό, Θεομακάριστη. Ἐπειδή βασανίζομαι ἀπό δύσκολες ἀρρώστειες καί νοσηρά πάθη, Παρθένε, ἐσύ βοήθησέ με· διότι σέ ἀναγνωρίζω, ὡς θησαυρό, πού δέν τοῦ λείπει τίποτε, Πάναγνη, καί ὁ ὁποῖος παραμένει ἀδαπάνητος (ἀξόδευτος). Σῶσε ἀπό κινδύνους ἐμᾶς τούς δούλους σου, Θεοτόκε, διότι ὅλοι μετά τόν Θεό σ' ἐσένα καταφεύγουμε, ὡς ἄθραυστο τεῖχος καί προστασία. Ρίξε στοργικό τό βλέμμα σου πανύμνητη Παναγία, ἐπάνω στό κακοποιημένο (ἄρρωστό) μου σῶμα καί θεράπευσε τόν πόνο τῆς ψυχῆς μου. Ὁ Ἱερέας. Ἐλέησέ μας, ὦ Θεέ, σύμφωνα μέ τό μέγα ἔλεός σου, σέ παρακαλοῦμε, ἄκουσέ μας καί ἐλέησέ μας. Κύριε ἐλέησον (τρίς). Ἀκόμη παρακαλοῦμε γιά τόν Ἀρχιεπίσκοπό μας (.....) καί ὅλη τη χριστιανική μας ἀδελφότητα. Ἀκόμη παρακαλοῦμε γιά ἔλεος, ζωή, εἰρήνη, ὑγεία, σω-

ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κα τοικούντων καὶ παρεπιδημούντων ἐν τῇ (κώμῃ, πόλει) ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδορομητῶν καὶ ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου. Ἔτι δεόμεθα ὑπέρ τῶν δούλων τοῦ Θεοῦ, (Μνημονεύνται ὀνόματα). Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Κάθισμα. Πρεσβεία θερμή, καὶ τεῖχος ἀπροσμάχητον, ἐλέους πηγή, τοῦ κόσμου καταφύγιον, ἐκτενῶς βοῶμέν σοι· Θεοτόκε Δέσποινα, πρόφθασον, καὶ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, ἡ μόνη ταχέως προστατεύουσα. Ὠιδὴ Δ'. Εἰσακήκοα, Κύριε, τῆς οἰκονομίας σου τὸ μυστήριον, κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασά σου τὴν Θεότητα. Τῶν παθῶν μου τὸν τάραχον, ἡ τὸν κυβερνήτην τεκοῦσα Κύριον, καὶ τὸν κλύδωνα κατεύνασον, τῶν ἐμῶν πταισμάτων, Θεονύμφευτε. Εὐσπλαγχνίας τὴν ἄβυσσον, ἐπικαλουμένῳ τῆς σῆς παράσχου μοι, ἡ τὸν εὔσπλαγχνον κυήσα σα, καὶ Σωτῆρα πάντων, τῶν ὑμνούντων σε.			τηρία, προστασία, συγχώρηση καί ἄφεση (ἐλευθερία) τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, ὅλων τῶν εὐσεβῶν καί ὀρθοδόξων χριστιανῶν, οἱ ὁποῖοι κατοικοῦν μόνιμα καί προσωρινά στήν πόλη αὐτή. (Παρακαλοῦμε) γιά τούς ἐνορίτες, τούς ἐπιτρόπους, τούς συνδρομητές καί δωρητές τοῦ ἁγίου αὐτοῦ ναοῦ. Ἀκόμη παρακαλοῦμε γιά τούς δούλους τοῦ Θεοῦ, (Μνημονεύονται ὀνόματα). Διότι εἶσαι ἐλεήμων καί φιλάνθρωπος Θεός, καί γι' αὐτό σ' ἐσένα ἀναπέμπουμε (προσφέρουμε ταπεινά) τή δόξα, στόν Πατέρα καί στόν Υἱό καί στό Ἅγιο Πνεῦμα, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν. Κάθισμα. Ἐσύ ἡ θερμή πρεσβεία καί τό ἀκατανίκητο τεῖχος, ἡ πηγή τοῦ ἐλέους καί τό καταφύγιο τοῦ κόσμου, σ' ἐσένα φωνάζουμε δυνατά, Θεοτόκε Κυρία: Πρόφθασε καί λύτρωσέ μας ἀπό κινδύνους, ἐσύ ἡ μόνη πού μᾶς προστατεύεις ταχύτατα. Ὠιδή Δ'. Ἄκουσα, Κύριε, γιά τό μυστήριο τῆς οἰκονομίας (τῆς εὐσπλαχνίας) σου, κατανόησα τά ἔργα σου καί δόξασα τή Θεότητά σου. Ἐσύ πού γέννησες τόν Κύριο, τόν Κυβερνήτη, καταπράυνε τήν ταραχή καί τήν τρικυμία τῶν πταισμάτων μου, Νύμφη τοῦ Θεοῦ. Τήν ἄβυσσο τῆς εὐσπλαχνίας σου δῶσε σ' ἐμένα, πού σέ ἐπικαλοῦμαι, ἐσύ πού κυοφόρησες τόν εὔσπλαχνο καί Σωτήρα ὅλων, ὅσοι σέ ὑμνοῦν.

Ἀπολαύοντες, Πάναγνε, τῶν σῶν δωρημάτων εὐχαριστήριον, ἀναμέλπομεν ἐφύμνιον οἱ γινώσκοντές σε Θεομήτορα. Οἱ ἐλπίδα καὶ στήριγμα, καὶ τῆς σωτηρίας τεῖχος ἀκράδαντον, κεκτημένοι σε, Πανύμνητε, δυσχερείας πάσης, ἐκλυτρούμεθα. Ὠιδὴ Ε'. Φώτισον ἡμᾶς, τοῖς προστάγμασί σου, Κύριε, καὶ τῷ βραχίονί σου τῷ ὑψηλῷ, τὴν σὴν εἰρήνην, παράσχου ἡμῖν, φιλάνθρωπε. Ἔμπλησον, Ἁγνή, εὐφροσύνης τὴν καρδίαν μου, τὴν σὴν ἀκήρατον διδοῦσα χαράν, τῆς εὐφροσύνης, ἡ γεννήσασα τὸν αἴτιον. Λύτρωσαι ἡμᾶς, ἐκ κινδύνων, Θεοτόκε Ἁγνή, ἡ αἰωνίαν τεκοῦσα λύτρωσιν, καὶ τὴν εἰρήνην, τὴν πάντα νοῦν ὑπερέχουσαν. Λῦσον τὴν ἀχλύν, τῶν πταισμάτων μου, Θεόνυμφε, τῷ φωτισμῷ τῆς σῆς λαμπρότητος, ἡ φῶς τεκοῦσα, τὸ θεῖον καὶ προαιώνιον. Ἴασαι, Ἁγνή, τῶν παθῶν μου τὴν ἀσθένειαν, ἐπισκοπῆς σου ἀξιώσασα, καὶ τὴν ὑγείαν, τῇ πρεσβείᾳ σου παράσχου μοι. Ὠιδὴ ΣΤ'. Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον, καὶ αὐτῷ ἀπαγγελῶ μου τὰς θλίψεις, ὅτι κακῶν ἡ ψυχή μου ἐπλήσθη, καὶ ἡ ζωή μου τῷ Ἅιδῃ προσήγγισε, καὶ δέομαι ὡς Ἰωνᾶς· Ἐκ φθορᾶς, ὁ Θεὸς με ἀνάγαγε. Θανάτου καὶ τῆς φθορᾶς ὡς ἔσωσεν, ἑαυτὸν ἐκδεδωκὼς τῷ θανάτῳ, τὴν τῇ φθορᾷ καὶ θανάτῳ			Ἀπολαμβάνοντας, Πάναγνη τά δῶρα σου σοῦ ψάλλουμε ὕμνο, ἐμεῖς πού σέ ἀναγνωρίζουμε ὡς Μητέρα του Θεοῦ. Ἐμεῖς πού σέ κατέχουμε ὡς ἐλπίδα καί στήριγμα καί ἀκλόνητο τεῖχος τῆς σωτηρίας, λυτρωνόμαστε ἀπό κάθε δυσκολία. Ὠιδή Ε'. Φώτισέ μας μέ τά προστάγματά σου, Κύριε, καί μέ τό χέρι σου τό ἔνδοξο δῶσε μας τήν εἰρήνη, Φιλάνθρωπε. Γέμισε, Ἁγνή, μέ εὐφροσύνη τήν καρδιά μου δίνοντάς μου τή δική σου ὁλοκάθαρη χαρά, ἐσύ πού γέννησες τόν αἴτιο τῆς εὐφροσύνης. Λύτρωσέ μας ἀπό κινδύνους, Θεοτόκε ἁγνή, ἐσύ πού γέννησες τήν αἰώνια λύτρωση καί τήν εἰρήνη, πού εἶναι ἀνώτερη ἀπό κάθε διάνοια. Διάλυσε τήν καταχνιά τῶν σφαλμάτων μου, Νύμφη τοῦ Θεοῦ, μέ τό φωτισμό τῆς δικῆς σου λαμπρότητας, ἐσύ πού γέννησες τό θεϊκό καί προαιώνιο φῶς. Θεράπευσε, Ἁγνή τήν ἀσθένεια τῶν παθῶν μου, κάνοντάς με ἄξιο, νά μέ ἐπισκεφθεῖς, καί δῶσε μου τήν ὑγεία μέ τήν πρεσβεία σου. Ὠιδή ΣΤ'. Θά ξεχύσω τή δέησή μου πρός τόν Κύριο, καί σ' αὐτόν θά ἀναφέρω τίς θλίψεις μου· διότι ἡ ψυχή μου γέμισε ἀπό δεινά, καί ἡ ζωή μου πλησίασε στόν ᾅδη· καί παρακαλῶ, ὅπως ὁ Ἰωνᾶς· βγάλε με ἀπό τή φθορά, Θεέ μου. Ὅπως ἔσωσε ἀπό τό θάνατο καί τή φθορά τή φύση μου, Παρθένε, δίνοντας τόν ἑαυτό του στό θάνατο, ἡ ὁποία φύση

μου φύσιν, κατασχεθεῖσαν, Παρθένε, δυσώπησον, τὸν Κύριόν σου καὶ Υἱόν, τῆς ἐχθρῶν κακουργίας με ῥύσασθαι. Προστάτιν σε τῆς ζωῆς ἐπίσταμαι, καὶ φρουρὰν ἀσφαλεστάτην, Παρθένε, τῶν πειρασμῶν διαλύουσαν ὄχλον, καὶ ἐπηρείας δαιμόνων ἐλαύνουσαν, καὶ δέομαι διαπαντός, ἐκ φθορᾶς τῶν παθῶν μου ῥυσθῆναί με. Ὡς τεῖχος καταφυγῆς κεκτήμεθα, καὶ ψυχῶν σε παντελῆ σωτηρίαν, καὶ πλατυσμὸν ἐν ταῖς θλίψεσι, Κόρη, καὶ τῷ φωτί σου ἀεὶ ἀγαλλόμεθα· Ὦ Δέσποινα, καὶ νῦν ἡμᾶς, τῶν παθῶν καὶ κινδύνων διάσωσον. Ἐν κλίνῃ νῦν ἀσθενῶν κατάκειμαι, καὶ οὐκ ἔστιν ἴασις τῇ σαρκί μου, ἀλλ' ἡ Θεὸν καὶ Σωτῆρα τοῦ κόσμου, καὶ τὸν λυτῆρα τῶν νόσων κυήσασα, σοῦ δέομαι τῆς ἀγαθῆς, ἐκ φθορᾶς νοσημάτων ἀνάστησον. Διάσωσον, ἀπὸ κινδύνων, τοὺς δούλους σου, Θεοτόκε, ὅτι πάντες μετὰ Θεόν, εἰς σὲ καταφεύγομεν, ὡς ἄρρηκτον τεῖχος καὶ προστασίαν. Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον, ὡς ἔχουσα μητρικὴν παρρησίαν. Ὁ Ἱερεύς μνημονεύει, (ὀνόματα). Κοντάκιον. Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε,			μου κατακυριεύθηκε ἀπό τή φθορά καί τό θανατο, ἱκέτευσε τόν Κύριό σου καί Υἱό, νά μέ λυτρώσει ἀπό τήν κακουργία τῶν ἐχθρῶν. Σέ ἀναγνωρίζω προστάτη τῆς ζωῆς καί ἀσφαλέστατη φρουρά, Παρθένε, πού διαλύεις τό πλῆθος τῶν πειρασμῶν, καί μᾶς ἀπομακρύνεις ἀπό τήν ἐπίδραση τῶν δαιμόνων· καί παρακαλῶ παντοτεινά, νά λυτρωθῶ ἀπό τή φθορά τῶν παθῶν μου. Σέ ἔχουμε ὡς τεῖχος, ὅπου καταφεύγουμε, καί ὡς τέλεια σωτηρία τῶν ψυχῶν μας, καί ὡς ἀνακούφιση ἀπό τίς θλίψεις, Κόρη, καί μέ τό φῶς σου ἀγαλλόμαστε. Ὦ Κυρία, καί τώρα σῶσε μας ἀπό τά πάθη καί τούς κινδύνους. Τώρα εἶμαι κατάκοιτος, ἄρρωστος, στό κρεββάτι τῆς ἀσθενείας, καί δέν ὑπάρχει θεραπεία γιά τό σῶμα μου· ἀλλά ἐσένα, πού γέννησες τόν Θεό καί Σωτήρα τοῦ κόσμου, καί κράτησες στά σπλάχνα σου τό Λυτρωτή τῶν ἀσθενειῶν, σέ παρακαλῶ, Ἀγαθή· σήκωσέ με ἀπό τή φθορά τῶν νοσημάτων. Σῶσε ἀπό κινδύνους ἐμᾶς τούς δούλους σου, Θεοτόκε, διότι ὅλοι μετά τόν Θεό σ' ἐ σένα καταφεύγουμε, ὡς ἄθραυστο τεῖχος καί προστασία. Ἀμόλυντη, ἐσύ πού τίς τελευταῖες ἡμέρες γέννησες ἀνεξήγητα μέ λόγο Ἀγγέλου τό Λόγο τοῦ Θεοῦ, παρακάλεσέ τον, ἐπειδή ἔχεις μητρικό θάρρος. Ὁ Ἱερεύς μνημονεύει, (ὀνόματα). Κοντάκιο. Προστασία τῶν χριστιανῶν πού δέν ντροπιάζεσαι, μεσι-

μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, μὴ παρίδης ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι· τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε. Προκείμενον. Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. (Δίς). Στίχ. Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου, καὶ ἐπιθυμήσει ὁ Βασιλεὺς τοῦ κάλλους σου. Ὁ Ἱερεὺς: Καὶ ὑπέρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν. Κύριε, ἐλέησον (γ' .). Ἱερεὺς: Σοφία. Ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου. Εἰρήνη πᾶσι. Χορὸς.Καὶ τῷ Πνεύματί σου. Ἱερεὺς.Ἐκ τοῦ κατὰ Λουκᾶν Ἁγίου Εὐαγγελίου τό ἀνάγνωσμα, πρόσχωμεν. Χορὸς. Δόξα σοι, Κύριε, δόξα σοι. Εὐαγγέλιον. Ἐν ταῖς ἡμέραις ἐκείναις ἀναστᾶσα Μαριὰμ ἐπορεύθη εἰς τὴν ὀρεινὴν μετὰ σπουδῆς, εἰς πόλιν Ἰούδα, καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου, καὶ ἠσπάσατο τὴν Ἐλισάβετ, καὶ ἐγένετο ὡς ἤκουσεν ἡ Ἐλισάβετ τὸν ἀσπασμὸν τῆς Μαρίας, ἐσκίρτησε τὸ			τεία πρός τόν Ποιητή ἀμετακίνητη, μή παραβλέψεις τίς φωνές τῶν ἁμαρτωλῶν προσευχῶν μας, ἀλλά ἔλα βιαστικά σέ βοήθεια ἡμῶν, πού σοῦ φωνάζουμε μέ πίστη· τρέξε γρήγορα σέ πρεσβεία, καί σπεῦσε σέ ἱκεσία, Θεοτόκε, ἐσύ πού εἶσαι ἡ προστασία, αὐτῶν πού σέ τιμοῦν. Προκείμενο. Θά θυμᾶμαι τό ὄνομά σου σέ κάθε γενιά καί γενιά. (Δίς). Στίχος: Ἄκουσε, Θυγατέρα καί δές, καί στρέψε τό αὐτί σου, καί λησμόνησε τό λαό σου καί τό σπίτι τοῦ πατέρα σου, καί θά ἐπιθυμήσει ὁ Βασιλιάς τήν ὡραιότητά σου. Ὁ Ἱερεύς. Ἄς ἱκετεύσουμε τόν Κύριο καί Θεό μας, νά καταξιωθοῦμε νά ἀκούσουμε τό ἅγιο Εὐαγγέλιο. Κύριε, ἐλέησον(γ'.). Ἱερεύς: Ἐδῶ εἶναι ἡ Σοφία. Ὀρθιοι. Ἄς ἀκούσουμε τό ἅγιο Εὐαγγέλιο. Εἰρήνη σέ ὅλους. Ψάλτης: Καί στό δικό σου πνεῦμα. Ἱερεὺς: Ἄς προσέξουμε τήν ἀνάγνωση ἀπό τό Εὐαγγέλιο κατά τόν Εὐαγγελιστή Λουκᾶ. Ψάλτης: Δόξα σοι, Κύριε, δόξα σοι. Εὐαγγέλιο. Κατά τίς ἡμέρες ἐκεῖνες σηκώθηκε βιαστικά ἡ Μαρία καί πῆγε στήν ὀρεινή Ἰουδαία σέ μία πόλη της καί μπῆκε στό σπίτι τοῦ Ζαχαρία καί χαιρέτισε τήν Ἐλισάβετ· καί συνέβη τό ἑξῆς: Μόλις ἄκουσε ἡ Ἐλισάβετ τό χαιρετισμό τῆς Μαρίας, (χοροπήδησε μέ χαρά) τό βρέφος στήν κοιλιά της· Κι ἐγέμισε

βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς, καὶ ἐπλήσθη Πνεύματος Ἁγίου ἡ Ἐλισάβετ, καὶ ἀνεφώνησε φωνῇ μεγάλῃ, καὶ εἶπεν, Εὐλογημένη σὺ ἐν γυναιξί, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου, καὶ πόθεν μοὶ τοῦτο, ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ Κυρίου μου πρὸς με; ἰδοὺ γάρ, ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου, ἐσκίρτησεν τὸ βρέφος ἐν ἀγαλλιάσει ἐν τῇ κοιλίᾳ μου, καὶ μακαρία ἡ πιστεύσασα, ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ Κυρίου. Καὶ εἶπε Μαριά: Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμα μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρι μου, ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ. Ἰδοὺ γάρ, ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί· ὅτι ἐποίησέ μοὶ μεγάλεία ὁ δυνατός, καὶ ἅγιον τὸ τὸ ὄνομα αὐτοῦ. Ἔμεινε δὲ Μαριὰμ σὺν αὐτῇ ὡσεὶ μῆνας τρεῖς, καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς. Χορός: Δόξα σοι, Κύριε, δόξα σοι. Δόξα... Πάτερ, Λόγε, Πνεῦμα, Τριὰς ἡ ἐν Μονάδι, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων. Καὶ νῦν... Ταῖς τῆς Θεοτόκου, πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων. Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.			μέ Πνεῦμα Ἅγιο ἡ Ἐλισάβετ καί φώναξε μέ μεγάλη φωνή καί εἶπε· Εἶσαι ἡ πιό εὐλογημένη ἀνάμεσα στίς γυναῖκες καί εἶναι εὐλογημένος ὁ καρπός τῆς κοιλιᾶς σου· Καί πῶς μοῦ ἔγινε αὐτή ἡ τιμή, νά ἔλθει σ' ἐμένα ἡ Μητέρα τοῦ Κυρίου μου; Διότι νά, μόλις ἀκούσθηκε ἡ φωνή τοῦ χαιρετισμοῦ σου στά αὐτιά μου, σκίρτησε τό βρέφος μέ ἀγαλλίαση στήν κοιλιά μου· καί θά εἶναι μακάρια κάθε γυναίκα πού θά πιστέψει (ὅπως ἐσύ) ὅτι θά ἐκπληρωθοῦν τελείως, ὅσα ἐλέχθηκαν σ' αὐτήν ἀπό τόν Κύριο· Καί εἶπε ἡ Μαρία· Δοξάζει ἡ ψυχή μου τό μεγαλεῖο τοῦ Κυρίου καί χάρηκε βαθιά τό πνεῦμα μου γιά τόν Θεό τό Σωτῆρα μου, διότι ἔρριξε βλέμμα συμπαθείας σ' ἐμένα τή ταπεινή δούλη του. Διότι, νά, ἀπό τώρα καί στό ἑξῆς θά μέ μακαρίζουν ὅλες οἱ γενιές· Διότι ἔκανε σ' ἐμένα μεγαλειώδη πράγματα ὁ Παντοδύναμος καί εἶναι ἅγιο τό ὄνομά του. Ἔτσι ἔμεινε ἡ Μαρία μαζί της περίπου τρεῖς μῆνες καί ἐπέστρεψε στό σπίτι της. Ψάλτης: Δόξα σ' ἐσένα, Κύριε, δόξα σ' ἐσένα. Δόξα... Πατέρα, Λόγε τοῦ Θεοῦ, Ἅγιο Πνεῦμα, Τριάδα μέσα σέ Μονάδα, ἐξαφάνισε (σβῆσε) τά πλήθη τῶν δικῶν μου ἁμαρτημάτων. Καί νῦν... Μέ τίς πρεσβεῖες τῆς Θεοτόκου, Ἐλεῆμον, ἐξάλειψε τά πλήθη τῶν ἁμαρτημάτων μου. Ἐλέησέ με, Θεέ μου, σύμφωνα μέ τό μέγα ἔλεός σου, καί σύμφωνα μέ τό πλῆθος τῆς εὐσπλαχνίας σου ἐξάλειψε τό ἀνόμημά μου.

Μὴ καταπιστεύσῃς με, ἀνθρωπίνῃ προστασίᾳ, Παναγία Δέσποινα, ἀλλὰ δέξαι δέησιν, τοῦ ἱκέτου σου· θλῖψις γὰρ ἔχει με, φέρειν οὐ δύναμαι, τῶν δαιμόνων τὰ τοξεύματα, σκέπην οὐ κέκτημαι, οὐδὲ ποῦ προσφύγω ὁ ἄθλιος, πάντοθεν πολεμούμενος, καὶ παραμυθίαν οὐκ ἔχω πλήν σου· Δέσποινα τοῦ κόσμου, ἐλπὶς καὶ προστασία τῶν πιστῶν, μή μου παρίδῃς τὴν δέησιν, τὸ συμφέρον ποίησον.			Μή μέ ἐμπιστευθεῖς σέ ἀνθρώπινη προστασία, Παναγία Κυρία, ἀλλά δέξου τή δέησή μου πού σέ ἱκετεύω· διότι μέ κατέχει θλίψη, δέν μπορῶ νά ὑποφέρω τά τοξεύματα (τά βέλη) τῶν δαιμόνων· Δέν ἔχω στέγη οὔτε ποῦ νά καταφύγω ὁ ἄθλιος, καθώς πολεμοῦμαι ἀπό παντοῦ, καί δέν ἔχω παρηγοριά ἐκτός ἀπό σένα· Κυρία τοῦ κόσμου, ἐλπίδα καί πρστασία τῶν πιστῶν, μή παραβλέψεις τή δέησή μου, κάνε ὅτι εἶναι συμφέρον γιά μένα.
Οὐδεὶς προστρέχων ἐπὶ σοί, κατῃσχυμένος ἀπὸ σοῦ ἐκπορεύεται, ἁγνὴ Παρθένε Θεοτόκε, ἀλλ' αἰτεῖται τὴν χάριν, καὶ λαμβάνει τὸ δώρημα, πρὸς τὸ συμφέρον τῆς αἰτήσεως.			Κανένας πού τρέχει κοντά σου, δέ φεύγει ντροπιασμένος ἀπο σένα, Ἁγνή Παρθένε Θεοτόκε· ἀλλά ζητεῖ τή χάρη καί παίρνει τή δωρεά τήν ἀνάλογη πρός τό συμφέρον αὐτοῦ πού ζητεῖ.
Μεταβολὴ τῶν θλιβομένων, ἀπαλλαγὴ τῶν ἀσθενούντων ὑπάρχουσα, Θεοτόκε Παρθένε, σῷζε πόλιν καὶ λαόν, τῶν πολεμουμένων ἡ εἰρήνη, τῶν χειμαζομένων ἡ γαλήνη, ἡ μόνη προστασία τῶν πιστῶν.			Ἐπειδή εἶσαι μεταβολή τῶν θλιβομένων, ἀπαλλαγή τῶν ἀσθενῶν, Θεοτόκε Παρθένε, σῶζε τήν πόλη καί τό λαό, ἐσύ ἡ εἰρήνη αὐτῶν πού πολεμοῦνται, ἡ γαλήνη αὐτῶν πού δοκιμάζονται, ἡ μόνη προστασία τῶν πιστῶν.
Ἱερεύς: Σῶσον, ὁ Θεός, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰτιρμοῖς· ὕψωσον κέρας Χριστιανῶν Ὀρθοδόξων, καὶ κατάπεμψον ἐφ ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια· πρεσβείαις τῆς παναχράντου, Δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων,			Ἱερεύς: Σῶσε, Θεέ μου, τό λαό σου, καί εὐλόγησε ἐμᾶς, πού εἴμαστε ἡ κληρονομιά σου. Ἐπισκέψου τόν κόσμο σου μέ ἔλεος καί εὐσπλαχνία. Ὕψωσε τή δύναμη τῶν ὀρθοδόξων χριστιανῶν, καί στεῖλε ἐπάνω μας τά ἐλέη σου τά πλούσια. Μέ τίς πρεσβεῖες τῆς πάναγνης Κυρίας μας τῆςΘεοτόκου καί Ἀειπαρθένου (Παντοτεινῆς Παρθένου) Μαρίας· μέ τή δύναμη τοῦ Τιμίου καί Ζωοπάροχου Σταυροῦ· μέ τίς προστασίες τῶν τιμίων, ἐπουρανίων Δυνάμεων Ἀσωμάτων (τῶν Ἀγγέλων)· μέ τίς ἱκεσίες τοῦ Τιμίου, ἐνδόξου προφήτου Προδρόμου καί Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καί ξακουστῶν

ἐνδόξων, καὶ πανευφήμων Ἀποστόλων, τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν, μεγάλων Ἱεραρχῶν, καὶ Οἰκουμενικῶν Διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου καὶ Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος, πατριαρχῶν Ἀλεξανδρείας, Νικολάου τοῦ ἐν Μύροις, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος, τῶν θαυματουργῶν, τῶν ἁγίων ἐνδόξων μεγαλομαρτύρων Γεωργίου τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλύτου, Θεοδώρων Τήρωνος, καὶ Στρατηλάτου· τῶν ἱερομαρτύρων Χαραλάμπους καὶ Ἐλευθερίου· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, (τοῦ Ἁγίου τοῦ ναοῦ) τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, (τοῦ Ἁγίου τῆς ἡμέρας), οὗ καί τήν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σου τῶν Ἁγίων ἱκετεύομέν σε, μόνε πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου καὶ ἐλέησον ἡμᾶς. Κύριε, ἐλέησον (ιβ'). Ἐλέει, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ οὗ εὐλογητὸς εἰ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ὠιδὴ Ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας, καταντήσαντες Παῖδες ἐν			Ἀποστόλων· τῶν ἁγίων Πατέρων μας, μεγάλων ἱεραρχῶν καί οἰκουμενικῶν διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καί Ἰωάννου τοῦ Χρυσοστόμου· Τοῦ Ἀθανασίου καί Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος, πατριαρχῶν Ἀλεξανδρείας· Τοῦ Νικολάου ἐπισκόπου Μύρων, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος, τῶν θαυματουργῶν· (μέ τίς ἱκεσίες) τῶν ἁγίων ἐνδόξων μεγάλων Μαρτύρων, τοῦ Γεωργίου τοῦ Τροπαιοφόρου (θριαμβευτοῦ), τοῦ Δημητρίου τοῦ Μυροβλήτου, τῶν Θεοδώρων, Τήρωνος καί Στρατηλάτου· τῶν Ἱερομαρτύρων (κληρικῶν Μαρτύρων) Χαραλάμπους καί Ἐλευθερίου· τῶν ἁγίων ἐνδόξων καί καλλινίκων Μαρτύρων, τῶν ὁσίων (ἀσκητῶν) καί θεοφόρων (πού φέρουν τόν Θεό) Πατέρων μας· τῶν ἁγίων καί Δικαίων θεοπατόρων (προγόνων τοῦ Χριστοῦ) Ἰωακείμ καί Ἄννης· τοῦ ἁγίου (τῆς ἡμέρας), τοῦ ὁποίου τή μνήμη ἑορτάζουμε καί ὅλων τῶν ἁγίων, σέ ἱκετεύουμε, μόνε πολυέλεε Κύριε, ἐπάκουσέ μας τούς ἁμαρτωλούς, πού σέ παρακαλοῦμε, καί ἐλέησέ μας. Κύριε ἐλέησον. (12 φορές). (Ὅλα αὐτά σέ παρακαλοῦμε νά τά κάνεις) μέ τό ἔλεος καί τήν εὐσπλαχνία καί τή φιλανθρωπία τοῦ Μονογενοῦς σου Υἱοῦ, μαζί μέ τόν ὁποῖο εἶσαι ἄξιος νά δοξολογεῖσαι, καί μαζί μέ τό πανάγιο καί ἀγαθό καί ζωοποιό σου Πνεῦμα, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν. Ὠιδή Ζ'. Οἱ νέοι πού ἀπό τήν Ἰουδαία κατέληξαν κάποτε ὡς

Βαβυλῶνι ποτέ, τῇ πίστει τῆς Τριάδος, τὴν φλόγα τῆς καμίνου, κατεπάτησαν ψάλλοντες· ὁ τῶν Πατέρων ἡμῶν Θεός, εὐλογητὸς εἶ. Τὴν ἡμῶν σωτηρίαν, ὡς ἠθέλησας Σῶτερ, οἰκονομήσασθαι, ἐν μήτρᾳ τῆς Παρθένου, κατῴκησας τῷ κόσμῳ, ἣν προστάτιν ἀνέδειξας· ὁ τῶν Πατέρων ἡμῶν Θεός, εὐλογητός εἶ. Θελητὴν τοῦ ἐλέους, ὃν ἐγέννησας, Μῆτερ ἁγνὴ, δυσώπησον, ῥυσθῆναι τῶν πταισμάτων, ψυχῆς τε μολυσμάτων, τοὺς ἐν πίστει κραυγάζοντας· ὁ τῶν Πατέρων ἡμῶν Θεός, εὐλογητὸς εἶ. Θησαυρὸν σωτηρίας, καὶ πηγὴν ἀφθαρσίας, τὴν σὲ κυήσασαν, καὶ πύργον ἀσφαλείας, καὶ θύραν μετανοίας, τοῖς κραυγάζουσιν ἔδειξας· Ὁ τῶν Πατέρων ἡμῶν Θεός, εὐλογητὸς εἶ. Σωμάτων μαλακίας, καὶ ψυχῶν ἀρρωστίας, Θεογεννήτρια, τῶν πόθῳ προσιόντων, τῇ σκέπῃ σου τῇ θείᾳ, θεραπεύειν ἀξίωσον, ἡ τὸν Σωτῆρα Χριστόν, ἡμῖν ἀποτεκοῦσα. Ὠιδὴ Η'. Τὸν Βασιλέα τῶν οὐρανῶν, ὃν ὑμνοῦσι στρατιαὶ τῶν Ἀγγέλων, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Τοὺς βοηθείας τῆς παρὰ σοῦ δεομένους, μὴ παρίδῃς Παρθένε, ὑμνοῦντας, καὶ ὑπερυψοῦντάς σε, Κόρη, εἰς αἰῶνας. Τῶν ἰαμάτων τὸ δαψιλές, ἐπιχέεις τοῖς πιστῶς ὑμνοῦσί σε Παρθένε, καὶ ὑπερυψοῦσι τὸν			αἰχμάλωτοι στή Βαβυλώνα, καταπάτησαν τή φλόγα τοῦ καμινιοῦ μέ τήν πίστη τῆς Ἁγίας Τριάδος ψάλλοντας· ὁ Θεός τῶν πατέρων μας εἶσαι δοξασμένος. Ἐπειδή θέλησες, Σωτήρα, νά οἰκονομήσεις τή σωτηρία μας, κατοίκησες στόν κόσμο στή μήτρα τῆς Παρθένου, τήν ὁποία ἀνέδειξες προστάτη μας· Ὁ Θεός τῶν πατέρων μας εἶσαι δοξασμένος. Παρακάλεσε, Μητέρα ἁγνή, αὐτόν πού θέλει τό ἔλεος, τόν ὁποῖο γέννησες, νά ἀπαλλαγοῦν ἀπό τά σφάλματα καί τούς μολυσμούς τῆς ψυχῆς, αὐτοί πού κραυγάζουν· Θεέ τῶν πατέρων μας εἶσαι δοξασμένος. Θησαυρό σωτηρίας καί πηγή ἀφθαρσίας ἀνέδειξες, αὐτήν πού σ' ἐγέννησε, καί πύργο ἀσφαλείας καί θύρα μετανοίας, γι' αὐτούς πού κραυγάζουν· Θεέ τῶν πατέρων μας εἶσαι δοξασμένος. Μητέρα τοῦ Θεοῦ, πού γέννησες γιά μᾶς τόν Σωτήρα, τόν Χριστό, ἀξίωσε νά θεραπεύεις τίς σωματικές ἀδυναμίες καί ἀρρώστιες τῶν ψυχῶν, αὐτῶν πού πλησιάζουν μέ πόθο στή θεϊκή σου σκέπη. Ὠιδή Η'. Τό Βασιλέα τῶν οὐρανῶν, τόν ὁποῖο ὑμνοῦν οἱ στρατιές τῶν Ἀγγέλων, ὑμνεῖτε καί ὑπερυψώνετέ τον σέ ὅλους τούς αἰῶνες. Μή παραβλέψεις, Παρθένε, αὐτούς πού ἔχουν ἀνάγκη ἀπό τή βοήθεια ἐκ μέρους σου, οἱ ὁποῖο ὑμνοῦν καί ὑπερυψώνουν ἐσένα, Κόρη, στούς αἰῶνες. Βρέχεις τήν ἀφθονία τῶν θεραπειῶν, Παρθένε, σ' αὐτούς πού μέ πίστη σέ ἀνυμνοῦν, καί ὑπερυψώνουν τήν

ἄφραστόν σου τόκον. Τὰς ἀσθενείας μου τῆς ψυχῆς ἰατρεύεις, καὶ σαρκὸς τὰς ὀδύνας, Παρθένε, ἵνα σε δοξάζω τὴν Κεχαριτωμένην. Τῶν πειρασμῶν σὺ τὰς προσβολὰς ἐκδιώκεις, καὶ παθῶν τὰς ἐφόδους Παρθένε· ὅθεν σε ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας. Ὠιδὴ Θ'. Κυρίως Θεοτόκον, σὲ ὁμολογοῦμεν, οἱ διὰ σοῦ σεσωσμένοι, Παρθένε ἁγνή, σὺν Ἀσωμάτων χορείαις, σὲ μεγαλύνοντες. Ῥοήν μου τῶν δακρύων, μὴ ἀποποιήσῃς, ἡ τὸν παντὸς ἐκ προσώπου πᾶν δάκρυον, ἀφῃρηκότα Παρθένε, Χριστὸν κυήσασα. Χαρᾶς μου τὴν καρδίαν, πλήρωσον, Παρθένε, ἡ τῆς χαρᾶς δεξαμένη τὸ πλήρωμα, τῆς ἁμαρτίας τὴν λύπην, ἐξαφανίσασα. Λιμὴν καὶ προστασία, τῶν σοὶ προσφευγόντων, γενοῦ Παρθένε, καὶ τεῖχος ἀκράδαντον, καταφυγή τε καὶ σκέπη, καὶ ἀγαλλίαμα. Φωτός σου ταῖς ἀκτῖσι, λάμπρυνον, Παρθένε, τὸ ζοφερὸν τῆς ἀγνοίας διώκουσα, τοὺς εὐσεβῶς Θεοτόκον, σὲ καταγγέλλοντας. Κακώσεως ἐν τόπῳ, τῷ τῆς ἀσθενείας, ταπεινωθέντα, Παρθένε, θεράπευσον, ἐξ ἀρρωστίας εἰς ῥῶσιν, μετασκευάζουσα. Μεγαλυνάρια. Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σὲ τὴν			ἀνέκφραστή σου γέννηση. Γιατρεύεις τίς ἀσθένειες τῆς ψυχῆς μου καί τούς πόνους τοῦ σώματός μου, Παρθένε, γιά νά δοξάζω ἐσένα τήν χαριτωμένη. Ἐσύ διώχνεις τίς ἐπιθέσεις τῶν πειρασμῶν καί τίς ἐφόδους τῶν παθῶν, Παρθένε, γι' αὐτό σέ ὑμνοῦμε σέ ὅλους τούς αἰῶνες. Ὠιδή Θ'. Μοναδική Θεοτόκο σέ ὁμολογοῦμε, Παρθένε ἁγνή, ἐμεῖς πού σωθήκαμε διά μέσου σου, μεγαλύνοντάς σε μαζί μέ τά πλήθη τῶν Ἀσωμάτων. Μήν ἀρνηθεῖς νά δεχθεῖς τή ροή τῶν δακρύων μου, Παρθένε, ἐσύ πού γέννησες τό Χριστό, πού ἀφαίρεσε κάθε δάκρυ ἀπό κάθε πρόσωπο. Γέμισε μέ χαρά τήν καρδιά μου, Παρθένε, ἐσύ πού δέχθηκες τήν πληρότητα τῆς χαρᾶς, ἐξαφανίζοντας τή λύπη τῆς ἁμαρτίας. Γίνε, Παρθένε, λιμάνι καί προστασία γι' αὐτούς πού καταφεύγουν σ' ἐσένα, καί τεῖχος ἀκλόνητο καί καταφύγιο, καί σκέπη, καί ἀγαλλίαμα. Μέ τίς ἀκτῖνες τοῦ φωτός σου, διώχνοντας τό σκοτάδι τῆς ἀγνοίας, λάμπρυνε αὐτούς, πού μέ εὐσέβεια σέ ἀνακηρύττουν Θεοτόκο. Ἐμένα πού ταπεινώθηκα, Παρθένε, στόν τόπο τῆς κακοπάθειας, δηλαδή τῆς ἀρρώστιας, θεράπευσέ με μεταφέροντάς με ἀπό τήν ἀρρώστια στήν ἀνάρρωση. Μεγαλυνάρια. Εἶναι ἄξιο ἀληθινά, νά μακαρίζουμε ἐσένα τήν Θεοτόκο,

Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν. Τὴν ὑψηλοτέραν τῶν οὐρανῶν, καὶ καθαρωτέραν λαμπηδόνων ἡλιακῶν, τὴν λυτρωσαμένην ἡμᾶς ἐκ τῆς κατάρας, τὴν Δέσποιναν τοῦ κόσμου, ὕμνοις τιμήσωμεν. Ἀπὸ τῶν πολλῶν μου ἁμαρτιῶν, ἀσθενεῖ τὸ σῶμα, ἀσθενεῖ μου καὶ ἡ ψυχή, πρὸς σὲ καταφεύγω τὴν Κεχαριτωμένην, ἐλπὶς ἀπηλπισμένων, σὺ μοὶ βοήθησον. Δέσποινα καὶ Μήτηρ τοῦ Λυτρωτοῦ, δέξαι παρακλήσεις, ἀναξίων σῶν ἱκετῶν, ἵνα μεσιτεύσης πρὸς τὸν ἐκ σοῦ τεχθέντα. Ὦ Δέσποινα, τοῦ κόσμου γενοῦ μεσίτρια. Ψάλλομεν προθύμως σοὶ τὴν ᾠδήν, νῦν τῇ πανυμνήτῳ, Θεοτόκῳ χαρμονικῶς, μετὰ τοῦ Προδρόμου, καὶ πάντων τῶν Ἁγίων, δυσώπει, Θεοτόκε, τοῦ οἰκτειρῆσαι ἡμᾶς. Ἄλαλα τὰ χείλη τῶν ἀσεβῶν, τῶν μὴ προσκυνούντων, τὴν εἰκόνα σου τὴν σεπτήν, τὴν ἱστορηθεῖσαν, ὑπὸ τοῦ ἀποστόλου, Λουκᾶ ἱερωτάτου, τὴν Ὁδηγήτριαν. Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.			τήν πάντοτε μακάρια καί παναμόλυντη, καί Μητέρα τοῦ Θεοῦ μας. Ἐσένα, πού εἶσαι τιμιώτερη ἀπό τά Χερουβίμ καί ἀσύγκριτα ἀνώτερη ἀπό τά Σεραφίμ, πού γέννησες χωρίς νά φθαρεῖς τό Λόγο τοῦ Θεοῦ, τήν ἀληθινή Θεοτόκο, ἐσένα μεγαλύνουμε. Τήν ὑψηλότερη ἀπό τούς οὐρανούς καί καθαρότερη ἀπό τίς λάμψεις τοῦ ἡλίου, πού μᾶς λύτρωσε ἀπό τήν κατάρα, τήν Κυρία τοῦ κόσμου, ἄς την τιμήσουμε μέ ὕμνους. Ἀπό τίς πολλές μου ἁμαρτίες ἀσθενεῖ τό σῶμα, ἀσθενεῖ καί ἡ ψυχή μου· σ' ἐσένα καταφεύγω τήν Κεχαριτωμένη· Ἐλπίδα τῶν ἀπελπισμένων, ἐσύ βοήθησέ με. Κυρία καί Μητέρα τοῦ Λυτρωτῆ, δέξου τίς παρακκλήσεις τῶν ἀναξίων δούλων σου, γιά νά μεσιτεύσεις σ'αὐτόν πού γεννήθηκε ἀπό σένα· Κυρία τοῦ κόσμου, γίνε μεσίτρια. Ψάλλουμε πρόθυμα τόν ὕμνο τώρα σ' ἐσένα, τήν πανύμνητη Θεοτόκο χαρούμενα· μαζί μέ τόν Πρόδρομο καί ὅλους τούς ἁγίους ἱκέτευε, Θεοτόκε, νά μᾶς σπλαχνισθεῖ (ὁ Θεός). Ἄς μείνουν ἄλαλα τά χείλη τῶν ἀσεβῶν, πού δέν προσκυνοῦν τή σεβάσμια εἰκόνα σου, πού ζωγραφίσθηκε ἀπο τόν ἱερώτατο Ἀπόστολο Λουκᾶ, τήν Ὁδηγήτρια. Ὅλα τά στρατεύματα τῶν Ἀγγέλων, Πρόδρομε τοῦ Κυρίου, ἡ δωδεκάδα τῶν Ἀποστόλων, οἱ Ἅγιοι Πάντες μαζί μέ τή Θεοτόκο κάνετε πρεσβεία, γιά νά σωθοῦμε ἐμεῖς.

Τρισάγιον. Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (ἐκ γ'.). Δόξα Πατρὶ καὶ Υἱῷ καί Ἁγίῳ Πνεύματι. Καί νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου. Κύριε ἐλέησον (γ'.). Δόξα… Καὶ νῦν… Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τόν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Τροπάρια. Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τὴν ἱκεσίαν, ὦς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν, ἐλέησον ἡμᾶς. Δόξα...			Τρισάγιο. Εἶσαι Ἅγιος ὁ Θεός Πατέρας, Ἅγιος δυνατός ὁ Υἱός, Ἅγιος ἀθάνατος τό Ἅγιο Πνεῦμα. Ἐλέησέ μας. (Τρίς). Δόξα στόν Πατέρα καί στόν Υἱό καί στό Ἅγιο Πνεῦμα. Καί τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν. Παναγία Τριάδα, ἐλέησέ μας. Κύριε, δεῖξε ἔλεος στίς ἁμαρτίες μας. Δέσποτα, συγχώρησε τίς ἀνομίες μας. Ἅγιε, ἔλα καί θεράπευσε τίς ἀσθένειές μας, γιά χάρη τοῦ ὀνόματός σου. Κύριε, ἐλέησον. (γ'.). Δόξα… Καί νῦν… Πατέρα μας, πού κατοικεῖς στούς οὐρανούς, ἄς εἶναι ἁγιασμένο τό ὄνομά σου. Ἄς ἔλθει ἡ Βασιλεία σου. Ἄς γίνει τό θέλημά σου, ὅπως στόν οὐρανό ἀπό τούς Ἀγγέλους, ἔτσι καί στή γῆ ἀπό τούς ἀνθρώπους. Τήν τροφή μας τήν ἀπαραίτητη γιά τή ζωή δῶσε μας σήμερα. Καί συγχώρησε σ' ἐμᾶς τά ἁμαρτήματά μας, ὅπως κι ἐμεῖς συγχωροῦμε αὐτούς πού ἁμάρτησαν σ' ἐμᾶς. Καί μήν ἐπιτρέψεις, νά πέσουμε σέ πειρασμό, ἀλλά ἀπάλλαξέ μας ἀπό τόν πονηρό. Διότι δική σου εἶναι ἡ Βασιλεία καί ἡ δύναμη καί ἡ δόξα, τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν. Τροπάρια: Ἐλέησέ μας, Κύριε, ἐλέησέ μας· διότι στερούμενοι ἀπό κάθε ἀπολογία, αὐτή τήν ἱκεσία σ'ἐσένα ὡς Κύριο προσφέρουμε οἱ ἁμαρτωλοί· ἐλέησέ μας. Δόξα...

Κύριε, ἐλέησον ἡμᾶς, ἐπὶ σοὶ γὰρ πεποίθαμεν, μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν, ἀλλ' ἐπίβλεψον καὶ νῦν, ὡς εὔσπλαγχνος, καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν, σὺ γὰρ εἶ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαός σου, πάντες ἔργα χειρῶν σου, καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα. Καὶ νῦν... Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς σέ, μὴ ἀστοχήσωμεν, ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων, σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν χριστιανῶν. Ἐκτενής Δέησις. Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἐλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον. Κύριε ἐλέησον. Ἔτι δεόμεθα ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (…) καὶ πάσης της ἐν Χριστῷ ἡμῶν ἀδελφότητος. Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ (κώμῃ, πόλει) ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδορομητῶν καὶ ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου. Ἔτι δεόμεθα ὑπέρ τῶν δούλων τοῦ Θεοῦ,			Κύριε, ἐλέησέ μας· διότι σ' ἐσένα ἐμπιστευόμαστε· μήν ὀργισθεῖς ὑπερβολικά ἐναντίον μας, οὔτε νά θυμηθεῖς τίς ἀνομίες μας· ἀλλά κοίταξέ μας ὡς εὔσπλαχνος καί λύτρωσέ μας ἀπό τούς ἐχθρούς μας· Διότι Ἐσύ εἶσαι Θεός μας καί ἐμεῖς λαός σου· Ὅλοι εἴμαστε ἔργα τῶν χεριῶν σου καί ἐπικαλούμεθα τό ὄνομά σου. Καί νῦν... Τῆς εὐσπλαχνίας τήν πύλη ἄνοιξέ μας, εὐλογημένη Θεοτόκε· ἐλπίζοντας σ' ἐσένα ἄς μή ἀστοχήσουμε· μακάρι νά λυτρωθοῦμε μέσῳ σοῦ ἀπό τίς δύσκολες περιστάσεις. Διότι ἐσύ εἶσαι ἡ σωτηρία τοῦ γένους τῶν χριστιανῶν. Ἐκτενής Δέηση. Ἐλέησέ μας, Θεέ μας, σύμφωνα μέ τό μέγα ἔλεός σου, σέ παρακαλοῦμε, ἄκουσέ μας καί ἐλέησέ μας. Κύριε, ἐλέησον. Ἀκόμη παρακαλοῦμε γιά τόν ἀρχιεπίσκοπό μας (.....) καί γιά ὅλη τή χριστιανική μας ἀδελφότητα. Ἀκόμη παρακαλοῦμε γιά ἔλεος, ζωή, εἰρήνη, ὑγεία, σωτηρία, προστασία, συγχώρηση καί ἄφεση (ἐλευθερία) τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, ὅλων τῶν εὐσεβῶν καί ὀρθοδόξων χριστιανῶν, οἱ ὁποῖοι κατοικοῦν μόνιμα καί προσωρινά στήν πόλη αὐτή. (Παρακαλοῦμε) γιά τούς ἐνορίτες, τούς ἐπιτρόπους, τούς συνδρομητές καί δωρητές τῆς ἁγίας αὐτῆς Ἐκκλησίας. Ἀκόμη παρακαλοῦμε γιά τούς δούλους τοῦ Θεοῦ,

(Ὀνόματα). Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν Ἐκκλησίαν καὶ τὴν πόλιν ταύτην, καὶ πᾶσαν πόλιν καὶ χώραν ἀπὸ ὀργῆς, λοιμοῦ, λιμοῦ σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, ἐμφυλίου πολέμου, καὶ αἰφνδίου θανάτου, ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ καὶ εὐδιάλακτον, γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι καί, διασκεδάσαι πᾶσαν ὀργὴν καὶ νόσον, τὴν καθ' ἡμῶν κινουμένην, καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας αὐτοῦ ἀπειλῆς, καὶ ἐλεῆσαι ἡμᾶς. Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ ἐλεῆσαι ἡμᾶς. Ἐπάκουσον ἡμῶν, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν, καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν, Δέσποτα ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐλέησον ἡμᾶς. Ἐλεήμων γάρ καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ἀπόλυσις. Ὁ (…) Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας Αὐτοῦ μητρός, δυνάμει τοῦ τιμίου καὶ			(Ὀνόματα). Ἀκόμη παρακαλοῦμε νά διαφυλαχθεῖ ἡ ἁγία Ἐκκλησία καί ἡ πόλη αὐτή καί κάθε πόλη καί χωριό ἀπό ὀργή, ἐπιδημία, πεῖνα, σεισμό, φωτιά, σφαγή, ἐπιδρομή ξένων, ἀπό ἐμφύλιο πόλεμο καί ξαφνικό θάνατο· Καί γιά νά γίνει σπλαχνικός, εὐνοϊκός καί συγχωρητικός ὁ ἀγαθός καί φιλάνθρωπος Θεός μας, γιά νά ἀπομακρύνει καί νά σκορπίσει κάθε ὀργή καί ἀρρώστια πού κινεῖται ἐναντίον μας· καί νά μᾶς λυτρώσει ἀπό τή δίκαιη ἀπειλή του πού κρέμεται ἐπάνω μας καί νά μᾶς ἐλεήσει. Ἀκόμη παρακαλοῦμε, νά εἰσακούσει ὁ Κύριος ὁ Θεός τήν φωνή τῆς ἱκεσίας ἡμῶν τῶν ἁμαρτωλῶν καί νά μᾶς ἐλεήσει. Ἐπάκουσέ μας, Θεέ μας, Σωτήρα μας, ἡ ἐλπίδα ὅλων τῶν περάτων τῆς γῆς καί αὐτῶν πού βρίσκονται μακριά στή θάλασσα· Καί γίνε γιά μᾶς, Κύριε, σπλαχνικός στίς ἁμαρτίες μας καί ἐλέησέ μας. Διότι εἶσαι ἐλεήμων καί φιλάνθρωπος Θεός καί σ' ἐσένα ἀναπέμπουμε τή δόξα, στόν Πατέρα καί στόν Υἱό καί στό Ἅγιο Πνεῦμα, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν. Ἀπόλυση. Ὁ (...)Χριστός, ὁ ἀληθινός Θεός μας, μέ τίς πρεσβεῖες τῆς καθαρώτατης καί ἀμόλυντης ἁγίας Μητέρας του, μέ τή δύναμη τοῦ Τιμίου Σταυροῦ πού δίνει ζωή, μέ τίς προστασίες

ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων τὸν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός. Τροπάρια. Πάντων προστατεύεις, Ἀγαθή, τῶν καταφευγόντων ἐν πίστει τῇ κραταιά σου χειρί, ἄλλην γὰρ οὐκ ἔχομεν ἁμαρτωλοὶ πρὸς Θεόν, ἐν κινδύνοις καὶ θλίψεσιν, ἀεὶ μεσιτείαν, οἱ κατακαμπτόμενοι ὑπὸ πταισμάτων πολλῶν, Μῆτερ τοῦ Θεοῦ τοῦ Ὑψίστου, ὅθεν σοὶ προσπίπτομεν, ῥῦσαι πάσης περιστάσεως τοὺς δούλους σου. Πάντων θλιβομένων ἡ χαρά, καὶ ἀδικουμένων προστάτις, καὶ πενομένων τροφή, ξένων τε παράκλησις, καὶ βακτηρία τυφλῶν, ἀσθενούντων ἐπίσκεψις, καταπονουμένων σκέπη καὶ ἀντίληψις, καὶ ὀρφανῶν βοηθός, Μῆτερ τοῦ Θεοῦ τοῦ Ὑψίστου, σὺ ὑπάρχεις, Ἄχραντε, σπεῦσον, δυσωποῦμεν, ῥύσασθαι τοὺς δούλους σου. Δέσποινα, πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.			τῶν τιμίων, ἐπουρανίων Δυνάμεων τῶν Ἀσωμάτων, μέ τίς ἱκεσίες τοῦ τιμίου ἐνδόξου Προφήτου Προδρόμου καί Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων καί φημισμένων Ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καί καλλινίκων (μέ ὡραῖες νίκες) μαρτύρων, τῶν ὁσίων (ἀσκητῶν) καί θεοφόρων (πού φέρουν τόν Θεό μέσα τους) Πατέρων μας, τῶν ἁγίων καί Δικαίων θεοπατόρων (προγόνων τοῦ Χριστοῦ) Ἰωακείμ καί Ἄννης, τοῦ ἁγίου (τῆς ἡμέρας), τοῦ ὁποίου τή μνήμη ἑορτάζουμε, καί ὅλων τῶν ἁγίων, νά μᾶς ἐλεήσει καί νά μᾶς σώσει ὡς ἀγαθός καί φιλάνθρωπος καί ἐλεήμων Θεός. Τροπάρια. Ὅλους τούς προστατεύεις, Ἀγαθή, πού καταφεύγουν μέ πίστη στό δυνατό σου χέρι· Διότι ἐμεῖς οἱ ἁμαρτωλοί, πού σκύβουμε κάτω ἀπό τό βάρος πολλῶν πταισμάτων δέν ἔχουμε πάντοτε ἄλλη μεσίτρια πρός τόν Θεό. Γι’αὐτό, Μητέρα τοῦ Θεοῦ τοῦ Ὑψίστου γονατίζουμε σ’ ἐσένα· λύτρωσε ἀπό κάθε δύσκολη περίσταση τούς δούλους σου. Ἐσύ ὑπάρχεις ὅλων τῶν θλιβομένων ἡ χαρά καί προστάτης τῶν ἀδικουμένων καί τροφή τῶν πεινασμένων, καί παρηγοριά τῶν ξένων καί ραβδί (στήριγμα) τῶν τυφλῶν, ἐπίσκεψη τῶν ἀσθενῶν, σκέπη καί βοήθεια τῶν ταλαιπωρημένων, καί βοηθός τῶν ὀρφανῶν, Μητέρα τοῦ Θεοῦ τοῦ Ὑψίστου· Ἀμόλυντη, σέ παρακαλοῦμε, τρέξε νά γλυτώσεις τούς δούλους σου. Κυρία, δέξου τίς δεήσεις τῶν δούλων σου, καί λύτρωσέ μας ἀπό κάθε ἀνάγκη καί θλίψη.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου. (Κατὰ τὴν περίοδον τοῦ 15/Αὐγούστου ψάλλονται, ἀντὶ τῶν ἀνωτέρω Θεοτοκίων, τὰ ἑπόμενα): Ἐξαποστειλάρια. Ἀπόστολοι ἐκ περάτων, συναθροισθέντες ἐνθάδε, Γεθσημανὴ τῷ χωρίῳ, κηδεύσατέ μου τὸ σῶμα, καὶ σύ, Υἱὲ καὶ Θεέ μου, παράλαβέ μου τὸ πνεῦμα. Ὁ γλυκασμὸς τῶν Ἀγγέλων, τῶν θλιβομένων ἡ χαρά, χριστιανῶν ἡ προστάτις, Παρθένε Μήτηρ Κυρίου, ἀντιλαβοῦ μου καὶ ῥύσαι, τῶν αἰωνίων βασάνων. Καὶ σὲ μεσίτριαν ἔχω, πρὸς τὸν φιλάνθρωπον Θεόν, μή μου ἐλέγξῃ τὰς πράξεις, ἐνώπιον τῶν Ἀγγέλων, παρακαλῶ σε, Παρθένε, βοήθησόν μοὶ ἐν τάχει. Χρυσοπλοκώτατε πύργε, καὶ δωδεκάτειχε πόλις, ἡλιοστάλακτε θρόνε, καθέδρα τοῦ Βασιλέως, ἀκατανόητον θαῦμα, πῶς γαλουχεῖς τὸν Δεσπότην ; Δι' εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν,ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν. ΜΕΓΑΣ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ Ὁ Ἱερεὺς: Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.			Ὅλη τήν ἐλπίδα μου σ'ἐσένα τήν ἀναθέτω, Μητέρα τοῦ Θεοῦ· φύλαξέ με κάτω ἀπό τή σκέπη σου. (Κατά τὴν περίοδον τοῦ Δεκαπενταυγούστου ἀντί τῶν παραπάνω ψάλλονται τά ἑξῆς): Ἐξαποστειλάρια. Ἀπόστολοι, ἀφοῦ μαζευθεῖτε ἐδῶ ἀπό τά πέρατα (τῆς γῆς), κηδέψτε τό σῶμα μου στόν τόπο τῆς Γεθσημανῆς· Κι Ἐσύ Υἱέ καί Θεέ μου, παράλαβε τό πνεῦμα μου. Ἐσύ ἡ γλυκύτητα τῶν Ἀγγέλων, ἡ χαρά τῶν θλιβομένων, ἡ προστάτης τῶν χριστιανῶν, Παρθένε Μητέρα τοῦ Κυρίου, βοήθησέ με καί λύτρωσέ με ἀπό τά αἰώνια βάσανα. Ἐσένα ἔχω μεσίτρια πρός τόν φιλάνθρωπο Θεό· ἄς μή μοῦ ἐλέγξει τίς πράξεις μπροστά στούς Ἀγγέλους· Σέ παρακαλῶ, Παρθένε, Βοήθησέ με γρήγορα. Πύργε πλεγμένε μέ χρυσάφι, καί πόλη μέ δώδεκα τείχη, θρόνε πού στάζεις ἥλιο, καθέδρα (θρόνε) τοῦ Βασιλιᾶ, ἀκατανόητο θαῦμα, πῶς τρέφεις μέ γάλα τόν Κύριο; Μέ τίς εὐχές τῶν ἁγίων Πατέρων μας, Κύριε Ἰησοῦ Χριστέ, Θεέ μας, ἐλέησε καί σῶσε μας. Ἀμήν. ΜΕΓΑΛΗ ΠΑΡΑΚΛΗΣΗ Ὁ Ἱερεύς. Ἂς εἶναι δοξασμένος ὁ Θεός μας πάντοτε, τώρα καί πάντα καί στούς αἰῶνες τῶν αἰώνων.

Ἀμήν. Ψαλμὸς ΡΜΒ΄. (142). Κύριε εἰσάκουσον τῆς προσευχῆς μου ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου. Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου· Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησόν μοι τὸ πρωΐ τὸ ἔλεός σου ὅτι ἐπὶ σοὶ ἤλπισα· Γνώρισόν μοι Κύριε ὁδὸν ἐν ᾗ πορεύσομαι ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου Κύριε πρὸς σὲ			Ψ. Ἀμήν. (Εἴθε, μακάρι νά γίνει). ΨΑΛΜΟΣ ΡΜΒ΄. (142). Κύριε, εἰσάκουσε τήν προσευχή μου, δέξου στ' αὐτιά σου τήν δέησή μου στό ὄνομα τῆς ἀξιοπιστίας σου, εἰσάκουσέ με ἐν ὀνόματι τῆς δικαιοσύνης σου. Μή θελήσεις ὅμως, νά προχωρήσεις σέ αὐστηρή κρίση γιά μένα τό δοῦλο σου, διότι εἶναι ἀδύνατο νά δικαιωθεῖ ἐμπρός σου κάθε ζωντανός. (Ἄκουσέ με), διότι ὁ ἐχθρός καταδίωξε τήν ψυχή μου, ἐξευτέλισε μέχρι τό χῶμα τή ζωή μου. Μέ ὁδήγησε μέχρι τόν σκοτεινό ᾅδη, ὅπου βρίσκονται ἀπό αἰῶνες οἱ νεκροί, ἔπεσε σέ κατάθλιψη τό πνεῦμα μου, μέσα μου εἶναι ταραγμένη διαρκῶς ἡ καρδιά μου. (Σ' αὐτή τήν κατάσταση) θυμήθηκα ἡμέρες παλιές, βύθισα τή σκέψη μου σέ ὅλα τά ἔργα σου. Μελέτησα προσεκτικά τά ἔργα τῶν χεριῶν σου. Ὕψωσα ἱκετευτικά τά χέρια μου πρός ἐσένα· ἡ ψυχή μου μπροστά σου μοιάζει μέ κατάξερη γῆ πού διψᾷ. Εἰσάκουσε με, Κύριε, τό γρηγορώτερο, γιατί χάνεται τό πνεῦμα μου. Μή γυρίσεις μέ ἀποστροφή τό πρόσωπό σου ἀπό μένα, καί ὁμοιωθῶ μέ τούς νεκρούς, πού κατεβαίνουν ὁριστικά στόν τάφο. Φρόντισε, Κύριε, νά ἀκούσω καί νά αἰσθανθῶ γρήγορα (τό πρωΐ) τό ἔλεός σου, διότι σ' ἐσένα στηρίζω τήν ἐλπίδα μου. Κάνε νά γνωρίσω, Κύριε, τό δρόμο πού πρέπει νά πορευθῶ, διότι σ' ἐσένα ὕψωσα τήν ψυχή μου. Βγάλε με ἀπό τά χέρια τῶν ἐχθρῶν μου, Κύριε, διότι σ'

κατέφυγον. Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου ὅτι σὺ εἶ ὁ Θεός μου· Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ, ἕνεκεν τοῦ ὀνόματός σου Κύριε ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου· Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου ὅτι ἐγὼ δοῦλός σού εἰμι. Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Στίχ, α'. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ. Στίχ, β'. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς. Στίχ, γ'. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. Τροπάρια. Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν, ἁμαρτωλοὶ καὶ ταπεινοί, καὶ προσπέσωμεν ἐν μετανοίᾳ, κράζοντες ἐκ βάθους ψυχῆς· Δέσποινα, βοήθησον ἐφ' ἡμῖν σπλαγχνισθεῖσα, σπεῦσον, ἀπολλύμεθα ὑπὸ πλήθους πταισμάτων, μὴ ἀποστρέψῃς σοὺς δούλους κενούς· σὲ γὰρ καὶ μόνην ἐλπίδα κεκτήμεθα. Δόξα... Καὶ νῦν...			ἐσένα καταφεύγω· Δίδαξέ με, νά ἐφαρμόζω τό θέλημά σου, διότι Ἐσύ εἶσαι ὁ Θεός μου. Τό Πνεῦμα σου τό ἀγαθό ἄς μέ ὁδηγεῖ στόν ἴσιο δρόμο, γιά χάρη τοῦ ὀνόματός σου, Κύριε, (πού σημαίνει ἔλεος καί ἀγάπη), θά παρατείνεις τή ζωή μου. Μέ τή δικαιοσύνη σου θά βγάλεις τήν ψυχή μου ἀπό τή βαριά θλίψη, καί μέ τό ἔλεός σου θά ἐξολοθρεύσεις τούς ἐχθρούς μου. Καί θά καταστρέψεις ὅλους, ὅσοι θλίβουν τήν ψυχή μου, διότι ἐγώ εἶμαι δοῦλος σου. Ὁ Θεός καί Κύριος ἔλαμψε σ' ἐμᾶς μέ τήν ἀποκάλυψή του. Ἄς Εἶναι δοξασμένος αὐτός πού ἔρχεται (γιά νά μᾶς σώσει) σταλμένος ἀπό τόν Κύριο. Στίχ. α'.Δοξολογεῖτε μέ εὐχαριστίες τόν Κύριο, καί καλεῖτε σέ βοήθεια τό ἅγιο ὄνομά του. Στίχ. β'.Ὅλα τά γύρω ἔθνη μέ περικύκλωσαν, καί μέ τή δύναμη τοῦ ὀνόματος τοῦ Κυρίου τά ἀντιμετώπισα. Στίχ. γ'.Ἐκ μέρους τοῦ Κυρίου κατορθώθηκε αὐτή ἡ σωτηρία μας, καί εἶναι ἀξιοθαύμαστη στά μάτια μας. Τροπάρια. Ἄς πλησιάσουμε τρέχοντας μέ ἐπιμονή στή Θεοτόκο, ἁμαρτωλοί καί ταπεινοί, καί ἄς πέσουμε μπροστά της μέ μετάνοια κράζοντας ἀπό τά βάθη τῆς ψυχῆς: Κυρία, βοήθησέ μας δείχνοντάς μας εὐσπλαχνία· τρέξε, γιατί χανόμαστε ἀπό τό πλῆθος τῶν πταισμάτων· μή μᾶς γυρίσεις πίσω ἐμᾶς τούς δούλους σου ἄδειους· Διότι ἐσένα καί μόνη ἔχουμε ἐλπίδα. Δόξα... Καί νῦν...

Οὐ σιωπήσωμέν ποτε, Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τὶς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; Τὶς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν. Ν'. (50). Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἐλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντὸς. Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου· Ἰψδού γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ραντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι, πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.			Δέν θά σωπάσουμε ποτέ, Θεοτόκε, νά διακηρύττουμε τή δύναμή σου ἐμεῖς οἱ ἀνάξιοι· διότι ἄν ἐσύ δέν πρωτοστατοῦσες ἱκετεύοντας, ποιός θά μᾶς γλύτωνε ἀπό τόσο μεγάλους κινδύνους; Ποιός θά μᾶς εἶχε διαφυλάξει ἕως τώρα ἐλευθέρους; Δέν θά ἀπομακρυνθοῦμε, Κυρία, ἀπό σένα· Διότι σώζεις πάντα τούς δούλους σου ἀπό κάθε εἴδους δεινά (θλίψεις). ΨΑΛΜΟΣ. Ν'. (50). Ἐλέησέ με, Θεέ μου, σύμφωνα μέ τό μέγα ἔλεός σου, καί σύμφωνα μέ τό πλῆθος τῆς εὐσπλαχνίας σου σβῆσε ἐντελῶς τήν παρανομία μου. Πλύνε με πάλι καί πάλι ἀπό τήν ἀνομία μου, καί ἀπό τήν ἀκαθαρσία τῆς ἁμαρτίας μου καθάρισέ με. (Ζητῶ τό ἔλεός σου), διότι ἐγώ ἀναγνωρίζω τήν ἀνομία μου καί ἡ ἁμαρτία μου ὀρθώνεται μπροστά μου γιά πάντα. Σ' ἐσένα ἀποκλειστικά ἁμάρτησα, καί ἔπραξα τό πονηρό μπροστά σου· (Τά ὁμολογῶ αὐτά), γιά νά φανεῖς, πόσο δίκαιος εἶσαι στίς καταδικαστικές ἀποφάσεις σου, καί νά ἀναδειχθεῖς νικητής, ὅταν κακόβουλα σέ ἐπικρίνουν. (Ἐλέησέ με), διότι μέσα σέ ἀνομίες ἔγινε ἡ σύλληψή μου, καί μέσα σέ ἁμαρτίες μέ κυοφόρησε στά σπλάχνα της ἡ μητέρα μου. Ἐσύ ἀγαπᾷς τήν ἀλήθεια. Φανέρωσέ μου τά ἄγνωστα καί κρυμμένα μυστήρια τῆς σοφίας σου, (γιά νά φυλαχθῶ). Θά μέ ραντίσεις μέ ὕσσωπο (ποῶδες φυτό ὅπως τόν βασιλικό) καί θά καθαρισθῶ· θά μέ πλύνεις καί θά λευκανθῶ πιό πολύ ἀπό τό χιόνι. Θά μέ κάνεις νά ἀκούσω λόγια πού προξενοῦν ἀγαλλίαση καί εὐφροσύνη· θά αἰσθανθοῦν ἀγαλλίαση τά

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ὅτι εἰ ἠθέλησας θυσίαν ἔδωκα ἂν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Αγάθυνον Κύριε ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.			ταπεινωμένα ὀστά μου. Ἀπόστρεψε (γύρισε) τό πρόσωπό σου ἀπό τίς ἁμαρτίες μου, καί σβῆσε ἐντελῶς ὅλες τίς ἀνομίες μου. Καρδιά καθαρή κτίσε μέσα μου, Θεέ μου, καί ἐγκαινίασε στά κατάβαθά μου πνεῦμα μέ ὀρθό φρόνημα. Μή μέ ἀπορρίψεις ἀπό τό πρόσωπό σου, καί μήν ἀφαιρέσεις ἀπό μένα τό Πνεῦμα σου τό Ἅγιο. Δῶσε μου τήν ἀγαλλίαση γιά τή σωτηρία, πού προέρχεται ἀπό σένα, καί στήριξέ με μέ πνεῦμα αὐτοκυριαρχίας . Ἔτσι θά διδάξω τό νόμο σου σέ πολλούς παρανόμους, ὥστε νά ἐπιστρέψουν σ' ἐσένα πολλοί ἀσεβεῖς. Ἀπάλλαξέ με, Θεέ μου, Θεέ Σωτήρα μου, ἀπό τήν ἐνοχή τῶν αἱμάτων, (πού χύθηκαν ἐξ αἰτίας μου)· τότε ἡ γλῶσσα μου θά διαλαλεῖ μέ ἀγαλλίαση τήν ἀγαθή δικαιοσύνη σου. Κύριε, θά ἀνοίξεις τά χείλη μου, καί τό στόμα μου θά διαλαλεῖ τόν ὕμνο σου. Διότι, ἄν ἤθελες θυσία, εὐχαρίστως θά τήν πρόσφερα. Ἐσύ ὅμως δέν μένεις εὐχαριστημένος μέ ὁλοκαυτώματα (θυσία πού καίεται ὅλο τό ζῶο). Θυσία εὐάρεστη στόν Θεό εἶναι ἡ ψυχή ἡ συντετριμμένη· καρδιά συντετριμμένη καί ταπεινωμένη ὁ Θεός δέ θά τήν περιφρονήσει. Δεῖξε, Κύριε, ἀγαθοσύνη στή Σιών μέ τή χάρη σου, καί ἄς ξαναχτισθοῦν τά τείχη τῆς Ἱερουσαλήμ. Τότε θά δεχθεῖς θυσία σύμφωνη μέ τό Νόμο σου, εὐχαριστήρια θυσία καί ὁλοκαυτώματα. Τότε θά μποροῦν νά ἀνεβάσουν ἐπάνω στό βωμό σου νεαρούς ταύρους.

Κανών. Ὠιδή Α'. Ἁρματηλάτην Φαραὼ ἐβύθισε, τερατουργοῦσα ποτέ μωσαϊκὴ ῥάβδος σταυροτύπως πλήξασα καὶ διελοῦσα θάλασσαν, Ἰσραὴλ δὲ φυγάδα, πεζὸν ὁδίτην διέσωσεν, ᾄσμα τῷ Θεῷ ἀναμέλποντα. Τῶν λυπηρῶν ἐπαγωγαὶ χειμάζουσι τὴν ταπεινήν μου ψυχήν, καὶ συμφορῶν νέφη, τὴν ἐμὴν καλύπτουσι, καρδίαν Θεονύμφευτε, ἀλλ' ἡ φῶς τετοκυῖα, τὸ θεῖον καὶ προαιώνιον, λάμψον μοι τὸ φῶς τὸ χαρμόσυνον. Ἐξ ἀμέτρητων ἀναγκῶν καὶ θλίψεων, καὶ ἐξ ἐχθρῶν δυσμενῶν, καὶ συμφορῶν βίου, λυτρωθεὶς Πανάχραντε, τῇ κραταιᾷ δυνάμει σου, ἀνυμνῶ μεγαλύνω, τὴν ἄμετρόν σου συμπάθειαν, καὶ την εἰς ἐμέ σου παράκλησιν. Νῦν πεποιθὼς ἐπὶ τὴν σὴν κατέφυγον, ἀντίληψιν κραταιάν, καὶ πρὸς τὴν σὴν σκέπην, ὁλοψύχως ἔδραμον, καὶ γόνυ κλίνω Δέσποινα, καὶ θρηνῶ καὶ στενάζω, μή μέ παρίδῃς τόν ἄθλιον τῶν χριστιανῶν καταφύγιον. Οὐ σιωπήσω τοῦ βοᾶν τρανώτατα, τὰ μεγαλεῖα τὰ σά· εἰμὴ γὰρ σὺ Κόρη, πάντοτε προΐστασο, ὑπὲρ ἐμοῦ πρεσβεύουσα, τῷ Υἱῷ καὶ Θεῷ σου, τὶς ἐκ τοσούτου με κλύδωνος, καὶ δεινῶν κινδύνων ἐρρύσατο. Ὠιδὴ Γ'. Οὐρανίας ἀψῖδος, ὀροφουργὲ Κύριε, καί τῆς			Κανόνας. Ὠιδή Α'. Τόν ἁρματηλάτη Φαραώ τόν βύθισε κάποτε θαυματουργώντας ἡ ράβδος (τό ραβδί) τοῦ Μωυσῆ, χτυπώντας σταυροειδῶς καί διαιρώντας τή θάλασσα· Καί ἔσωσε τόν Ἰσρηλιτικό λαό, πού ἔφευγε ὁδοιπορώντας πεζός ψάλλοντας ὕμνο στόν Θεό. Οἱ ἐπιθέσεις τῶν λυπηρῶν κλυδωνίζουν τήν ταπεινή μου ψυχή· Καί σύννεφα συμφορῶν σκεπάζουν τήν καρδιά μου, Νύμφη τοῦ Θεοῦ· ἀλλά ἐσύ πού γέννησες τό Φῶς τό θεϊκό καί προαιώνιο, λάμψε σ' ἐμένα τό φῶς τό χαρμόσυνο. Λυτρωμένος, Πάναγνη, ἀπό ἀμέτρητες ἀνάγκες καί θλίψεις, καί ἀπό σκληρούς ἐχθρούς καί ἀπό συμφορές τοῦ βίου μέ τήν ἰσχυρή δύναμή σου, ἀνυμνῶ, μεγαλύνω (δοξάζω) τήν ἄμετρη συμπάθειά σου καί τήν παρηγοριά σου σ' ἐμένα. Τώρα μέ ἐμπιστοσύνη κατέφυγα στή δική σου ἰσχυρή βοήθεια, καί ἔτρεξα ὁλόψυχα στή δική σου σκέπη, καί γονατίζω, Κυρία, καί θρηνῶ καί στενάζω, μήν παραβλέψεις ἐμένα τόν ἄθλιο, ἐσύ τό καταφύγιο τῶν χριστιανῶν. Δέν θά σωπάσω νά διακηρύττω μέ μεγαλειώδη τρόπο τά δικά σου μεγαλεῖα· διότι ἐάν ἐσύ, Κόρη, δέν ἤσουν πάντοτε μπροστά πρεσβεύοντας γιά μένα στόν Υἱό καί Θεό σου, ποιός θά μ' ἐλύτρωνε ἀπό τόσο μεγάλη τρικυμία, καί ἀπό φοβερούς κινδύνους. Ὠιδή Γ'. Κύριε, πού δημιούργησες τήν ὀροφή τῆς οὐράνιας

Ἐκκλησίας δομῆτορ, σὺ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε φιλάνθρωπε. Ἀπορήσας ἐκ πάντων, ὀδυνηρῶς κράζω σοι· πρόφθασον θερμὴ προστασία, καὶ σὴν βοήθειαν, δὸς μοι τῷ δούλῳ σου, τῷ ταπεινῷ καὶ ἀθλίῳ, τῷ τὴν σὴν ἀντίληψιν, ἐπιζητοῦνντι θερμῶς. Ἐθαυμάστωσας ὄντως, νῦν ἐπ' ἐμοὶ Δέσποινα, τὰς εὐεργεσίας σου Κόρη, καὶ τὰ ἐλέη σου· ὅθεν δοξάζω σε, καὶ ἀνυμνῶ καὶ γεραίρω, τὴν πολλὴν καὶ ἄμετρον, κηδεμονίαν σου. Καταιγὶς με χειμάζει, τῶν συμφορῶν Δέσποινα, καὶ τῶν λυπηρῶν τρικυμίαι, καταποντίζουσιν· ἀλλὰ προφθάσασα, χεῖρά μοι δὸς βοηθείας, ἡ θερμὴ ἀντίληψις, καὶ προστασία μου. Ἀληθῆ Θεοτόκον, ὁμολογῶ Δέσποινα, σὲ τὴν τοῦ θανάτου τὸ κράτος, ἐξαφανίσασαν· ὡς γὰρ φυσίζωος, ἐκ τῶν δεσμῶν τῶν τοῦ ᾅδου, πρὸς ζωὴν ἀνήγαγες, εἰς γῆν με ῥεύσαντα. Διάσωσον ἀπὸ κινδύνων τούς δούλους σου Θεοτόκε, ὅτι πάντες μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν, ὡς ἄρρηκτον τεῖχος καὶ προστασίαν. Ἐπίβλεψον ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπήν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος. Ἱερεὺς: Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεὸς Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ			ἀψίδας, (τόν οὐρανό) καί εἶσαι ὁ δομήτορας (κτίστης) τῆς Ἐκκλησίας, Ἐσύ στερέωσέ με στή δική σου ἀγάπη, Ἐσύ πού εἶσαι ἡ κορυφή τῶν ἐπιθυμητῶν καί τό στηριγμα τῶν πιστῶν, μόνε φιλάνθρωπε. Εὑρισκόμενος σέ ἀμηχανία (ἀδυναμία) ἀπό ὅλα, μέ πόνο κράζω σ' ἐσένα: Πρόφθασε, θερμή προστασία, καί τή δική σου βοήθεια δῶσε σ' ἐμένα τό δοῦλο σου, τόν ταπεινό καί ἄθλιο, πού ἐπιζητῶ θερμά τή δική σου βοήθεια. Ἔδειξες ἀληθινά θαυμάσιες τώρα σ' ἐμένα, Κυρία, τίς εὐεργεσίες σου, Κόρη, καί τά ἐλέη σου· γι' αὐτό σέ δοξάζω , καί ἀνυμνῶ καί ἐγκωμιάζω τήν πολλή καί ἄμετρη φροντίδα σου. Καταιγίδα τῶν συμφορῶν μέ κλυδωνίζει, Κυρία, καί τρικυμίες τῶν λυπηρῶν μέ κατάποντίζουν· ἀλλά πρόφθασε καί δός μου χέρι βοηθείας, ἐσύ ἡ θερμή βοήθεια καί προστασία μου. Ἀληθινή Θεοτόκο ὁμολογῶ, Κυρία, ἐσένα πού ἐξαφάνισες τή δύναμη τοῦ θανάτου· διότι ὡς φυσική πηγή τῆς ζωῆς ἀνέβασες ἀπό τά δεσμά τοῦ ᾅδη στή ζωή, ἐμένα πού χύθηκα (ἐξορίσθηκα) στή γῆ. Σῶσε ἀπό κινδύνους ἐμᾶς τούς δούλους σου, Θεοτόκε, διότι ὅλοι μετά τόν Θεό σ' ἐσένα καταφεύγουμε, ὡς ἄθραυστο τεῖχος καί προστασία. Ρίξε στοργικό τό βλέμμα σου πανύμνητη Παναγία, ἐπάνω στό κακοποιημένο (ἄρρωστό) μου σῶμα καί θεράπευσε τόν πόνο τῆς ψυχῆς μου. Ὁ Ἱερεὺς. Ἐλέησέ μας, ὦ Θεέ, σύμφωνα μέ τό μέγα ἔλεός σου, σέ παρακαλοῦμε, ἄκουσέ μας καί ἐλέησέ μας.

ἐλέησον. Κύριε ἐλέησον. Ἔτι δεόμεθα ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν … καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος. Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ (κώμῃ, πόλει) ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καί δωρητῶν τοῦ ἁγίου ναοῦ τούτου. Ἔτι δεόμεθα ὑπέρ τῶν δούλων τοῦ Θεοῦ, (Ὀνόματα). Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Κάθισμα. Πρεσβεία θερμή, καὶ τεῖχος ἀπροσμάχητον, ἐλέους πηγή, τοῦ κόσμου καταφύγιον, ἐκτενῶς βοῶμέν σοι· Θεοτόκε Δέσποινα, πρόφθασον, καὶ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, ἡ μόνη ταχέως προστατεύουσα. Ὠιδή Δ΄. Σύ μου ἰσχὺς Κύριε, σύ μου καὶ δύναμις, σὺ Θεός μου, σύ μου ἀγαλλίαμα, ὁ πατρικούς, κόλπους μὴ λιπών, καὶ τὴν ἡμετέραν, πτωχείαν ἐπισκεψάμενος· διὸ σύν τῷ προφήτῃ, Ἀββακοὺμ σοι κραυγάζω· Τῇ δυνάμει σου δόξα φιλάνθρωπε.			Κύριε ἐλέησον. Ἀκόμη παρακαλοῦμε γιά τόν Ἀρχιεπίσκοπό μας (.....) καί ὅλη τη χριστιανική μας ἀδελφότητα. Ἀκόμη παρακαλοῦμε γιά ἔλεος, ζωή, εἰρήνη, ὑγεία, σωτηρία, προστασία, συγχώρηση καί ἄφεση (ἐλευθερία) τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, ὅλων τῶν εὐσεβῶν καί ὀρθοδόξων χριστιανῶν, οἱ ὁποῖοι κατοικοῦν μόνιμα καί προσωρινά στήν πόλη αὐτή. (Παρακαλοῦμε) γιά τούς ἐνορίτες, τούς ἐπιτρόπους, τούς συνδρομητές καί δωρητές τοῦ ἁγίου αὐτοῦ ναοῦ. Ἀκόμη παρακαλοῦμε γιά τούς δούλους τοῦ Θεοῦ, (Ὀνόματα). Διότι εἶσαι ἐλεήμων καί φιλάνθρωπος Θεός, καί γι' αὐτό σ' ἐσένα ἀναπέμπουμε (προσφέρουμε ταπεινά) τή δόξα, στόν Πατέρα καί στόν Υἱό καί στό Ἅγιο Πνεῦμα, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν. Κάθισμα. Ἐσύ ἡ θερμή πρεσβεία καί τό ἀκατανίκητο τεῖχος, ἡ πηγή τοῦ ἐλέους καί τό καταφύγιο τοῦ κόσμου, σ' ἐσένα φωνάζουμε δυνατά Θεοτόκε Κυρία: Πρόφθασε καί λύτρωσέ μας ἀπό κινδύνους, ἐσύ ἡ μόνη πού μᾶς προστατεύεις ταχύτατα. Ὠιδή Δ΄. Ἐσύ εἶσαι ἡ ἰσχύς μου, Κύριε, ἐσύ καί ἡ δύναμή μου, Ἐσύ εἶσαι ὁ Θεός μου, Ἐσύ καί ἡ χαρά μου, Ἐσύ πού χωρίς νά ἐγκατλείψεις τήν πατρική ἀγκαλιά, ἐπισκέφθηκες τή δική μας φτώχεια· γι' αὐτό μαζί μέ τόν Προφήτη Ἀββακούμ κραυγάζω σ' Ἐσένα: Δόξα στή δύναμή σου, φιλάνθρωπε.

Καὶ ποῦ λοιπόν, ἄλλην εὑρήσω ἀντίληψιν; ποῦ προσφύγω; ποῦ δὲ καὶ σωθήσομαι; τίνα θερμὴν ἔξω βοηθόν, θλίψεσι τοῦ βίου καὶ ζάλαις οἴμοι! κλονούμενος; Εἰς σὲ μόνην ἐλπίζω, καὶ θαρρῶ καὶ καυχῶμαι, καὶ προστρέχω τῇ σκέπῃ σου σῶσον με. Τὸν ποταμόν, τὸν γλυκερόν τοῦ ἐλέους σου, τὸν πλουσίαις δωρεαῖς δροσίσαντα, τὴν παναθλίαν καὶ ταπεινήν, πάναγνε ψυχήν μου, τῶν συμφορῶν καί τῶν θλίψεων, καμίνῳ φλογισθεῖσαν, μεγαλύνω κηρύττω, καὶ προστρέχω τῇ σκέπῃ σου σῶσον με. Σὲ τὴν ἁγνήν, σὲ τὴν Παρθένον καὶ ἄσπιλον, μόνην φέρω, τεῖχος ἀπροσμάχητον, καταφυγὴν σκέπην κραταιάν, ὅπλον σωτηρίας μὴ με παρίδῃς τὸν ἄσωτον, ἐλπὶς ἀπηλπισμένων, ἀσθενῶν συμμαχία, θλιβομένων χαρὰ καὶ ἀντίληψις. Πῶς ἐξειπεῖν, σοῦ κατ' ἀξίαν δυνήσομαι, τοὺς ἀμέτρους, οἰκτιρμοὺς, ὦ Δέσποινα, τοὺς τὴν ἐμὴν πάντοτε ψυχήν, δεινῶς πυρουμένην, ὡς ὕδωρ περιδροσίσαντας; Ἀλλ' ὢ τῆς σῆς προνοίας, καί τῆς εὐεργεσίας, ἧς ἀφθόνως αὐτὸς παραπήλαυσα! Ὠιδὴ Ε'. Ἵνα τὶ με ἀπώσω, ἀπό τοῦ προσώπου σου τὸ φῶς τὸ ἄδυτον, καὶ ἐκάλυψέ με, τὸ ἀλλότριον σκότος τὸν δείλαιον. Ἀλλ' ἐπίστρεψόν με, καὶ πρὸς τὸ φῶς τῶν ἐντολῶν σου, τὰς ὁδούς μου κατεύθυνον δέομαι. Εὐχαρίστως βοῶ σοι· χαῖρε Μητροπάρθενε, χαῖρε Θεόνυμφε, χαῖρε θεία σκέπη, χαῖρε ὅπλον			Καί ποῦ λοιπόν νά βρῶ ἄλλη βοήθεια; Ποῦ νά καταφύγω καί ποῦ νά σωθῶ; Ἀλλοίμονο! Ποιάν θά ἔχω θερμή βοηθό στίς θλίψεις τοῦ βίου καί τίς ζάλες καθώς κλονίζομαι; Σ' ἐσένα μόνη ἐλπίζω καί ἔχω θάρρος καί καυχιέμαι, καί τρέχω κάτω ἀπό τή σκέπη σου, σῶσε με. Τόν γλυκό ποταμό τοῦ ἐλέους σου, πού δρόσισε μέ πλούσιες δωρεές, Πάναγνη, τήν πανάθλια καί ταπεινή ψυχή μου, ἡ ὁποία εἶναι φλογισμένη ἀπό τό καμίνι τῶν συμφορῶν καί τῶν θλίψεων, δοξολογῶ, κηρύττω, καί τρέχω κάτω ἀπό τή σκέπη σου, σῶσε με. Ἐσένα τήν ἁγνή, ἐσένα τήν Παρθένο καί ἀκηλίδωτη μόνην ἔχω τεῖχος ἀκαταμάχητο, καταφυγή, σκέπη δυνατή, ὅπλο σωτηρίας· μή μέ παραβλέψεις τόν ἄσωτο, ἐσύ ἡ ἐλπίδα τῶν ἀπελπισμένων, ἡ συμμαχία τῶν ἀδυνάτων, ἡ χαρά καί ἡ βοήθεια τῶν θλιβομένων. Πῶς θά μπορέσω νά διηγηθῶ ἐπάξια τήν ἄμετρη εὐσπλαχνία σου, Κυρία, ἡ ὁποία πάντοτε ἐδρόσισε ὡς νερό τήν ψυχή μου, πού φλογιζόταν φοβερά; Ἀλλά ὦ στή δική σου φροντίδα καί τήν εὐεργεσία, τήν ὁποία ὁ ἴδιος ἀπόλαυσα μέ αφθονία! Ὠιδὴ Ε'. Γιατί μέ ἀπώθησες (μέ ἀπομάκρυνες) ἀπό τό πρόσωπό σου Ἐσύ τό ἄδυτο (τό ἀβασίλευτο) φῶς, καί μ' ἐσκέπασε τό ξένο (τό ἀπόλυτο) σκοτάδι ἐμένα τόν ἄθλιο; Ἀλλά ἐπίστρεψέ με, καί κατεύθυνε τίς πορεῖες μου πρός τό φῶς τῶν ἐντολῶν σου, σέ παρακαλῶ Εὐχαρίστως φωνάζω σ' ἐσένα, Χαῖρε, Μητέρα Παρθένε· χαῖρε Νύμφη τοῦ Θεοῦ, χαῖρε θεϊκή σκέπη· χαῖρε ὅπλο καί

καὶ τεῖχος ἀπόρθητον, χαῖρε προστασία, καὶ βοηθὲ καὶ σωτηρία,τῶν εἰς σὲ προστρεχόντων ἐκ πίστεως. Οἱ μισοῦντες με μάτην, βέλεμνα καὶ ξίφη καὶ λάκκον ηὐτρέπισαν, καὶ ἐπιζητοῦσι, τὸ πανάθλιον σῶμα σπαράξαι μου, καὶ καταβιβάσαι, πρὸς γῆν Ἀγνὴ ἐπιζητοῦσιν· ἀλλ' ἐκ τούτων προφθάσασα σῶσόν με. Ἀπὸ πάσης ἀνάγκης, θλίψεως καὶ νόσου καὶ βλάβης με λύτρωσαι, καὶ τῇ σῇ δυνάμει, ἐν τῇ σκέπῃ σου φύλαξον ἄτρωτον, ἐκ παντὸς κινδύνου, καὶ ἐξ ἐχθρῶν τῶν πολεμούντων, καὶ μισούντων με Κόρη πανύμνητε. Τὶ σοι δῶρον προσάξω, τῆς εὐχαριστίας ἀνθ' ὧνπερ ἀπήλαυσα, τῶν σῶν δωρημάτων, καί τῆς σῆς ἀμέτρητου χρηστότητος; Τοιγαροῦν δοξάζω, ὑμνολογῶ καὶ μεγαλύνω, σοῦ τὴν ἄμετρον πρός με συμπάθειαν. Ὠιδὴ ΣΤ'. Τὴν δέησιν, ἐκχεῶ πρὸς Κύριον, καὶ αὐτῷ ἀπαγγελῶ μου τὰς θλίψεις, ὅτι κακῶν ἡ ψυχή μου ἐπλήσθη, καὶ ἡ ζωή μου τῷ ᾅδῃ προσήγγισε καὶ δέομαι ὡς Ἰωνᾶς· Ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε. Τὰ νέφη, τῶν λυπηρῶν ἐκάλυψαν, τὴν ἀθλίαν μου ψυχὴν καὶ καρδίαν, καὶ σκοτασμὸν ἐμποιοῦσι μοι, Κόρη, ἀλλ' ἡ γεννήσασα φῶς τὸ ἀπρόσιτον, ἀπέλασον ταῦτα μακράν, τῇ ἐμπνεύσει τῆς θείας πρεσβείας σου. Παράκλησιν, ἐν ταῖς θλίψεσιν οἶδα, καί τῶν			τεῖχος ἀπόρθητο (ἀκατάβλητο, πού δεν κυριεύεται)· χαῖρε προστασία καί βοηθέ καί σωτηρία, αὐτῶν πού καταφεύγουν σ' ἐσένα μέ πίστη. Αὐτοί πού μέ μισοῦν ἄδικα ἑτοίμασαν βέλη καί ξίφη καί λάκκο, καί ἐπιζητοῦν νά κατασπαράξουν τό πανάθλιο σῶμα μου, καί ἐπιζητοῦν νά μέ θάψουν στή γῆ, Ἁγνή· Ἀλλά πρόφθασε καί σῶσε με ἀπ' αὐτούς. Ἀπό κάθε ἀνάγκη, θλίψη καί ἀσθένεια καί βλάβη λύτρωσέ με· Καί μέ τή δύναμή σου φύλαξέ με κάτω ἀπό τή σκέπη σου ἄτρωτο (χωρίς τραύματα) ἀπό κάθε κίνδυνο, καί ἀπό ἐχθρούς πού μέ πολεμοῦν καί μέ μισοῦν, Κόρη πανύμνητη. Τί δῶρο νά σοῦ προσφέρω ὡς εὐχαριστία για ὅσα ἔχω ἀπολαύσει, γιά τά δῶρα σου καί τήν ἄμετρή σου ἀγαθότητα; Λοιπόν δοξάζω, ὑμνολογῶ καί ἐξυψώνω τήν ἀνέκφραστή σου συμπάθεια σ' ἐμένα. Ὠιδή ΣΤ'. Τή δέησή μου θά ξεχύσω στόν Κύριο, καί σ' αὐτόν θά ἀναγγείλω τίς θλίψεις μου· διότι ἡ ψυχή μου γέμισε ἀπό θλίψεις, καί ἡ ζωή μου πλησίασε στόν ᾅδη· Καί σέ παρακαλῶ, ὅπως ὁ Ἰωνᾶς: Βγάλε με, Θεέ μου, ἀπό τή φθορά. Τά σύννεφα τῶν λυπηρῶν καταστάσεων ἐκάλυψαν τήν ἄθλια ψυχή καί τήν καρδιά μου, καί μοῦ δημιουργοῦν σκοτισμό, Κόρη, ἀλλά ἐσύ πού γέννησες τό ἀπρόσιτο (τό ἄφθαστο, τό ἀπλησίαστο) Φῶς (τό Χριστό) ἀπομάκρυνέ τα μακριά μέ τήν πνοή τῆς θεϊκῆς σου πρεσβείας. Σέ ἀναγνωρίζω παρηγοριά στίς θλίψεις, καί σέ γνωρίζω

νόσων ἰατρὸν σε γινώσκω, καὶ παντελῆ συντριμμὸν τοῦ θανάτου, καὶ ποταμὸν τῆς ζωῆς ἀνεξάντλητον, καὶ πάντων τῶν ἐν συμφοραῖς, ταχινὴν καὶ ὀξεῖαν ἀντίληψιν. Οὐ κρύπτω σου, τὸν βυθὸν τοῦ ἐλέους, καὶ τὴν βρύσιν τῶν ἀπείρων θαυμάτων, καὶ τὴν πηγὴν τὴν ἀέναον ὄντως, τῆς πρὸς ἐμὲ συμπαθείας σου Δέσποινα· ἀλλ' ἅπασιν ὁμολογῶ, καὶ βοῶ καὶ κηρύττω καὶ φθέγγομαι. Ἐκύκλωσαν, αἱ τοῦ βίου με ζάλαι, ὥσπερ μέλισσαι κηρίον, Παρθένε, καὶ τὴν ἐμὴν κατασχοῦσαι καρδίαν, κατατιτρώσκουσι βέλει τῶν θλίψεων· ἀλλ' εὔροιμί σε βοηθόν, καὶ διώκτην καὶ ῥύστην Πανάχραντε. Διάσωσον, ἀπὸ κινδύνων, τοὺς δούλους σου, Θεοτόκε, ὅτι πάντες μετὰ Θεόν, εἰς σὲ καταφεύγομεν, ὡς ἄρρηκτον τεῖχος καὶ προστασίαν. Ἐπίβλεψον, ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος. Ὁ Ἱερεὺς. Μνημονεύει. (Ὀνόματα). Κοντάκιον. Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε. Μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι· Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί,			ὡς ἰατρό τῶν ἀσθενειῶν, καί ὁλοτελῆ (ὁλοκληρωτική) συντριβή τοῦ θανάτου καί ποταμό τῆς ζωῆς ἀνεξάντλητο, καί γρήγορη καί κοφτερή (ἀποτελεσματική) βοήθεια ὅλων πού βρίσκονται μέσα σέ συμφορές. Δέν ἀποκρύπτω τό βυθό τοῦ ἐλέους σου καί τή βρύση τῶν ἀπείρων θαυμάτων, καί τήν πηγή τήν ἀδιάκοπη πραγματικά τῆς συμπάθειάς σου σ' ἐμένα, Κυρία· ἀλλά σέ ὅλους τά ὁμολογῶ καί φωνάζω καί κηρύττω καί τά λέγω. Μέ περικύκλωσαν οἱ ζάλες τῆς ζωῆς, ὅπως οἱ μέλισσες τό κηρί, Παρθένε, καί ἀφοῦ κυρίευσαν τήν καρδιά μου, μέ κατατραυματίζουν μέ τό βέλος τῶν θλίψεων· ἀλλά μακάρι νά σέ βρῶ βοηθό, καί ἀπαλλαγή καί λύτρωση, Πάναγνη. Σῶσε ἀπό κινδύνους ἐμᾶς τούς δούλους σου, Θεοτόκε, διότι ὅλοι μετά τόν Θεό σ' ἐσένα καταφεύγουμε, ὡς ἄθραυστο τεῖχος καί προστασία. Ρίξε στοργικό τό βλέμμα σου, πανύμνητη Παναγία, ἐπάνω στό κακοποιημένο (ἄρρωστό) μου σῶμα καί θεράπευσε τόν πόνο τῆς ψυχῆς μου. Ὁ Ἱερεὺς. Μνημονεύει. (Ὀνόματα). Κοντάκιο. Προστασία τῶν χριστιανῶν πού δέν ντροπιάζεσαι, μεσιτεία πρός τόν Ποιητή ἀμετακίνητη, μή παραβλέψεις τίς φωνές τῶν ἁμαρτωλῶν προσευχῶν μας, ἀλλά ἔλα βιαστικά σέ βοήθεια ἡμῶν, πού σοῦ φωνάζουμε μέ πίστη· τρέξε γρήγορα σέ πρεσβεία, καί σπεῦσε σέ ἱκεσία, Θεοτόκε, ἐσύ πού εἶσαι ἡ προστασία, αὐτῶν πού σέ τιμοῦν.

ἁγιωσύνην ἐν φόβῳ σου, ἵνα ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεώς μου, τῶν ἁγιασμάτων σου τὴν μερίδα ὑποδεχόμενος, ἑνωθῶ τῷ ἁγίῳ Σώματί σου καὶ Αἵματι, καὶ ἕξω σε ἐν ἐμοὶ κατοικοῦντα καὶ μένοντα σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι. Ναί, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός μου· καὶ μὴ εἰς κρῖμά μοι γένοιτο ἡ μετάληψις τῶν ἀχράντων καὶ ζωοποιῶν Μυστηρίων σου, μηδὲ ἀσθενὴς γενοίμην ψυχῇ τε καὶ σώματι, ἐκ τοῦ ἀναξίως αὐτῶν μεταλαμβάνειν· ἀλλὰ δός μοι, μέχρι τελευταίας μου πνοῆς, ἀκατακρίτως ὑποδέχεσθαι τὴν μερίδα τῶν ἁγιασμάτων σου, εἰς Πνεύματος ἁγίου κοινωνίαν, εἰς ἐφόδιον ζωῆς αἰωνίου καὶ εἰς εὐπρόσδεκτον ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματός σου· ὅπως ἂν κἀγώ, σὺν πᾶσι τοῖς ἐκλεκτοῖς σου, μέτοχος γένωμαι τῶν ἀκηράτων σου ἀγαθῶν, ὧν ἡτοίμασας τοῖς ἀγαπῶσί σε, Κύριε· ἐν οἷς δεδοξασμένος ὑπάρχεις εἰς τοὺς αἰῶνας. Ἀμήν. ΕΥΧΗ Β'.ΤΟΥΑΥΤΟΥ. Οἶδα, Κύριε, ὅτι ἀναξίως μεταλαμβάνω τοῦ ἀχράντου σου Σώματος καὶ τοῦ τιμίου σου Αἵματος καὶ ἔνοχὸς εἰμι καὶ κρῖμα ἐμαυτῷ ἐσθίω καὶ πίνω, μὴ διακρίνων τὸ Σῶμα καὶ τὸ Αἷμα σοῦ τοῦ Χριστοῦ καὶ Θεοῦ μου· ἀλλὰ τοῖς οἰκτιρμοῖς σου θαῤῥῶν, προσέρχομαί σοι τῷ εἰπόντι. Ὁ τρώγων μου τὴν Σάρκα καὶ πίνων μου τὸ Αἷμα ἐν ἐμοὶ μένει, κἀγὼ ἐναὐτῷ. Σπλαγχνίσθητι οὖν, Κύριε, καὶ μὴ παραδειγματίσῃς με τὸν ἁμαρτωλόν, ἀλλὰ ποίη-			καί Αἷμα σου, καί νά σέ ἔχω, νά κατοικεῖς μέσα μου καί νά μένεις μαζί μέ τόν Πατέρα καί τό Ἅγιο Πνεῦμα. Ναί, Κύριε Ἰησοῦ Χριστέ, Θεέ μου· καί ἄς μή γίνει γιά μένα αἰτία καταδίκης ἡ μετάληψη (ἡ Θεία κοινωνία) τῶν ἀχράντων (ἁγνῶν) καί ζωοποιῶν Μυστηρίων σου, οὔτε νά ἀσθενήσω ψυχικά καί σωματικά, ἐξ αἰτίας τοῦ ὅτι μεταλαμβάνω ἀπ' αὐτά ἀνάξια· Ἀλλά δός μου τή δύναμη, μέχρι τήν τελευταία μου ἀναπνοή νά ὑποδέχομαι χωρίς καταδίκη τή μερίδα τῶν ἁγίων δώρων σου, γιά νά συμμετάσχω στό Ἅγιο Πνεῦμα, γιά νά εἶναι ἐφόδιο αἰωνίου ζωῆς, καί νά ἔχω εὐπρόσδεκτη ἀπολογία μπροστά στό φοβερό βῆμα σου· Ὥστε κι ἐγώ μαζί μέ ὅλους τούς ἐκλεκτούς σου, νά γίνω μέτοχος στά καθαρά ἀγαθά σου, τά ὁποῖα ἑτοίμασες γι' αὐτούς πού σέ ἀγαποῦν, Κύριε· ἀνάμεσα στούς ὁποίους εἶσαι δοξασμένος αἰώνια. Ἀμήν. ΕΥΧΗ Β'. ΤΟΥ ΙΔΙΟΥ. Γνωρίζω, Κύριε, ὅτι ἀνάξια μεταλαμβάνω τό ἀμόλυντό σου Σῶμα καί τό τίμιό σου Αἷμα, καί εἶμαι ἔνοχος, καί τρώγω καί πίνω καταδίκη γιά τόν ἑαυτό μου, ἐπειδή δέν διακρίνω τό Σῶμα καί τό Αἷμα τοῦ Χριστοῦ καί Θεοῦ μου (ἀπό τά κοινά πράγματα)· ἀλλά παίρνοντας θάρρος ἀπό τήν εὐσπλαχνία σου, ἔρχομαι κοντά σ' ἐσένα πού εἶπες· Αὐτός πού τρώγει τή Σάρκα μου καί πίνει τό Αἷμα μου, μένει μέσα σ' ἐμένα κι ἐγώ μέσα σ' αὐτόν. Σπλαχνίσου με, Κύριε, καί μή τιμωρήσεις παραδειγματικά ἐμένα τόν ἁμαρτωλό, ἀλλά πρᾶξε μαζί μου

σον μετ᾽ ἐμοῦ κατὰ τὸ ἔλεός σου· καὶ γενέσθω μοι τὰ ἅγια ταῦτα εἰς ἴασιν καὶ κάθαρσιν καὶ φωτισμὸν καὶ φυλακτήριον καὶ σωτηρίαν καὶ ἁγιασμὸν ψυχῆς τε καὶ σώματος· εἰς ἀποτροπὴν πάσης φαντασίας καὶ πονηρᾶς πράξεως καὶ ἐνεργείας διαβολικῆς, κατὰ διάνοιαν τῆς ἐν τοῖς μέλεσί μου ἐνεργουμένης· εἰς παῤῥησίαν καὶ ἀγάπην τὴν πρὸς σέ· εἰς διόρθωσιν βίου καὶ ἀσφάλειαν· εἰς αὔξησιν ἀρετῆς καὶ τελειότητος· εἰς πλήρωσιν ἐντολῶν· εἰς Πνεύματος ἁγίου κοινωνίαν· εἰς ἐφόδιον ζωῆς αἰωνίου καὶ εἰς ἀπολογίαν εὐπρόσδεκτον, τὴν ἐπὶ τοῦ φοβεροῦ βήματός σου· μὴ εἰς κρῖμα ἢ εἰς κατάκριμα.			σύμφωνα μέ τό ἔλεός σου· καί ἄς γίνουν γιά μένα αὐτά τά ἅγια Δῶρα αἰτία γιά θεραπεία, καί κάθαρση, καί φωτισμό, καί φυλαχτό καί σωτηρία, καί ἁγιασμό καί ψυχῆς καί σώματος, καί ἀπόκρουση κάθε φαντασίας καί πονηρῆς πράξεως, καί ἐνεργείας διαβολικῆς, πού ἐνεργεῖται κατά διάνοια στά μέλη τοῦ σώματός μου, γιά διόρθωση βίου καί ἀσφάλεια, γιά αὔξηση ἀρετῆς καί τελειότητος, γιά τήν ἐκπλήρωση τῶν ἐντολῶν, γιά συμμετοχή τοῦ Ἁγίου Πνεύματος, γιά νά εἶναι ἐφόδιο ζωῆς αἰωνίου καί γιά εὐπρόσδεκτη ἀπολογία πού θά δώσω μπροστά στό δικαστικό σου βῆμα. Ἄς μήν εἶναι αἰτία νά δικασθῶ ἤ νά καταδικασθῶ.
ΕΥΧΗ Γ΄. ΙΩΑΝΝΟΥΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ Κύριε ὁ Θεός μου, οἶδα, ὅτι οὐκ εἰμι ἄξιος οὐδὲ ἱκανός, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς τοῦ οἴκου τῆς ψυχῆς, διότι ὅλη ἔρημος καὶ καταπεσοῦσά ἐστι, καὶ οὐκ ἔχεις παρ᾽ ἐμοὶ τόπον ἄξιον τοῦ κλῖναι τὴν κεφαλήν. Ἀλλ᾽ ὡς ἐξ ὕψους δι᾽ ἡμᾶς ἐταπείνωσας σεαυτόν, συμμετρίασον καὶ νῦν τῇ ταπεινώσει μου. Καὶ ὡς κατεδέξω ἐν τῷ σπηλαίῳ καὶ φάτνῃ ἀλόγων ἀνακλιθῆναι, οὕτω κατάδεξαι καὶ ἐν τῇ φάτνῃ τῆς ἀλόγου μου ψυχῆς καὶ ἐν τῷ ἐσπιλωμένῳ μου σώματι εἰσελθεῖν. Καὶ ὡς οὐκ ἀπηξίωσας εἰσελθεῖν καὶ συνδειπνῆσαι ἁμαρτωλοῖς ἐν τῇ οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, οὕτω κατάδεξαι εἰσελθεῖν καὶ εἰς τὸν οἶκον τῆς ταπεινῆς μου ψυχῆς, τοῦ λεπροῦ καὶ ἁμαρτωλοῦ. Καὶ ὡς οὐκ ἀπώσω τὴν ὁμοίαν μοι πόρνην καὶ			ΕΥΧΗ Γ'. ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ Κύριε καί Θεέ μου, ἀναγνωρίζω ὅτι δέν εἶμαι ἄξιος οὔτε ἱκανός, γιά νά μπεῖς κάτω ἀπό τή στέγη τοῦ οἴκου τῆς ψυχῆς μου, διότι ὁλόκληρη εἶναι ἔρημη καί πεσμένη, καί δέν ἔχεις κοντά μου τόπο ἄξιο, νά γείρεις τό κεφάλι. Ἀλλά ὅπως ἀπό τό ὕψος τοῦ οὐρανοῦ γιά χάρη μας ταπείνωσες τόν ἑαυτό σου, δεῖξε συγκατάβαση καί τώρα στήν ταπεινότητά μου. Καί ὅπως καταδέχθηκες, νά ξαπλώσεις στή σπηλιά τῶν ἀλόγων ζώων, ἔτσι καταδέξου νά εἰσέλθεις καί στή φάτνη τῆς ἄλογης ψυχῆς μου καί στό ρυπαρό σῶμα μου, καί ὅπως δέν ἀπαξίωσες, νά εἰσέλθεις καί νά δειπνήσεις μαζί μέ ἁμαρτωλούς στό σπίτι τοῦ Σίμωνος τοῦ λεπροῦ, ἔτσι καταδέξου νά εἰσέλθεις καί στό σπίτι τῆς ταπεινῆς ψυχῆς ἐμοῦ τοῦ λεπροῦ καί ἁμαρτωλοῦ. Καί ὅπως δέν ἀπώθησες τήν ὅμοια μ' ἐμένα πόρνη καί ἁμαρτωλή, ὅταν σ' ἐπλησίαζε καί σέ ἄγγιζε, ἔτσι σπλαχνίσου κι ἐμένα τόν ἁμαρτωλό, καθώς σέ πλησιά-

ἁμαρτωλόν, προσερχομένην καὶ ἁπτομένην σου, οὕτω σπλαγχνίσθητι καὶ ἐπ᾽ ἐμοὶ τῷ ἁμαρτωλῷ, προσερχομένῳ σοι καὶ ἁπτομένῳ σου. Καὶ ὡς οὐκ ἐβδελύξω τὸ ῥυπαρὸν ἐκείνης στόμα καὶ ἐναγὲς καταφιλοῦν σε, μηδὲ ἐμοῦ βδελύξῃ τὸ ῥυπαρώτερον ἐκείνης στόμα καὶ ἐναγέστερον, μηδὲ τά ἔμμυσα καὶ ἀκάθαρτά μου χείλη καὶ βέβηλα, καὶ τὴν ἀκαθαρτοτέραν μου γλῶσσαν. Ἀλλὰ γενέσθω μοι ὁ ἄνθραξ τοῦ παναγίου σου Σώματος καὶ τοῦ τιμίου σου Αἵματος εἰς ἁγιασμὸν καὶ φωτισμὸν καὶ ῥῶσιν τῆς ταπεινῆς μου ψυχῆς καὶ τοῦ σώματος· εἰς κουφισμὸν τοῦ βάρους τῶν πολλῶν μου πλημμελημάτων· εἰς φυλακτήριον πάσης διαβολικῆς ἐνεργείας· εἰς ἀποτροπὴν καὶ ἐμπόδιον τῆς φαύλης μου καὶ πονηρᾶς συνηθείας· εἰς ἀπονέκρωσιν τῶν παθῶν· εἰς περιποίησιν τῶν ἐντολῶν σου· εἰς προσθήκην τῆς θείας σου χάριτος καὶ τῆς σῆς βασιλείας οἰκείωσιν. Οὐ γὰρ ὡς καταφρονῶν προσέρχομαί σοι, Χριστὲ ὁ Θεός, ἀλλ᾽ ὡς θαῤῥῶν τῇ ἀφάτῳ σου ἀγαθότητι, καὶ ἵνα μή, ἐπὶ πολὺ ἀφιστάμενος τῆς κοινωνίας σου, θηριάλωτος ὑπὸ τοῦ νοητοῦ λύκου γένωμαι. Διὸ δέομαί σου, ὡς μόνος ὢν ἅγιος, Δέσποτα, ἁγίασόν μου τὴν ψυχὴν καὶ τὸ σῶμα, τὸν νοῦν καὶ τὴν καρδίαν, τοὺς νεφροὺς καὶ τὰ σπλάγχνα, καὶ ὅλον με ἀνακαίνισον καὶ ῥίζωσον τὸν φόβον σου ἐν τοῖς μέλεσί μου, καὶ τὸν ἁγιασμόν σου ἀνεξάλειπτον ἀπ᾽ ἐμοῦ ποίησον. Καὶ γενοῦ μοι βοηθὸς καὶ ἀντιλήπτωρ, κυβερνῶν ἐν εἰρήνῃ τὴν ζωήν μου,			ζω καί σέ ἀγγίζω. Καί ὅπως δέν σιχάθηκες τό ρυπαρό στόμα ἐκείνης καί βέβηλο, ὅταν φιλοῦσε τά πόδια σου, μή σιχαθεῖς οὔτε τό δικό μου στόμα τό πιό ρυπαρό ἀπό ἐκείνης καί πιό βέβηλο, οὔτε τά βρώμικα καί ἀκάθαρτα χείλη καί βέβηλα, καί τήν πιό ἀκάθαρτή μου γλῶσσα. Ἀλλά ἄς γίνει γιά μένα ὁ ἄνθρακας (τό κάρβουνο) τοῦ παναγίου σου Σώματος καί τοῦ τιμίου σου Αἵματος, ἁγιασμός καί φωτισμός καί θεραπεία τῆς ταπεινῆς μου ψυχῆς καί τοῦ σώματος, ἀνακούφιση ἀπό τό βάρος τῶν πολλῶν μου ἁμαρτημάτων, φυλαχτό ἀπό κάθε διαβολική ἐνέργεια· Ἀπόκρουση καί ἐμπόδιο κάθε κακῆς καί πονηρῆς συνηθείας, ἀπονέκρωση τῶν παθῶν, πραγματοποίηση τῶν ἐντολῶν σου, προσθήκη (αὔξηση) τῆς θείας σου χάριτος καί ἀπόκτηση τῆς Βασιλείας σου. Διότι ἔρχομαι κοντά σου ὄχι δείχνοντας περιφρόνηση, ἀλλά ἐπειδή ἔχω θάρρος στήν ἀνέκφραστή σου ἀγαθότητα, καί γιά νά μή κατασπαραχθῶ ἀπό τόν πνευματικό λύκο (τό διάβολο) μένοντας γιά πολύ χρόνο μακριά ἀπό τήν κοινωνία σου. Γι’ αὐτό σέ παρακαλῶ, ἐπειδή εἶσαι μόνος ἅγιος, Κύριε, ἁγίασέ μου τήν ψυχή καί τό σῶμα, τό νοῦ καί τήν καρδιά, τά νεφρά καί τά σπλάχνα, καί ὁλόκληρο ἀνακαίνισέ με καί ρίζωσε τό φόβο σου στά μέλη μου καί κάνε τόν ἁγιασμό σου ἀνεξίτηλο (ἄσβηστο) σ' ἐμένα. Καί γίνε βοηθός μου καί συμπαραστάτης, κυβερνώντας μέ εἰρήνη τή ζωή μου, καταξιώνοντάς με νά σταθῶ στά δεξιά σου μαζί μέ τούς ἁγίους σου· μέ τίς εὐχές καί τίς πρεσβεῖες τῆς πάναγνής σου Μητέρας, τῶν ἀΰλων σου λειτουργῶν (τῶν Ἀγγέλων) καί ἀμόλυντων Δυνάμεων καί ὅλων τῶν ἁγίων, οἱ ὁποῖοι διά μέσου τῶν αἰώνων εὐαρέστησαν ἐνώπιόν σου. Ἀμήν.

καταξιῶν με καὶ τῆς ἐκ τῶν δεξιῶν σου παραστάσεως μετὰ τῶν ἁγίων σου· εὐχαῖς καὶ πρεσβείαις τῆς παναχράντου σου Μητρός, τῶν ἀϋλων σου λειτουργῶν καὶ ἀχράντων Δυνάμεων καὶ πάντων τῶν Ἁγίων, τῶν ἀπ᾽ αἰῶνος σοι εὐαρεστησάντων. Ἀμήν. ΕΥΧΗ Δ΄. ΤΟΥΑΥΤΟΥ. Οὐκ εἰμι ἱκανός, Δέσποτα Κύριε, ἵνα εἰσέλθῃς ὑπὸ τὴν στέγην τῆς ψυχῆς μου· ἀλλ᾽ ἐπειδὴ βούλει σύ, ὡς φιλάνθρωπος, οἰκεῖν ἐν ἐμοί, θαῤῥῶν προσέρχομαι. Κελεύεις, ἀναπετάσω τὰς πύλας, ἃς σὺ μόνοςἐδημιούργησας, καὶ εἰσέρχῃ μετὰ φιλανθρωπίας, ὡς πέφυκας· εἰσέρχῃ καὶ φωτίζεις τὸν ἐσκοτισμένον μου λογισμόν. Πιστεύω ὡς τοῦτο ποιήσεις· οὐ γὰρ Πόρνην προσελθοῦσὰν σοι μετὰ δακρύων ἀπέφυγες, οὐδὲ Τελώνην ἀπεβάλου μετανοήσαντα, οὐδὲ Λῃστὴν ἐπιγνόντα τὴν βασιλείαν σου ἀπεδίωξας, οὐδὲ Διώκτην μετανοήσαντα κατέλιπες, ὃ ἦν· ἀλλὰ τοὺς ὑπὸ τῆς μετανοίας σοι πρσαχθέντας, ἅπαντας ἐν τῷ χορῷ τῶν σῶν φίλων κατέταξας, ὁ μόνος ὑπάρχων εὐλογημένος πάντοτε, νῦν καὶ εἰς τοὺς ἀπεράντους αί αἰῶνας.αἰῶνας. Ἀμήν ΕΥΧΗ Ε᾽.ΤΟΥ ΑΥΤΟΥ. Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός μου, ἄνες, ἄφες, ἱλάσθητι καὶ συγχώρησὸν μοι, τῷ ἁμαρτωλῷ καὶ ἀχρείῳ καὶ ἀναξίῳ δούλῳ σου, τὰ πταίσματα καὶ πλημμελήματα καὶ παραπτώματά μου, ὅσα σοι ἐκ νεότητός μου μέχρι τῆς παρούσης ἡμέρας καὶ			ΕΥΧΗ Δ᾽. ΤΟΥ ΙΔΙΟΥ Δέν εἶμαι ἱκανός, Δέσποτα Κύριε, γιά νά εἰσέλθεις κάτω ἀπό τή στέγη τῆς ψυχῆς μου· ἀλά ἐπειδή Ἐσύ ὡς φιλάνθρωπος θέλεις νά κατοικεῖς μέσα μου, παίρνοντας θάρρος ἔρχομαι σ᾽ ἐσένα. Μέ διατάζεις νά ἀνοίξω τίς πύλες πού Ἐσύ μόνος δημιούργησες, καί μπαίνεις μέ φιλανθρωπία, πού εἶναι φυσική γιά σένα. Μπαίνεις καί φωτίζεις τό σκοτισμένο μου λογισμό. Πιστεύω ὅτι θά τό κάνεις αὐτό· Διότι δέν ἀπέφυγες τήν πόρνη, πού σ᾽ ἐπλησίασε μέ δάκρυα, οὔτε ἀπομάκρυνες τόν τελώνη πού μετανόησε, οὔτε ἔδιωξες τό ληστή, πού ἀναγνώρισε τή Βασιλεία σου, οὔτε τό διώκτη (τόν Παῦλο) πού μετανόησε τόν ἄφησες αὐτό πού ἦταν· Ἀλλά ὅλους αὐτούς πού ἦλθαν κοντά σου μέ τή μετάνοια τούς κατέταξες στή συντροφιά τῶν φίλων σου, Ἐσύ πού εἶσαι μόνος δοξασμένος πάντοτε, καί τώρα καί στούς ἀπέραντους αἰῶνες. Ἀμήν. ΕΥΧΗ Ε᾽. ΤΟΥ ΙΔΙΟΥ. Κύριε Ἰησοῦ Χριστέ, Θεέ μου, ἀπομάκρυνε, ἄφησε, δεῖξε ἔλεος καί συγχώρεσε σ᾽ ἐμένα τόν ἁμαρτωλό καί ἄχρηστο καί ἀνάξιο δοῦλο σου τά πταίσματα καί τίς ἐλλείψεις καί τά παραπτώματά μου, ὅσα ἔσφαλα ἀπό τή νεότητά μου μέχρι αὐτή τήν ἡμέρα καί ὥρα, εἴτε ἐν γνώσει εἴτε ἐν ἀγνοίᾳ, εἴτε

ὥρας ἥμαρτον, εἴτε ἐν γνώσει καὶ ἀγνοίᾳ, εἴτε ἐν λόγοις ἢ ἔργοις ἢ ἐνθυμήμασιν ἢ διανοήμασι καὶ ἐπιτηδεύμασι, καὶ πάσαις μου ταῖς αἰσθήσεσι. Καὶ τῇ πρεσβείᾳ τῆς ἀσπόρως κυησάσης σε παναχράντου καὶ ἀειπαρθένου Μαρίας τῆς Μητρός σου, τῆς μόνης ἀκαταισχύντου ἐλπίδος καὶ προστασίας καὶ σωτηρίας μου, καταξίωσόν με ἀκατακρίτως μεταλαβεῖν τῶν ἀχράντων καὶ ἀθανάτων καὶ ζωοποιῶν καὶ φρικτῶν Μυστηρίων σου, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον· εἰς ἁγιασμὸν καὶ φωτισμὸν καὶ ῥώμην καὶ ἴασιν καὶ ὑγείαν ψυχῆς τε καὶ σώματος· καὶ εἰς ἐξάλειψιν καὶ παντελῆ ἀφανισμὸν τῶν πονηρῶν μου λογισμῶν καὶ ἐνθυμήσεων καὶ προλήψεων καὶ νυκτερινῶν φαντασιῶν τῶν σκοτεινῶν καὶ πονηρῶν πνευμάτων. Ὅτι σοῦ ἐστίν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα καὶ ἡ τιμὴ καὶ ἡ προσκύνησις, σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.			μέ λόγια εἴτε μέ ἔργα, εἴτε μέ ἐνθυμήσεις καί σκέψεις καί πράξεις καί μέ ὅλες μου τίς αἰσθήσεις. Καί μέ τήν πρεσβεία αὐτῆς πού σ' ἐγέννησε χωρίς ἄνδρα, τῆς πάναγνης καί παντοτεινῆς Παρθένου Μαρίας, τῆς Μητέρας σου, πού εἶναι ἡ μόνη ἐλπίδα καί προστασία καί σωτηρία μου, πού δέν μέ ντροπιάζει (δέν μέ ἀπογοητεύει), καταξίωσέ με, χωρίς κατάκριση, νά μεταλάβω τά ἄχραντα (τά ἀμόλυντα) καί ἀθάνατα καί ζωοποιά σου Μυστήρια γιά ἄφεση ἁμαρτιῶν καί γιά ζωή αἰώνια· Γιά ἁγιασμό καί φωτισμό καί σωματική δύναμη καί θεραπεία καί γιά ὑγεία καί ψυχῆς καί σώματος· Καί γιά ἐξάλειψη (σβήσιμο) καί τέλειο ἀφανισμό τῶν πονηρῶν μου λογισμῶν καί ἐνθυμήσεων, καί δεισιδαιμονιῶν καί νυκτερινῶν φαντασιῶν τῶν σκοτεινῶν καί πονηρῶν πνευμάτων. Διότι δική σου εἶναι ἡ Βασιλεία καί ἡ δύναμη καί ἡ δόξα καί ἡ τιμή καί ἡ προσκύνηση, μαζί μέ τόν Πατέρα καί τό ἅγιο Πνεῦμα, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν.
ΕΥΧΗ ΣΤ'. ΙΩΑΝΟΥ ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ Δέσποτα Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ μόνος ἔχων ἐξουσίαν ἀνθρώποις ἀφιέναι ἁμαρτίας, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, πάριδέ μου πάντα τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ πταίσματα, καὶ ἀξίωσόν με ἀκατακρίτως μεταλαβεῖν τῶν θείων καὶ ἐνδόξων καὶ ἀχράντων καὶ ζωοποιῶν σου Μυστηρίων, μὴ εἰς κόλασιν, μὴ εἰς προσθήκην ἁμαρτιῶν, ἀλλ᾽ εἰς καθαρισμὸν καὶ ἁγιασμὸν καὶ ἀῤῥαβῶνα τῆς μελλούσης ζωῆς καὶ βασιλείας· εἰς			ΕΥΧΗ ΣΤ'. ΙΩΑΝΝΟΥ ΔΑΜΑΣΚΗΝΟΥ Δέσποτε Κύριε Ἰησοῦ Χριστέ, Θεέ μας, Ἐσύ πού μόνος ἔχεις ἐξουσία νά συγχωρεῖς τίς ἁμαρτίες στούς ἀνθρώπους ὡς ἀγαθός καί φιλάνθρωπος, παράβλεψε ὅλα μου τά σφάλματα τά ἐν γνώσει καί ἀγνοίᾳ καί ἀξίωσέ με ἀκατάκριτα νά μεταλάβω, τά θεϊκά καί ἔνδοξα καί ἀμόλυντα καί ζωοποιά σου Μυστήρια, ὄχι γιά νά κολασθῶ, ὄχι γιά νά προσθέσω ἁμαρτίες, ἀλλά γιά νά καθαρισθῶ καί νά ἁγιασθῶ, καί νά λάβω προκαταβολή τῆς μέλλουσας ζωῆς καί Βασιλείας, γιά νά εἶναι τεῖχος καί βοήθεια καί ἀνατροπή τῶν ἐναντιοτήτων,

τεῖχος καὶ βοήθειαν καὶ ἀνατροπὴν τῶν ἐναντίων καὶ εἰς ἐξάλειψιν τῶν πολλῶν μου πλημμελημάτων. Σὺ γὰρ εἶ Θεὸς ἐλέους καὶ οἰκτιρμῶν καὶ φιλανθρωπίας, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. ΕΥΧΗ Ζ΄. ΣΥΜΕΩΝΤΟΥ ΝΕΟΥ ΘΕΟΛΟΓΟΥ Ἀπὸ ῥυπαρῶν χειλέων, ἀπὸ βδελυρᾶς καρδίας, ἀπὸ ἀκαθάρτου γλώττης, ἐκ ψυχῆς ἐῤῥυπωμένης, δέξαι δέησιν, Χριστέ μου· καὶ μὴ παρωσάμενός μου, μὴ τοὺς λόγους, μὴ τοὺς τρόπους, μηδὲ τὴν ἀναισχυντίαν, δός μοι παῤῥησίᾳ λέγειν, ἃ βεβούλευμαι, Χριστέ μου, μᾶλλον δὲ καὶ δίδαξόν με, τί με δεῖ ποιεῖν καὶ λέγειν. Ἥμαρτον ὑπὲρ τὴν Πόρνην ἥ, μαθοῦσα ποῦ κατάγεις, μύρον ἐξωνησαμένη, ἦλθε τολμηρῶς ἀλεῖψαι, σοῦ τοὺς πόδας τοῦ Χριστοῦ μου, τοῦ Δεσπότου καὶ Θεοῦ μου. Ὡς ἐκείνην οὐκ ἀπώσω, προσελθοῦσαν ἐκ καρδίας, μηδ᾽ ἐμὲ βδελύξῃ, Λόγε, σοὺς δὲ πάρασχέ μοι πόδας καὶ κρατῆσαι καὶ φιλῆσαι, καὶ τῷ ῥείθρῳ τῶν δακρύων, ὡς πολύτιμήτῳ μύρῳ, τούτους τολμηρῶς ἀλεῖψαι. Πλῦνόν με τοῖς δάκρυσί μου, κάθαρον αὐτοῖς με, Λόγε, ἄφες καὶ τὰ πταίσματά μου, καὶ συγγνώμην πάρασχέ μοι. Οἶδας τῶν κακῶν τὸ πλῆθος, οἶδας καὶ τὰ τραύματά μου· καὶ τοὺς μώλωπας ὁρᾷς μου, ἀλλὰ καὶ τὴν πίστιν οἶδας καὶ τὴν προθυμίαν βλέπεις			καί γιά ἐξάλειψη τῶν πολλῶν μου ἐλλείψεων. Διότι Ἐσύ εἶσαι Θεός ἐλέους καί εὐσπλαχνίας καί φιλανθρωπίας, καί σ' ἐσένα ἀναπέμπουμε τή δόξα, μαζί μέ τόν Πατέρα καί τό Ἅγιο Πνεῦμα, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν. ΕΥΧΗ Ζ'. ΣΥΜΕΩΝ ΤΟΥ ΝΕΟΥ ΘΕΟΛΟΓΟΥ Ἀπό ρυπαρά (ἀκάθαρτα) χείλη, ἀπό σιχαμερή καρδιά, ἀπό ἀκάθαρτη γλῶσσα, ἀπό ψυχή λερωμένη δέξου δέηση, Χριστέ μου· καί χωρίς νά ἀπωθήσεις οὔτε τούς λόγους οὔτε τούς τρόπους οὔτε τήν ἀδιαντροπιά μου, ἐπίτρεψέ μου νά λέγω μέ θάρρος, ὅσα ἔχω σκεφθεῖ, Χριστέ μου, ἀλλά μᾶλλον δίδαξέ με τί πρέπει νά κάνω καί νά λέγω. Ἁμάρτησα περισσότερο ἀπό τήν πόρνη, ἡ ὁποία μόλις ἔμαθε ποῦ φιλοξενεῖσαι, ἀφοῦ ἀγόρασε μύρο, ἦλθε μέ τόλμη νά ἀλείψει τά πόδια σοῦ τοῦ Χριστοῦ μου, τοῦ Δεσπότου καί Θεοῦ μου. Ὅπως δέν ἀπώθησες ἐκείνην, πού σ' ἐπλησίασε μέ τήν καρδιά της, οὔτε ἐμένα μή μέ σιχαθεῖς, Λόγε τοῦ Θεοῦ, ἀντίθετα δός μου τά πόδια σου, καί νά τά κρατήσω, καί νά τά φιλήσω, καί μέ τή ροή τῶν δακρύων, ὅπως μέ πολύτιμο μύρο νά τά ἀλείψω μέ τόλμη. Πλῦνε με μέ τά δάκρυά μου καί μ' αὐτά καθάρισέ με, Λόγε τοῦ Θεοῦ, καί συγχώρησε τά σφάλματά μου, καί δός μου συγγνώμη. Γνωρίζεις τό πλῆθος τῶν κακῶν μου, γνωρίζεις καί τά τραύματά μου· βλέπεις καί τούς μώλωπές μου (τίς μελανιές

καὶ τοὺς στεναγμοὺς ἀκούεις.

Οὐ λανθάνει σε, Θεέ μου, ποιητά μου, λυτρωτά μου, οὐδὲ σταλαγμὸς δακρύων, οὐδὲ σταλαγμοῦ τι μέρος.

Τὸ μὲν ἀκατέργαστόν μου ἔγνωσαν οἱ ὀφθαλμοί σου· ἐπὶ τὸ βιβλίον δέ σου, καὶ τὰ μήπω πεπραγμένα, γεγραμμένα σοι τυγχάνει.

Ἴδε τὴν ταπείνωσίν μου, ἴδε μου τὸν κόπον, ὅσος! καὶ τὰς ἁμαρτίας πάσας ἄφες μοι, Θεὲ τῶν ὅλων, ἵνα καθαρᾷ καρδίᾳ, περιτρόμῳ διανοίᾳ καὶ ψυχῇ συντετριμμένῃ, τῶν ἀχράντων σου μετάσχω καί καὶ πανάγνων μυστηρίων, οἷς ζωοῦται καί θεοῦται πᾶς ὁ τρώγων σε καί πίνων ἐξ εἰλικρινοῦς καρδίας.

Σὺ γὰρ εἶπας, Δέσποτά μου· Πᾶς ὁ τρώγων μου τὴν Σάρκα, πίνων δέ μου καὶ τὸ Αἷμα, ἐν ἐμοὶ μὲν οὗτος μένει, ἐν αὐτῷ δ᾽ ἐγὼ τυγχάνω.

Ἀληθὴς ὁ λόγος πάντως τοῦ Δεσπότου καὶ Θεοῦ μου.

Τῶν γὰρ θείων ὁ μετέχων καί θεοποιοποιῶν χαρίτων, οὔμενουν, οὐκ ἔστι μόνος, ἀλλὰ μετὰ σοῦ, Χριστέ μου, τοῦ φωτὸς τοῦ τρισηλίου, τοῦ φωτίζοντος τὸν κόσμον.

Ἵνα γοῦν μὴ μόνος μένω δίχα σου τοῦ Ζωοδότου, τῆς πνοῆς μου, τῆς ζωῆς μου, τοῦ ἀγαλλιάματός μου, τῆς τοῦ κόσμου σωτηρίας, διὰ τοῦτό σοι προσῆλθον, ὡς ὁρᾷς μετὰ δακρύων καὶ ψυχῆς συντετριμμένης, λύτρον τῶν ἐμῶν πταισμάμου), ἀλλά γνωρίζεις καί τήν πίστη, βλέπεις καί τήν προθυμία καί ἀκοῦς τούς στεναγμούς μου.

Δέν σοῦ διαφεύγει, Θεέ μου, Ποιητά μου Λυτρωτά μου, οὔτε σταλαγματιά ἀπό τά δάκρυά μου οὔτε κάποιο μέρος σταλαγματιᾶς.

Τό ὅτι εἶμαι ἀκαλλιέργητος πνευματικά τό γνωρίζουν τά μάτια σου· καί στό βιβλίο σου εἶναι γραμμένα, καί ὅσα δέν ἔγιναν ἀκόμα.

Δές τήν ταπείνωσή μου, δές πόσος εἶναι ὁ κόπος μου! καί γιά τίς ἁμαρτίες ὅλες, συγχώρησέ με, Θεέ τῶν ὅλων, ὥστε μέ καθαρή καρδιά, μέ φοβισμένη διάνοια, καί μέ συντετριμμένη ψυχή, νά συμμετάσχω στά ἀμόλυντα καί πάναγνα Μυστήρια, μέ τά ὁποῖα ζωοποιεῖται καί θεώνεται κάθε ἕνας πού σέ τρώγει καί πίνει μέ εἰλικρινῆ καρδιά.

Διότι Ἐσύ εἶπες, Κύριέ μου· κάθε ἕνας πού τρώγει τό Σῶμα μου καί πίνει τό Αἷμα μου, αὐτός μένει μέσα μου, κι ἐγώ βρίσκομαι μέσα σ᾽ αὐτόν.

Ἐξάπαντος εἶναι ἀληθινός ὁ λόγος τοῦ Κυρίου καί Θεοῦ μου.

Διότι ὅποιος μετέχει στίς θεϊκές χάρες πού θεοποιοῦν, οὐδέποτε πλέον μένει μόνος, ἀλλά μαζί μ᾽ ἐσένα, Χριστέ μου, τό φῶς τῆς Ἁγίας Τριάδος πού φωτίζει τόν κόσμο.

Γιά νά μή μένω λοιπόν χωριστά ἀπό σένα τό ζωοδότη, τήν πνοή μου, τή ζωή μου, τό ἀγαλλίαμά μου (τή χαρά μου), τή σωτηρία τοῦ κόσμου, γι᾽ αὐτό ἦλθα κοντά σου, ὅπως βλέπεις, μέ δάκρυα καί συντετριμμένη ψυχή, ἱκετεύοντας νά λάβω λύτρωση ἀπό τά ἁμαρτήματά μου, καί νά μεταλάβω

των ἱκετεύων τοῦ λαβεῖν με, καὶ τῶν σῶν ζωοπαρόχων καὶ ἀμέμπτων μυστηρίων μετασχεῖν ἀκατάκριτως, ἵνα μείνῃς, καθὼς εἶπας, μετ᾽ ἐμοῦ τοῦ τρισαθλίου· Ἵνα μή, χωρὶς εὑρών με τῆς σῆς χάριτος, ὁ πλάνος, ἀφαρπάσῃ με δολίως, καὶ πλανήσας ἀπαγάγῃ τῶν θεοποιῶν σου λόγων.			ἀκατάκριτα τά δικά σου ζωοπάροχα καί ἄψογα Μυστήρια, γιά νά μείνεις, ὅπως εἶπες, μαζί μ᾽ ἐμένα τόν τρισάθλιο· Γιά νά μή μέ ἁρπάξει μέ δόλο ὁ πλάνος (ὁ διάβολος) βρίσκοντάς με χωρίς τή χάρη σου, καί μέ ἀπάτη μέ ἀπομακρύνει ἀπό τά λόγια σου, πού δίνουν τή θέωση.
Διὰ τοῦτό σοι προσπίπτω καὶ θερμῶς ἀναβοῶ σοι· Ὡς τὸν Ἄσωτον ἐδέξω, καί καὶ τὴν Πόρνην προσελθοῦσαν, οὕτω δέξαι με τὸν πόρνον καί τὸν ἄσωτον, Οἰκτίρμον, ἐν ψυχῇ συντετριμμένῃ νῦν με προσερχόμενόν σοι.			Γι᾽ αὐτό πέφτω μπροστά σου καί θερμά σοῦ φωνάζω· ὅπως δέχθηκες τόν ἄσωτο, καί τήν πόρνη πού σ᾽ ἐπλησίασε, ἔτσι δέξου κι ἐμένα τόν πόρνο καί ἄσωτο, εὔσπλαχνε, καθώς σέ πλησιάζω μέ ψυχή συντετριμμένη.
Οἶδα, Σῶτερ, ὅτι ἄλλος, ὡς ἐγώ, οὐκ ἔπταισέ σοι οὐδὲ ἔπραξε τὰς πράξεις, ἃς ἐγὼ κατειργασάμην.			Γνωρίζω, Σωτήρα, ὅτι ἄλλος κανείς δέ σοῦ ἔφταιξε, ὅπως ἐγώ, οὔτε ἔπραξε τίς πράξεις, πού ἐγώ πραγματοποίησα.
Ἀλλὰ τοῦτο πάλιν οἶδα, ὡς οὐ μέγεθος πταισμάτων, οὐχ ἁμαρτημάτων πλῆθος, ὑπερβαίνει τοῦ Θεοῦ μου τὴν πολλὴν μακροθυμίαν, καὶ φιλανθρωπίαν ἄκραν.			Ἀλλά γνωρίζω πάλι καί τό ἑξῆς: Ὅτι δηλαδή οὔτε τό μέγεθος τῶν σφαλμάτων, οὔτε τό πλῆθος τῶν ἁμαρτημάτων ξεπερνᾷ τήν πολλή μεγαλοψυχία τοῦ Θεοῦ μου καί τήν κορυφαία του φιλανθρωπία·
Ἀλλ᾽ ἐλαίῳ συμπαθείας, τοὺς θερμῶς μετανοοῦντας, καὶ καθαίρεις καὶ λαμπρύνεις καὶ φωτὸς ποιεῖς μετόχους, κοινωνοὺς Θεότητός σου ἐργαζόμενος ἀφθόνως·			Ἀλλά μέ τό λάδι τῆς συμπάθειάς σου, ὅσους μετανοοῦν θερμά, καί τούς καθαρίζεις, καί τούς κάνεις λαμπρούς, καί τούς κάνεις μετόχους τοῦ φωτός, κάνοντάς τους κοινωνούς τῆς Θεότητός σου πλουσιοπάροχα.
Καί τὸ ξένον καὶ ἀγγέλοις καὶ ἀνθρώπων διανοίαις, ὁμιλεῖς αὐτοῖς πολλάκις, ὥσπερ φίλοις σου γνησίοις.			Καί τό παράξενο καί γιά τούς Ἀγγέλους καί γιά τίς ἀνθρώπινες διάνοιες, συναναστρέφεσαι μαζί τους πολλές φορές ὅπως μέ φίλους σου γνησίους.
Ταῦτα τολμηρὸν ποιεῖ με, ταῦτά με πτεροῖ, Χριστέ μου· καὶ θαῤῥῶν ταῖς σαῖς πλουσίαις πρὸς ἡμᾶς εὐεργεσίαις, χαίρων τε καὶ τρέμων ἅμα, τοῦ πυρὸς μεταλαμβάνω χόρτος ὢν καὶ ξένον θαῦμα!			Αὐτά μέ κάνουν τολμηρό, αὐτά μέ ἀναπτερώνουν, Χριστέ, μου· καί ἔχοντας θάρρος στίς πολλές σου εὐεργεσίες πρός ἐμᾶς, καί χαίροντας καί τρέμοντας συγχρόνως, μεταλαμβάνω ἀπό τή φωτιά, μολονότι εἶμαι χόρτο, καί ὦ παρά-

δροσιζόμενος ἀφράστως ὡσπεροῦν ἡ βάτος πάλαι ἡ ἀφλέκτως καιομένη. Τοίνυν εὐχαρίστῳ γνώμῃ, εὐχαρίστῳ δὲ καρδίᾳ, εὐχαρίστοις μέλεσί μου, τῆς ψυχῆς καὶ τῆς σαρκός μου προσκυνῶ καὶ μεγαλύνω καί δοξάζω σε, Θεέ μου, ὡς εὐλογημένον ὄντα νῦν τε καὶ εἰς τοὺς αἰῶνας. ΕΥΧΗ Η'. ΣΥΜΕΩΝ ΤΟΥΜΕΤΑΦΡΑΣΤΟΥ Ὁ μόνος καθαρὸς καὶ ἀκήρατος Κύριος, ὁ δι᾽ οἶκτον φιλανθρωπίας ἀνεκδιήγητον τὸ ἡμέτερον ὅλον προσλαβόμενος φύραμα, ἐκ τῶν ἁγνῶν καὶ παρθενικῶν αἱμάτων τῆς ὑπερφυῶς κυησάσης σε, Πνεύματος Θείου ἐπελεύσει καὶ εὐδοκίᾳ Πατρὸς ἀϊδίου, Χριστὲ Ἰησοῦ, σοφία Θεοῦ καὶ εἰρήνη καὶ δύναμις· ὁ τῷ προσλήμματί σου τὰ ζωοποιὰ καὶ σωτήρια πάθη καταδεξάμενος, τὸν Σταυρόν, τοὺς ἥλους, τὴν λόγχην, τὸν θάνατον, νέκρωσόν μου τὰ ψυχοφθόρα πάθη τοῦ σώματος. Ὁ τῇ ταφῇ σου τὰ τοῦ ᾅδου σκυλεύσας βασίλεια, θάψον μου διὰ τῶν ἀγαθῶν λογισμῶν τὰ πονηρὰ διαβούλια, καὶ τὰ τῆς πονηρίας πνεύματα διασκέδασον. Ὁ τῇ τριημέρῳ σου καὶ ζωηφόρῳ Ἀναστάσει τὸν πεπτωκότα προπάτορα ἀναστήσας, ἀνάστησόν με τῇ ἁμαρτίᾳ κατολισθήσαντα, τρόπους μοι μετανοίας ὑποτιθέμενος. Ὁ τῇ ἐνδόξῳ σου Ἀναλήψει τῆς σαρκὸς θεώσας τὸ πρόσλημμα καὶ τοῦτο τῇ δεξιᾷ καθέδρᾳ τιμήσας τοῦ Πατρός, ἀξίωσόν με, διὰ τῆς τῶν ἁγίων σου μυστηρίων μεταλήψεως, τῆς δεξιᾶς μερίδος τῶν σῳζομένων τυχεῖν. Ὁ τῇ ἐπιδημίᾳ τοῦ			δοξο θαῦμα! δροσιζόμενος ἀνέκφραστα, ὅπως παλαιά ἡ βάτος, πού φλεγόταν χωρίς νά καίεται. Λοιπόν μέ εὐχάριστη γνώμη καί εὐχάριστη καρδιά, μέ χαρούμενα τά μέλη τῆς ψυχῆς καί τοῦ σώματος σέ προσκυνῶ καί σέ μεγαλύνω καί σέ δοξάζω, Θεέ μου, ἐπειδή εἶσαι δοξασμένος καί τώρα καί στούς αἰῶνες. ΕΥΧΗ Η'. ΣΥΜΕΩΝ ΤΟΥ ΜΕΤΑΦΡΑΣΤΟΥ Ὁ μόνος καθαρός καί ἅγιος Κύριος, ὁ ὁποῖος ἀπό εὐσπλαχνία φιλανθρωπίας ἀνέκφραστη προσέλαβες ὅλη τή δική μας οὐσία ἀπό τά ἁγνά καί παρθενικά αἵματα ἐκείνης πού σ' ἐκυοφόρησε μέ τόν ἐρχομό τοῦ Ἁγίου Πνεύματος καί μέ τήν εὐαρέσκεια τοῦ αἰώνιου Πατέρα, Χριστέ Ἰησοῦ, πού εἶσαι ἡ σοφία τοῦ Θεοῦ καί ἡ εἰρήνη καί ἡ δύναμη· Ἐσύ πού παίρνοντας τή σάρκα μας καταδέχθηκες τά ζωοποιά καί σωτήρια πάθη, δηλαδή τό Σταυρό, τά καρφιά, τή λόγχη, τό θάνατο, νέκρωσέ μου τά ψυχοφθόρα πάθη τοῦ σώματος. Ἐσύ πού μέ τήν ταφή σου λαφυραγώγησες (ἀπογύμνωσες) τά βασίλεια τοῦ ᾅδη, θάψε μέ τούς ἀγαθούς λογισμούς τίς πονηρές σκέψεις, καί διασκόρπισε τά πνεύματα τῆς πονηρίας. Ἐσύ πού μέ τήν τριήμερη καί ζωηφόρο Ἀνάστασή σου ἀνέστησες τόν προπάτορα (τόν Ἀδάμ), πού εἶχε πέσει, ἀνάστησε ἐμένα πού γλίστρησα ἐξ αἰτίας τῆς ἁμαρτίας ὑποδεικνύοντάς μου τρόπους μετανοίας. Ἐσύ πού μέ τήν ἔνδοξή σου Ἀνάληψη θέωσες αὐτό πού πῆρες, τή σάρκα τήν ἀνθρώπινη, καί τήν τίμησες μέ τό νά καθίσει στά δεξιά τοῦ Πατρός, ἀξίωσέ με μέ τή μετάληψη (θεία κοινωνία) τῶν ἁγίων σου Μυστηρίων, νά βρεθῶ στή μερίδα τῶν σωζομένων. Ἐσύ πού μέ τήν ἐπιφοίτηση τοῦ Ἁγίου Πνεύματος (τοῦ Πα-

Παρακλήτου Πνεύματος σκεύη τίμια τοὺς ἱερούς σου μαθητὰς ἐργασάμενος, δοχεῖον κἀμὲ τῆς αὐτοῦ ἀνάδειξον ἐπελεύσεως. Ὁ μέλλων πάλιν ἔρχεσθαι κρῖναι τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, εὐδόκησον κἀμὲ προϋπανῆσαὶ σοι ἐν νεφέλαις τῷ ποιητῇ καὶ πλάστῃ μου σὺν πᾶσι τοῖς ἁγίοις σου· ἵνα ἀτελευτήτως δοξολογῶ καὶ ἀνυμνῶ σε, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. ΕΥΧΗ Θ'. ΙΩΑΝΝΟΥ ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ Πρὸ τῶν θυρῶν τοῦ ναοῦ σου παρέστηκα καὶ τῶν δεινῶν λογισμῶν οὐκ ἀφίσταμαι, ἀλλὰ σύ, Χριστὲ ὁ Θεός, ὁ Τελώνην δικαιώσας καὶ Χαναναίαν ἐλεήσας καὶ τῷ Ληστῇ παραδείσου πύλας ἀνοίξας, ἄνοιξόν μοι τὰ σπλάγχνα τῆς φιλανθρωπίας σου καὶ δέξαι με προσερχόμενον καὶ ἁπτόμενόν σου, ὡς τὴν Πόρνην καὶ τὴν Αἱμόῤῥουν· ἡ μὲν γάρ, τοῦ κρασπέδου σου ἁψαμένη εὐχερῶς τὴν ἴασιν ἔλαβεν, ἡ δέ, τοὺς σοὺς ἀχράντους πόδας κρατήσασα, τὴν λύσιν τῶν ἁμαρτημάτων ἐκομίσατο. Ἐγὼ δὲ ὁ ἐλεεινός, ὅλον τὸ Σῶμα τολμῶν δεξασθαι, μὴ καταφλεχθείην· ἀλλὰ δέξαι με, ὥσπερ ἐκείνας, καὶ φώτισόν μου τὰ τῆς ψυχῆς αἰσθητήρια, καταφλέγων μου τὰ τῆς ἁμαρτίας ἐγκλήματα, πρεσβείαις τῆς ἀσπόρως τεκούσης σε καὶ τῶν ἐπουρανίων δυνάμεων. Ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. ΕΥΧΗ Ι'. ΙΩΑΝΝΟΥ ΤΟΥΧΡΥΣΟΣΤΟΜΟΥ			ρακλήτου) ἔκανες τούς ἁγίους σου Μαθητές σκεύη πολύτιμα, ἀνάδειξε κι ἐμένα δοχεῖο κατάλληλο γιά τήν ἐπιφοίτησή του. Ἐσύ πού πρόκειται νά ἔλθεις πάλι, γιά νά κρίνεις τήν οἰκουμένη μέ δικαιοσύνη, δῶσε τή χάρη σου, νά σέ προϋπαντήσω κι ἐγώ μέ σύννεφα ἐσένα τόν Ποιητή καί Πλάστη μου μαζί μέ ὅλους τούς Ἁγίους σου· Ὥστε ἀκατάπαυστα νά σέ δοξολογῶ, καί νά σέ ἀνυμνῶ, μαζί μέ τόν ἄναρχό σου Πατέρα καί τό πανάγιο καί ἀγαθό καί ζωοποιό σου Πνεῦμα τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν. ΕΥΧΗ Θ'. ΙΩΑΝΝΟΥ ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ Στέκομαι μπροστά στίς πύλες τοῦ ναοῦ σου καί δέν ἀπομακρύνομαι ἀπό τούς αἰσχρούς λογισμούς· Ἀλλά Ἐσύ, Χριστέ Θεέ μου, πού δικαίωσες τόν τελώνη καί ἐλέησες τή Χαναναία, καί στό ληστή ἄνοιξες τίς πόρτες τοῦ Παραδείσου, ἄνοιξέ μου τά σπλάχνα τῆς φιλανθρωπίας σου, καί δέξου με καθώς σέ πλησιάζω καί σέ ἀγγίζω, ὅπως δέχθηκες τήν πόρνη καί τήν αἱμορροοῦσα· διότι ἡ μία μόλις ἄγγιξε τό ἄκρο τοῦ ἐνδύματός σου, ἔλαβε εὔκολα τή θεραπεία, ἡ ἄλλη πιάνοντας τά ἁγνά πόδια σου ἔλαβε τή συγχώρηση τῶν ἁμαρτημάτων. Κι ἐγώ ὁ ἐλεεινός τολμώντας νά δεχθῶ ὅλο τό Σῶμα σου, νά μήν κατακαῶ· ἀλλά δέξου με ὅπως ἐκεῖνες, καί φώτισε τά αἰσθητήρια τῆς ψυχῆς μου, κατακαίοντας τά ἐγκλήματα τῆς ἁμαρτίας μου, μέ τίς πρεσβεῖες αὐτῆς πού σ' ἐγέννησε χωρίς ἄνδρα, και τῶν ἐπουρανίων Δυνάμεων. Διότι εἶσαι ἄξιος νά δοξολογεῖσαι στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν. ΕΥΧΗ Ι'. ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

Πιστεύω, Κύριε, καὶ ὁμολογῶ ὅτι σὺ εἶ ἀληθῶς ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ ἐλθὼν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. Ἔτι πιστεύω ὅτι τοῦτο αὐτό ἐστι τὸ ἄχραντον Σῶμά σου καὶ τοῦτο αὐτό ἐστι τὸ τίμιον Αἷμά σου. Δέομαι οὖν σου· Ἐλέησόν με καὶ συγχώρησὸν μοι τὰ παραπτώματά μου, τὰ ἑκούσια καὶ τὰ ἀκούσια, τὰ ἐν λόγῳ, τὰ ἐν ἔργῳ, τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ· καὶ ἀξίωσόν με ἀκατακρίτως μετασχεῖν τῶν ἀχράντων σου μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον. Ἀμήν. (Ἀπερχόμενος δὲ μεταλαβεῖν λέγε τοὺς παρόν τας στίχους). ΣΥΜΕΩΝ ΤΟΥ ΜΕΤΑΦΡΑΣΤΟΥ Ἰδού βαδίζω πρός Θείαν Κοινωνίαν, Πλα-στουργέ μη φλέξῃς με τῇ μετουσίᾳ· Πῦρ γάρ ὑπάρχεις τούς ἀναξίους φλέγον. Ἀλλ' οὖν κάθαρον ἐκ πάσης με κηλῖδος. Καί τὸ Τροπάριον· Τοῦ Δείπνου σου τοῦ μυστικοῦ σήμερον, Υἱὲ Θεοῦ, κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ μυστήριον εἴπω· οὐ φίλημά σοι δώ-σω, καθάπερ ὁ Ἰούδας· ἀλλ᾽ ὡς ὁ Λῃστὴς ὁμολογῶ σοι· Μνήσθητί μου, Κύριε, ἐν τῇ Βασιλείᾳ σου. Τούς παρόντας στίχους. Θεουργόν αἷμα φρίξον, ἄνθρωπε, βλέπων, ἄνθραξ γάρ ἐστί τούς ἀναξίους φλέγων· Θεοῦ τό Σῶμα καί θεοῖ με καί τρέφει· Θεοῖ τό πνεῦμα τόν δέ			Πιστεύω, Κύριε, καί ὁμολογῶ, ὅτι Ἐσύ εἶσαι ἀληθινά ὁ Χριστός, ὁ Υἱός τοῦ ζωντανοῦ Θεοῦ, πού ἦλθες στόν κόσμο, νά σώσεις ἁμαρτωλούς μεταξύ τῶν ὁποίων πρῶτος εἶμαι ἐγώ. Ἀκόμα πιστεύω, ὅτι αὐτό τό ἴδιο εἶναι τό ἀμόλυντο Σῶμα σου καί αὐτό τό ἴδιο εἶναι τό τίμιο Αἷμα σου. Σέ παρακαλῶ λοιπόν· ἐλέησέ με καί συγχώρησέ μου τά παραπτώματά μου, τά θελληματικά καί καί τά ἀθέλητα, ὅσα ἔγιναν μέ λόγο καί μέ ἔργο, ὅσα ἔγιναν ἐν γνώσει καί ἐν ἀγνοίᾳ· Καί ἀξίωσέ με ἀκατάκριτα νά μετάσχω στά ἄχραντά σου Μυστήρια, γιά ἄφεση ἁμαρτιῶν καί ζωή αἰώνια. Ἀμήν. (Πλησιάζοντας νά μεταλάβεις λέγε τούς ἑξῆς στίχους). ΣΥΜΕΩΝ ΤΟΥ ΜΕΤΑΦΡΑΣΤΟΥ Νά, βαδίζω πρός τή Θεία Κοινωνία· Πλαστουργέ, μή μέ κάψεις μέ τή συμμετοχή μου· διότι εἶσαι φωτιά πού καίει τούς ἀναξίους. Καθάρισέ με λοιπόν ἀπό κάθε κηλίδα. Καί τὸ Τροπάριο· Στό Δεῖπνο σου τό Μυστικό, σήμερα, Υἱέ Θεοῦ, παράλαβέ με ὡς κοινωνό· Δέν θά ἀποκαλύψω τό Μυστήριο στούς ἐχθρούς σου· δέν θά σοῦ δώσω φίλημα ὅπως ὁ Ἰούδας· Ἀλλά ὅπως ὁ λῃστής σοῦ ὁμολογῶ: Θυμήσου με, Κύριε, στή Βασι-λεία σου. Τούς παρακάτω στίχους. Ἄνθρωπε, βλέποντας τό Αἷμα πού θεοποιεῖ φρίξε· Διότι Εἶναι ἄνθρακας (κάρβουνο) πού καίει τούς ἀναξίους· Τό δέ Σῶμα τοῦ Θεοῦ μέ θεοποιεῖ καί μέ τρέφει· Θεοποιεῖ τό

νοῦν τρέφει ξένως. Καί τά ἑξῆς τροπάρια. Ἠθελξας πόθῳ με, Χριστέ, καὶ ἠλλοίωσας τῷ θείῳ σου ἔρωτι· ἀλλὰ κατάφλεξον πυρὶ ἀΰλῳ τὰς ἁμαρτίας μου, καὶ ἐμπλησθῆναι τῆς ἐν σοὶ τρυφῆς καταξίωσον, ἵνα τὰς δύο σκιρτῶν μεγαλύνω, Ἀγαθέ, παρουσίας σου. Ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου, πῶς εἰσελεύσομαι ὁ ἀνάξιος; Ἐὰν γὰρ τολμήσω συνεισελθεῖν εἰς τὸν νυμφῶνα, ὁ χιτών με ἐλέγχει, ὅτι οὐκ ἔστι τοῦ γάμου, καὶ δέσμιος ἐκβαλοῦμαι ὑπὸ τῶν ἀγγέλων. Καθάρισον, Κύριε, τὸν ῥύπον τῆς ψυχῆς μου καὶ σῶσόν με, ὡς φιλάνθρωπος. Καὶ τὴν παροῦσαν εὐχήν· Δέσποτα φιλάνθρωπε, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός μου, μὴ εἰς κρῖμά μοι γένοιτο τὰ Ἅγια ταῦτα διὰ τὸ ἀνάξιον εἶναί με, ἀλλ᾽ εἰς κάθαρσιν καὶ ἁγιασμὸν ψυχῆς τε καὶ σώματος, καὶ εἰς ἀῤῥαβῶνα τῆς μελλούσης ζωῆς καὶ βασιλείας. Ἐμοὶ δὲ τό προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστι· τίθεσθαι ἐν τῷ Κυρίῳ τὴν ἐλπίδα τῆς σωτηρίας μου. (Καὶ πάλιν)· Τοῦ Δείπνου σου τοῦ μυστικοῦ…. (Ὡς ἀνωτέρω). ΕΥΧΑΡΙΣΤΙΑ ΜΕΤΑΤΗΝ ΘΕΙΑΝ ΜΕΤΑΛΗΨΙΝ Ἐπάν δε τύχῃ τῆς Καλῆς μετουσίας τῶν ζωοποιῶν μυστικῶν δωρημάτων, ὕμνησον εὐθύς, εὐχαρίστησον μέγα, καί τάδε θερμῶς ἐκ ψυχῆς Θεῷ λέγε: Δόξα σοι ὁ Θεός (γ'.).			πνεῦμα καί τρέφει τό νοῦ μου κατά τρόπο παράξενο. Καί τά ἑξῆς τροπάρια. Μέ γοήτευσες, Χριστέ, μέ πόθο καί μέ ἀλλοίωσες μέ τόν θεϊκό σου ἔρωτα· ἀλλά κάψε ἐντελῶς μέ ἄυλη φωτιά τίς ἁμαρτίες μου, καί καταξίωσέ με νά εἶμαι γεμάτος ἀπό τήν ἀπόλαυση πού ὑπάρχει σ' ἐσένα, ὥστε σκιρτώντας νά μεγαλύνω, Ἀγαθέ, τίς δύο παρουσίες σου. Μέσα στίς λαμπρότητες τῶν Ἁγίων σου, πῶς νά μπῶ ἐγώ ὁ ἀνάξιος; Διότι, ἄν τολμήσω νά μπῶ μαζί μέ τούς ἄλλους στό νυμφώνα, μέ ἐλέγχει ὁ χιτώνας, πού δέν εἶναι ἄξιος τοῦ γάμου, καί ἔτσι θά ἀποβληθῶ δεμένος ἀπό τούς Ἀγγέλους. Καθάρισε, Κύριε, τήν ἀκαθαρσία τῆς ψυχῆς μου, καί σῶσε με ὡς φιλάνθρωπος. Καί τήν παρακάτω εὐχή. Δέσποτα φιλάνθρωπε, Κύριε Ἰησοῦ Χριστέ, Θεέ μου, ἄς μή γίνουν γιά μένα αἰτία καταδίκης τά Ἅγια αὐτά Μυστήρια, ἐπειδή εἶμαι ἀνάξιος, ἀλλά ἄς ἀποβοῦν σέ κάθαρση καί ἁγιασμό καί ψυχῆς καί σώματος καί σέ προκαταβολή τῆς μελλοντικῆς ζωῆς καί Βασιλείας. Γιά μένα ὅμως εἶναι καλό τό νά εἶμαι προσκολλημένος στόν Θεό· τό νά ἀναθέτω στόν Θεό τήν ἐλπίδα τῆς σωτηρίας μου. (Καί πάλι). Τοῦ Δείπνου σου τοῦ Μυστικοῦ... (Ὅπως παραπάνω). ΕΥΧΑΡΙΣΤΙΑ ΜΕΤΑΤΗ ΘΕΙΑ ΜΕΤΑΛΗΨΗ Ὅταν γίνεις ἄξιος γιά τήν καλή συμμετοχή στά ζωοποιά μυστηριακά δῶρα, ὕμνησε εὐθύς, εὐχαρίστησε μέ μεγάλη φωνή, καί λέγε στόν Θεό θερμά μέσα ἀπό τήν ψυχή σου· δόξα σοι ὁ Θεός (γ'.).

(Καὶ ἀμέσως τὰς ἐπομένας εὐχαριστηρίους Εὐχάς): ΑΝΩΝΥΜΟΥ Εὐχαριστῶ σοι, Κύριε, ὁ Θεός μου, ὅτι οὐκ ἀπώσω με τὸν ἁμαρτωλόν, ἀλλὰ κοινωνόν με γενέσθαι τῶν ἁγιασμάτων σου κατηξίωσας. Εὐχαριστῶ σοι, ὅτι με τὸν ἀνάξιον μεταλαβεῖν τῶν ἀχράντων σου καὶ ἐπουρανίων δωρεῶν κατηξίωσας. Ἀλλά, Δέσποτα φιλάνθρωπε, ὁ ὑπὲρ ἡμῶν ἀποθανών τε καὶ ἀναστὰς καὶ χαρισάμενος ἡμῖν τὰ φρικτὰ ταῦτα καὶ ζωοποιά σου Μυστήρια, ἐπ᾽ εὐεργεσίᾳ καὶ ἁγιασμῷ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, δὸς γενέσθαι ταῦτα κἀμοὶ εἰς ἴασιν ψυχῆς τε καὶ σώματος, εἰς ἀποτροπὴν παντὸς ἐναντίου, εἰς φωτισμὸν τῶν ὀφθαλμῶν τῆς καρδίας μου, εἰς εἰρήνην τῶν ψυχικῶν μου δυνάμεων, εἰς πίστιν ἀκαταίσχυντον, εἰς ἀγάπην ἀνυπόκριτον, εἰς πλησμονὴν σοφίας, εἰς περιποίησιν τῶν ἐντολῶν σου, εἰς προσθήκην τῆς θείας σου χάριτος καὶ τῆς σῆς Βασιλείας οἰκείωσιν· ἵνα ἐν τῷ ἁγιασμῷ σου δι᾽ αὐτῶν φυλαττόμενος, τῆς σῆς χάριτος μνημονεύω διὰ παντὸς καὶ μηκέτι ἐμαυτῷ ζῶ, ἀλλὰ σοὶ τῷ ἡμετέρῳ Δεσπότῃ καὶ εὐεργέτῃ. Καὶ οὕτω τοῦ τῇδε βίου ἀπάρας ἐπ᾽ ἐλπίδι ζωῆς αἰωνίου, εἰς τὴν ἀίδιον καταντήσω, ἀνάπαυσιν, ἔνθα ὁ τῶν ἑορταζόντων ἦχος ὁ ἀκατάπαυστος καὶ ἡ ἀπέραντος ἡδονὴ τῶν καθορώντων τοῦ σοῦ προσώπου τὸ κάλλος τὸ ἀῤῥητον. Σὺ γὰρ εἶ τὸ ὄντως ἐφετὸν καὶ ἡ ἀνέκφραστος			(Καὶ ἀμέσως τίς ἐπόμενες εὐχαριστήριες Εὐχές): ΑΝΩΝΥΜΟΥ Σέ εὐχαριστῶ, Κύριε, Θεέ μου, διότι δέν μέ ἀπώθησες μακριά ἐμένα τόν ἁμαρτωλό, ἀλλά μέ καταξίωσες νά γίνω κοινωνός (μέτοχος) τῶν ἁγίων δώρων σου. Σέ εὐχαριστῶ, διότι ἐμένα τόν ἀνάξιο μέ καταξίωσες νά μεταλάβω τά ἄχραντα καί ἐπουράνια δῶρα σου. Ἀλλά, Δέσποτα φιλάνθρωπε, πού γιά μᾶς καί πέθανες καί ἀναστήθηκες, καί μᾶς ἐχάρισες τά φρικτά αὐτά καί ζωοποιά σου Μυστήρια, πρός εὐεργεσία τῶν ψυχῶν καί τῶν σωμάτων μας, δῶσε νά ἀποβοῦν αὐτά καί σ᾽ ἐμένα γιά θεραπεία καί ψυχῆς καί σώσώματος, γιά ἀπόκρουση κάθε ἀντιθέτου, γιά φωτισμό τῶν ὀφθαλμῶν τῆς καρδιᾶς μου, γιά εἰρήνη τῶν ψυχικῶν μου δυνάμεων, γιά πίστη πού δέν ντροπιάζει, γιά ἀνυπόκριτη ἀγάπη, γιά πληρότητα σοφίας, γιά πραγματοποίηση τῶν ἐντολῶν σου, γιά αὔξηση τῆς θείας σου χάριτος καί ἀπόκτηση τῆς Βασιλείας σου· Ὥστε φυλαγμένος ἀπό αὐτά στόν ἁγιασμό σου νά θυμᾶμαι παντοτεινά τή δική σου χάρη, καί νά μή ζῶ πλέον γιά τόν ἑαυτό μου, ἀλλά γιά σένα τό δικό μας Κύριο καί εὐεργέτη. Καί ἔτσι φεύγοντας ἀπ᾽ αὐτή τή ζωή μέ τήν ἐλπίδα τῆς αἰώνας ζωῆς, νά καταλήξω στήν αἰώνια ἀνάπαυση, ὅπου εἶναι ὁ ἀπαυστος ἦχος τῶν ἑορταζόντων, καί ἡ ἀπέραντη χαρά, αὐτῶν πού βλέπουν τό ἀνέκφραστο κάλλος τοῦ προσώπου σου. Διότι Ἐσύ εἶσαι τό ἀληθινά ἐπιθυμητό καί ἡ ἀνέκφραστη εὐφροσύνη αὐτῶν πού σέ ἀγαποῦν, Χριστέ Θεέ μας, κι ἐσένα ὑμνεῖ ὅλη ἡ κτίση στούς αἰῶνες. Ἀμήν.

εὐφροσύνη τῶν ἀγαπώντων σε, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σὲ ὑμνεῖ πᾶσα ἡ κτίσις εἰς τοὺς αἰῶνας. Ἀμήν.			ΤΟΥ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΙΟΥ
ΤΟΥ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΙΟΥ			Δέσποτα Χριστέ, Θεέ μας, Βασιλιά τῶν αἰώνων καί Δημιουργέ τῶν πάντων, σέ εὐχαριστῶ γιά ὅλα τά ἀγαθά πού μοῦ ἔδωσες, καί γιά τή Μετάληψη (Θεία Κοινωνία) τῶν ἀχράντων καί ζωοποιῶν σου Μυστηρίων. Σέ παρακαλῶ λοιπόν, ἀγαθέ καί φιλάνθρωπε· φύλαξέ με κάτω ἀπό τή σκέπη σου καί στή σκιά τῶν φτερῶν σου· καί δώρισέ μου, μέ καθαρή συνείδηση μέχρι τήν τελευταία μου ἀναπνοή, νά μετέχω ἐπάξια στά ἅγια δῶρα σου, μέ ἀποτέλεσμα τή συγχώρηση τῶν ἁμαρτιῶν καί τήν αἰώνια ζωή. Διότι Ἐσύ εἶσαι ὁ ἄρτος τῆς ζωῆς, ἡ πηγή τοῦ ἁγιασμοῦ, αὐτός πού δίνει τά ἀγαθά· Καί σ' ἐσένα ἀναπέμπουμε τή δόξα, μαζί μέ τόν Πατέρα καί τό Ἅγιο Πνεῦμα, τώρα καί πάντοτε καί στούς αἰῶνες τῶν αἰώνων. Ἀμήν.
Δέσποτα Χριστὲ ὁ Θεός, βασιλεῦ τῶν αἰώνων καὶ δημιουργὲ τῶν ἁπάντων, εὐχαριστῶ σοι ἐπὶ πᾶσιν, οἷς παρέσχου μοι ἀγαθοῖς, καὶ ἐπὶ τῇ μεταλήψει τῶν ἀχράντων καὶ ζωοποιῶν σου μυστηρίων. Δέομαι οὖν σου, ἀγαθὲ καὶ φιλάνθρωπε· φύλαξόν με ὑπὸ τὴν σκέπην σου καὶ ἐν τῇ τῶν πτερύγων σου σκιᾷ· καὶ δώρησαί μοι ἐν καθαρῷ συνειδότι, μέχρις ἐσχάτης μου ἀναπνοῆς, ἐπαξίως μετέχειν τῶν ἁγιασμάτων σου, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν αἰώνιον. Σὺ γὰρ εἶ ὁ ἄρτος τῆς ζωῆς, ἡ πηγὴ τοῦ ἁγιασμοῦ, ὁ δοτὴρ τῶν ἀγαθῶν· καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.			ΣΥΜΕΩΝ ΤΟΥ ΜΕΤΑΦΡΑΣΤΟΥ
ΣΥΜΕΩΝ ΤΟΥΜΕΤΑΦΡΑΣΤΟΥ			Ἐσύ πού ὡς τροφή μοῦ ἔδωσες θεληματικά τή σάρκα σου, πού εἶσαι φωτιά καί καίεις τούς ἀναξίους, μή μέ κατακάψεις λοιπόν, μή, Πλάστη μου· Μᾶλλον, γιά νά ἑνώσεις τά μέλη μου, πέρασε μέσα σέ ὅλους τούς ἁρμούς (στίς ἀρθρώσεις), στά νεφρά, στήν καρδιά μου. Καί κάψε τά ἀγκάθια ὅλων μου τῶν πταισμάτων·
Ὁ δοὺς τροφήν μοι σάρκα σὴν ἑκουσίως, ὁ πῦρ ὑπάρχων καὶ φλέγων ἀναξίους, μὴ δὴ καταφλέξῃς με, μὴ Πλαστουργέ μου· μᾶλλον δίελθε πρὸς μελῶν μου συνθέσεις, εἰς πάντας ἁρμούς, εἰς νεφρούς, εἰς καρδίαν· φλέξον δ᾽ ἀκάνθας τῶν ὅλων μου πταισμάτων.			Καθάρισε τήν ψυχή μου, ἁγίασε τή διάνοιά μου· στήριξε τά γόνατά μου μαζί μέ τά ὀστά μου· στίς πέντε αἰσθήσεις μου· κράτησέ με ἀκίνητο καρφωμένο στό φόβο σου. Πάντοτε σκέπαζέ με, φρούρησέ με καί φύλαγέ με ἀπό κάθε ἔργο καί
Ψυχὴν κάθαρον, ἁγίασον τὰς φρένας· τὰς ἰγνύας στήριξον ὀστέοις ἅμα· αἰσθήσεων φώτισον ἁπλῆν πεντάδα· ὅλον με τῷ σῷ συγκαθήλωσον φόβῳ. Ἀεὶ σκέπε, φρούρει τε καὶ φύλαττέ με ἐκ			

παντὸς ἔργου καὶ λόγου ψυχοφθόρου. Ἅγνιζε καὶ κάθαρε καὶ ῥύθμιζέ με· κάλλυνε, συνέτιζε καὶ φώτιζέ με· δεῖξόν με σὸν σκήνωμα Πνεύματος μόνου, καὶ μηκέτι σκήνωμα τῆς ἁμαρτίας· Ἵν᾽ ὡς σὸν οἶκον εἰσόδῳ κοινωνίας, ὡς πῦρ με φεύγῃ πᾶς κακοῦργος, πᾶν πάθος. Πρέσβεις φέρω σοι πάντας ἡγιασμένους, τὰς ταξιαρχίας τε τῶν Ἀσωμάτων, τὸν Πρόδρομόν σου, τοὺς σοφοὺς Ἀποστόλους, πρὸς τοῖς δε σὴν ἄχραντον ἁγνὴν Μητέρα· ὧν τὰς λιτάς, εὔσπλαγχνε, δέξαι, Χριστέ μου, καὶ φωτὸς παῖδα τὸν σὸν ἔργασαι λάτριν. Σὺ γὰρ ὑπάρχεις ἁγιασμὸς καὶ μόνος ἡμῶν, ἀγαθέ, τῶν ψυχῶν καὶ λαμπρότης· καὶ σοὶ πρεπόντως, ὡς Θεῷ καὶ Δεσπότῃ, δόξαν ἅπαντες πέμπομεν καθ᾽ ἡμέραν.			λόγο πού φθείρουν τήν ψυχή. Ἐξάγνιζέ με καί καθάριζε καί ρύθμιζέ με· κάνε με καλόν, συνετό καί φώτιζέ με· ἀνάδειξέ με δική σου κατοικία, τοῦ Πνεύματος μόνο, καί ὄχι πλέον κατοικία τῆς ἁμαρτίας· Ὥστε ὡς κατοικία σου μέ τήν εἴσοδο τῆς Θείας Κοινωνίας νά μέ ἀποφεύγει ὡς φωτιά κάθε κακοῦργος, κάθε πάθος. Ὡς πρεσβευτές (μεσολαβητές) σοῦ παρουσιάζω ὅλους πού ἁγιάσθηκαν, καί τά τάγματα τῶν Ἀγγέλων, τόν Πρόδρομό σου, τούς σοφούς Ἀποστόλους, καί μαζί τους τήν ἀμόλυντη ἁγνή Μητέρα σου· αὐτῶν τίς ἱκεσίες δέξου, εὔσπλαχνε Χριστέ μου, καί κάνε υἱό φωτός ἐμένα, πού σέ λατρεύω. Διότι Ἐσύ μόνος, ἀγαθέ, ὑπάρχεις ἁγιασμός μας καί λαμπρότητα τῶν ψυχῶν μας· Καί σ᾽ ἐσένα, ὅπως πρέπει ὡς Θεό καί Κύριο, ἀναπέμπουμε δόξα ὅλοι κάθε μέρα.
ΑΝΩΝΥΜΟΥ Τὸ Σῶμά σου τὸ ἅγιον, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, γένοιτό μοι εἰς ζωὴν αἰώνιον, καὶ τὸ Αἷμά σου τὸ τίμιον εἰς ἄφεσιν ἁμαρτιῶν. Γένοιτο δέ μοι ἡ εὐχαριστία αὕτη εἰς χαράν, ὑγείαν καὶ εὐφροσύνην· καὶ ἐν τῇ φοβερᾷ καὶ δευτέρᾳ ἐλεύσει σου ἀξίωσόν με τὸν ἁμαρτωλὸν στῆναι ἐκ δεξιῶν τῆς σῆς δόξης, πρεσβείαις τῆς παναχράντου σου Μητρός, καὶ πάντων σου τῶν Ἁγίων. Ἀμήν.			ΑΝΩΝΥΜΟΥ Τό Σῶμα σου τό ἅγιο, Δέσποτα Ἰησοῦ Χριστέ Θεέ μας, ἄς γίνει γιά μένα αἰτία γιά ζωή αἰώνια, καί τό Αἷμα σου τό τίμιο γιά ἄφεση (συγχώρηση) ἁμαρτιῶν. Εἴθε νά γίνει γιά μένα αὐτή ἡ εὐχαριστία αἰτία χαρᾶς, ὑγείας καί εὐφροσύνης· Καί κατά τή φοβερή καί δεύτερη παρουσία σου ἀξίωσε ἐμένα τόν ἁμαρτωλό, νά σταθῶ στά δεξιά τῆς δόξας σου· Μέ τίς πρεσβεῖες τῆς πάναγνής σου Μητέρας, καί ὅλων σου τῶν Ἁγίων. Ἀμήν.
ΑΝΩΝΥΜΟΥ ΕΙ Σ ΤΗΝ ΥΠΕΡΑΓ. ΘΕΟΤΟΚΟΝ Παναγία Δέσποινα, Θεοτόκε, τὸ φῶς τῆς ἐσκοτισμένης μου ψυχῆς, ἡ ἐλπίς, ἡ σκέπη, ἡ κα-			ΑΝΩΝΥΜΟΥ ΣΤΗΝ ΥΠΕΡΑΓΙΑ ΘΕΟΤΟΚΟ Παναγία Κυρία, Θεοτόκε, Ἐσύ πού εἶσαι τό φῶς τῆς σκοτισμένης μου ψυχῆς, ἡ ἐλπίδα, ἡ σκέπη, τό καταφύγιο, ἡ πα-

ταφυγή, ἡ παραμυθία, τὸ ἀγαλλίαμά μου, εὐχαριστῶ σοι, ὅτι ἠξίωσάς με τὸν ἀνάξιον κοινωνὸν γενέσθαι τοῦ ἀχράντου Σώματος καὶ τοῦ Τιμίου Αἵματος τοῦ Υἱοῦ σου. Ἀλλ᾽ ἡ τεκοῦσα τὸ ἀληθινὸν φῶς, φώτισὸν μου τοὺς νοητοὺς ὀφθαλμοὺς τῆς καρδίας· ἡ τὴν πηγὴν τῆς ἀθανασίας κυήσασα, ζωοποίησόν με τὸν τεθανατωμένον τῇ ἁμαρτίᾳ, ἡ τοῦ ἐλεήμονος Θεοῦ φιλεύσπλαγχνος Μήτηρ, ἐλέησόν με, καὶ δὸς κατάνυξιν καὶ συντριβὴν ἐν τῇ καρδίᾳ μου καὶ ταπείνωσιν ἐν τοῖς διανοήμασί μου, καὶ ἀνάκλησιν ἐν ταῖς αἰχμαλωσίαις τῶν λογισμῶν μου. Καὶ ἀξίωσόν με, μέχρι τελευταίας μου ἀναπνοῆς, ἀκατακρίτως ὑποδέχεσθαι τῶν ἀχράντων Μυστηρίων τὸν ἁγιασμόν, εἰς ἴασιν ψυχῆς τε καὶ σώματος· καὶ παράσχου μοι δάκρυα μετανοίας καὶ ἐξομολογήσεως, εἰς τὸ ὑμνεῖν καὶ δοξάζειν σε πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. Ὅτι εὐλογημένη καὶ δεδοξασμένη ὑπάρχεις εἰς τοὺς αἰῶνας· Ἀμήν. Ὁ ἱερεύς· Νῦν ἀπολύεις τὸν δοῦλόν σου Δέσποτα κατὰ τὸ ῥῆμα σου ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραήλ. Τρισάγιον. (Τὸ Ἀπολυτίκιον τῆς ἡμέρας καὶ τὸ Θεοτοκίον, τὸ τοῦ Ναοῦ καὶ τὸ Ἀπολυτίκιον καὶ Κοντάκιον			ρηγοριά, τό ἀγαλλίαμά μου (ἡ χαρά μου), σέ εὐχαριστῶ, γιατί ἀξίωσες ἐμένα τόν ἀνάξιο, νά γίνω κοινωνός στό ἀμόλυντο Σῶμα καί τό τίμιο Αἷμα τοῦ Υἱοῦ σου. Ἀλλά Ἐσύ πού γέννησες τό ἀληθινό φῶς, φώτισέ μου τά πνευματικά μάτια τῆς καρδιᾶς· ἐσύ πού κυοφόρησες (κράτησες στά σπλάχνα σου) τήν πηγή τῆς ἀθανασίας, ζωογόνησε ἐμένα πού ἔχω θανατωθεῖ ἀπό τήν ἁμαρτία. Ἐσύ πού εἶσαι ἡ φιλεύσπλαχνη Μητέρα τοῦ ἐλεήμονος Θεοῦ, ἐλέησέ με, καί δῶσε κατάνυξη καί συντριβή στήν καρδιά μου, καί ταπείνωση στίς σκέψεις μου, καί διόρθωση ὅταν οἱ λογισμοί μου αἰχμαλωτίζονται. Καί ἀξίωσέ με μέχρι τήν ταλευταία μου ἀναπνοή, νά ὑποδέχομαι χωρίς καταδίκη τόν ἁγιασμό τῶν ἀχράντων Μυστηρίων, γιά θεραπεία καί ψυχῆς καί σώματος· καί δός μου δάκρυα μετανοίας καί ἐξομολογήσεως, γιά νά ὑμνῶ καί νά δοξάζω ἐσένα ὅλες τίς ἡμέρες τῆς ζωῆς μου. Διότι εἶσαι εὐλογημένη καί δοξασμένη στούς αἰῶνες. Ἀμήν. Ὁ ἱερεύς. Τώρα ἀπόλυσε (ἐλευθέρωσε) ἐμένα τό δοῦλο σου, Δέσποτα, μέ εἰρήνη σύμφωνα μέ τό λόγο σου· Διότι εἶδαν τά μάτια μου τή σωτηρία πού ἔστειλες, τήν ὁποία ἑτοίμασες προσωπικά γιά ὅλους τούς λαούς· Γιά νά εἶναι φῶς, καί ἀποκάλυψη γιά τούς εἰδωλολάτρες καί νά εἶναι δόξα τοῦ λαοῦ σου τοῦ Ἰσραήλ. Τρισάγιο. (Τὸ Ἀπολυτίκιο τῆς ἡμέρας καὶ τὸ Θεοτοκίο, τοῦ Ναοῦ καὶ τὸ Ἀπολυτίκιο καὶ Κοντάκιο τοῦ ἱεροῦ Χρυσοστόμου ἢ τοῦ

τοῦ ἱεροῦ Χρυσοστόμου ἢ τοῦ Μεγάλου Βασιλείου). Ἀπολυτίκιον τοῦ Ἱ. Χρυσοστόμου. Ἡ τοῦ στόματός σου, καθάπερ πυρσός, ἐκλάμψασα χάρις τὴν οἰκουμένην ἐφώτισεν, ἀφιλαργυρίας τῷ κόσμῳ θησαυροὺς ἐναπέθετο, τὸ ὕψος ἡμῖν τῆς ταπεινοφροσύνης ὑπέδειξεν· ἀλλὰ σοῖς λόγοις παιδεύων, πάτερ Ἰωάννη Χρυσόστομε, πρέσβευε τῷ λόγῳ Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν. Κοντάκιον τοῦ Ἱ. Χρυσοστόμου. Ἐκ τῶν οὐρανῶν, ἐδέξω τὴν θείαν χάριν, καὶ διὰ τῶν σῶν, χειλέων πάντας διδάσκεις, προσκυνεῖν ἐν Τριάδι τὸν ἕνα Θεόν· Ἰωάννη Χρυσόστομε, παμμακάριστε ὅσιε· ἐπαξίως εὐφημοῦμέν σε· ὑπάρχεις γὰρ καθηγητής, ὡς τὰ θεῖα σαφῶν. (Εἰ ἐτελέσθη ἡ θεία Λειτουργία τοῦ Μεγάλου Βασιλείου λέγε): Ἀπολυτίκιον τοῦ Μ. Βασιλείου. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος σου, ὡς δεξαμένην τὸν λόγον σου, δι᾽ οὗ θεοπρεπῶς ἐδογμάτισας· τὴν φύσιν τῶν ὄντων ἐτράνωσας, τὰ τῶν ἀνθρώπων ἤθη κατεκόσμησας· βασίλειον ἱεράτευμα, πάτερ ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τό μέγα ἔλεος. Κοντάκιον τοῦ Μ. Βασιλείου. Ὤφθης βάσις ἄσειστος τῇ Ἐκκλησίᾳ, νέμων πᾶσιν ἄσυλον, τὴν κυριότητα βροτοῖς, ἐπισφραγίζων σοῖς δόγμασιν, οὐρανοφάντορ Βασίλειε ὅσιε.			Μεγάλου Βασιλείου). Ἀπολυτίκιον τοῦ ἱεροῦ Χρυσοστόμου. Ἡ χάρη τοῦ στόματός σου, πού ἔλαμψε ὡς πυρσός, (ὅπως ὁ φάρος) φώτισε τήν οἰκουμένη· διότι ἐναπέθεσε στόν κόσμο θησαυρούς ἀφιλαργυρίας· ὑπέδειξε σ᾽ ἐμᾶς τό ὕψος τῆς ταπεινοφροσύνης. Ἀλλά ἐκπαιδεύοντάς μας μέ τά δικά σου λόγια, Πάτερ Ἰωάννη Χρυσόστομε, πρέσβευε στόν Λόγο, τόν Χριστό τόν Θεό, νά σωθοῦν οἱ ψυχές μας. Κοντάκιον τοῦ ἱεροῦ Χρυσοστόμου. Ἀπό τούς οὐρανούς δέχθηκες τή θεία χάρη, καί μέ τά δικά σου χείλη διδάσκεις ὅλους, νά προσκυνοῦν Τριαδικά τόν ἕναν Θεό· Ἰωάννη Χρυσόστομε, Παμμακάριστε Ὅσιε (Ἅγιε), ἐπάξια σέ ἐγκωμιάζουμε· Διότι ὑπάρχεις καθηγητής, πού διευκρινίζεις τά θεϊκά πράγματα. (Ἐάν τελέσθηκε ἡ Θεία Λειτουργία τοῦ Μεγάλου Βασιλείου λέγε): Ἀπολυτίκιο τοῦ Μεγάλου Βασιλείου. Σέ ὅλη τή γῆ ἀκούσθηκε ἡ φωνή σου, διότι δέχθηκε τόν λόγο σου· μέ αὐτόν (τό λόγο) ἐδογμάτισες, ὅπως ἁρμόζει στόν Θεό, ἐξύψωσες τή φύση τῶν πραγμάτων πού ὑπάρχουν, καταστόλισες τά ἀνθρώπινα ἤθη, βασιλιά καί ἱερέα. Πάτερ ὅσιε, ἱκέτευε τόν Χριστό τόν Θεό, νά δωρίσει σ᾽ ἐμᾶς τό μέγα ἔλεος. Κοντάκιον τοῦ Μεγάλου Βασιλείου. Ἀποδείχθηκες θεμέλιο ἄσειστο γιά τήν Ἐκκλησία, μοιράζοντας τή χάρη τοῦ Κυρίου ἀναφαίρετη σέ ὅλους τούς ἀνθρώπους, ἐπισφραγίζοντάς την μέ τά διδάγματά σου, Ὅσιε Βασίλειε Οὐρανοφάντορα (αὐτός πού ἀποκαλύπτεις τά

Καί τό: Οὐρανὸς πολύφωτος ἡ Ἐκκλησία, ἀνεδείχθη ἅπαντας φωταγωγοῦσα τοὺς πιστούς, ἐν ᾧ ἑστῶτες κραυγάζωμεν· τοῦτον τὸν Οἶκον στερέωσον, Κύριε. Κύριε, ἐλέησον (ιβ΄.). Δόξα… Καὶ νῦν… Τὴν τιμιωτέραν … κ.λ.π. Ἀπόλυσις. Διὰ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν. ΨΑΛΜΟΙ ΔΙΑΦΟΡΟΙ ΚΑΘΙΣΜΑ Α΄.ΤΟΥΨΑΛΤΗΡΙΟΥ ΨΑΛΜΟΣ Α΄. (1). Μακάριος ἀνήρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη καὶ ἐπὶ καθέδρᾳ λοιμῶν οὐκ ἐκάθισεν. Ἀλλ᾽ ἢ ἐν τῷ νόμῳ Κυρίου τὸ θέλημα αὐτοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός. Καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ, καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀποῤῥυήσεται· καὶ πάντα, ὅσα ἂν ποιῇ, κατευοδωθήσεται.			οὐράνια πράγματα). Καί τό· Οὐρανός πολύφωτος ἀναδείχθηκε ἡ Ἐκκλησία φωτίζοντας ὅλους τους πιστούς, μέσα στόν ὁποῖον εὑρισκόμενοι ἄς κραυγάζουμε: Αὐτόν τό Ναό στερέωσέ τον, Κύριε. Κύριε, ἐλέησον (ιβ΄). Δόξα. Καὶ νῦν. Τὴν τιμιωτέραν… κ.λ.π. Ἀπόλυση. Μέ τίς εὐχές τῶν Ἁγίων Πατέρων μας, Κύριε Ἰησοῦ Χριστέ Θεέ μας, ἐλέησε καί σῶσε μας. Ἀμήν. ΨΑΛΜΟΙ ΔΙΑΦΟΡΟΙ ΚΑΘΙΣΜΑ Α΄. ΤΟΥ ΨΑΛΤΗΡΙΟΥ. ΨΑΛΜΟΣ Α΄. (1). Εἶναι μακάριος ὁ ἄνθρωπος, ὁ ὁποῖος, δέν πορεύθηκε σύμφωνα μέ τίς θελήσεις τῶν ἀσεβῶν, καί δέν στάθηκε στό δρόμο τῶν ἁμαρτωλῶν, καί δέν κάθισε σέ τόπο, ὅπου συναθροίζονται ἄνθρωποι πού εἶναι διεφθαρμένοι καί διαφθείρουν. Ἀλλά ἀντίθετα τό θέλημά του συμφωνεῖ μέ τό νόμο τοῦ Κυρίου, καί μελετᾷ τό νόμο του μέρα καί νύχτα. Καί θά εἶναι ὅπως τό δένδρο τό φυτευμένο δίπλα στά τρεχούμενα νερά, τό ὁποῖο θά ἀποδώσει τόν καρπό του στόν κατάλληλο καιρό, καί τό φύλλο του δέν θά πέσει· Καί ὅλα ὅσα κάνει θά κατευοδωθοῦν.

Οὐχ οὕτως οἱ ἀσεβεῖς, οὐχ οὕτως, ἀλλ᾽ ἢ ὡσεὶ χνοῦς, ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς. Διὰ τοῦτο οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει, οὐδὲ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων· Ὅτι γινώσκει Κύριος ὁδὸν δικαίων, καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται. ΨΑΛΜΟΣ Β΄. (2). Ἱνατί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά; Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ χριστοῦ αὐτοῦ. Διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν καὶ ἀποῤῥίψωμεν ἀφ᾽ ἡμῶν τὸν ζυγὸν αὐτῶν. Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτούς, καὶ ὁ Κύριος ἐκμυκτηριεῖ αὐτούς. Τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς. Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ᾽ αὐτοῦ ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ διαγγέλλων τὸ πρόσταγμα Κυρίου. Κύριος εἶπε πρός με· υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε.			Δέν θά συμβεῖ το ἴδιο μέ τούς ἀσεβεῖς, ὄχι, ἀλλά θά εἶναι ὅπως τό χνοῦδι τό ὁποῖο ἐξεφανίζει ὁ ἄνεμος ἀπό τό πρόσωπο τῆς γῆς. Γι᾽ αὐτό δέν θά μπορέσουν νά σταθοῦν ὄρθιοι οἱ ἀσεβεῖς κατά τήν κρίση τοῦ Θεοῦ, οὔτε οἱ ἁμαρτωλοί θά τολμήσουν νά βρεθοῦν στή σύναξη τῶν Δικαίων· Γιατί ὁ Θεός ἀναγνωρίζει καί ἐπιδοκιμάζει τά ἔργα τῶν Δικαίων, ἐνῷ τά ἔργα τῶν ἀσεβῶν θά καταστραφοῦν καί θά χαθοῦν. ΨΑΛΜΟΣ Β΄. (2). Γιατί ἀφηνίασαν ὅπως τά ἀχαλίνωτα ἄλογα τά εἰδωλολατρικά ἔθνη, καί γιατί οἱ λαοί αὐτοί ἔκαναν μάταια σχέδια; Παραστάθηκαν οἱ Βασιλεῖς τῆς γῆς καί οἱ ἄρχοντες συγκεντρώθηκαν ἀπό συμφώνου στόν ἴδιο τόπο κατά τοῦ Κυρίου καί ἐναντίον ἐκείνου (τοῦ Μεσσία), τόν ὁποῖον αὐτός ἔχρισε Προφήτη, Ἱερέα καί Βασιλιά. (Εἶπαν μεταξύ τους)· ἄς συντρίψουμε τά δεσμά τους καί ἄς ἀποτινάξουμε ἀπό πάνω μας τό ζυγό τους (τοῦ Κυρίου καί τοῦ Χριστοῦ του). Ἀλλά αὐτός πού κατοικεῖ στούς οὐρανούς θά τούς περιγελάσει καί ὁ Κύριος θά τούς ἐξευτελίσει. Τότε θά μιλήσει σ᾽ αὐτούς μέ τήν ὀργή του, καί μέ τό θυμό του θά τούς συνταράξει. Ἐγώ ὅμως (ὁ Χριστός του) ἐγκαταστάθηκα ἀπ᾽ αὐτόν ὡς Βασιλιάς στή Σιών ἐπάνω στό ἅγιο ὄρος του, γιά νά διαλαλῶ τό πρόσταγμα τοῦ Κυρίου. Ὁ Κύριος εἶπε σ᾽ ἐμένα· Ἐσύ εἶσαι Υἱός μου, ἐγώ σ᾽ ἐγέννησα προαιώνια ἀπό τήν οὐσία μου, καί σήμερα σέ

Αἴτησαι παρ᾽ ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς. Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, ὡς σκεύη κεραμέως συντρίψεις αὐτούς. Καὶ νῦν, βασιλεῖς, σύνετε, παιδεύθητε, πάντες οἱ κρίνοντες τὴν γῆν. Δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ. Δράξασθε παιδείας, μήποτε ὀργισθῇ Κύριος καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας. Ὅταν ἐκκαυθῇ ἐν τάχει ὁ θυμὸς αὐτοῦ, μακάριοι πάντες οἱ πεποιθότες ἐπ᾽ αὐτῷ. ΨΑΛΜΟΣ Γ'. (3). Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με; πολλοὶ ἐπανίστανται ἐπ᾽ ἐμέ· πολλοὶ λέγουσι τῇ ψυχῇ μου· οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ. Σὺ δέ, Κύριε, ἀντιλήπτωρ μου εἶ, δόξα μου καὶ ὑψῶν τὴν κεφαλήν μου. Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ. (διάψαλμα). Ἐγώ δέ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.			ἀναστήνω ἀπό τόν τάφο. Ζήτησε ἐλεύθερα ἀπό μένα καί θά σοῦ δώσω τά ἔθνη ὡς κληρονομιά σου, καί θά θέσω κάτω ἀπό τήν ἐξουσία σου τά πέρατα τῆς γῆς. Θά τούς κυβερνήσεις μέ σιδερένια ράβδο, θά συντρίψεις τούς ἀνυπότακτους ὡς σκεύη κεραμοποιοῦ. Καί τώρα, βασιλεῖς, συνετισθεῖτε, παιδαγωγηθεῖτε, ἐσεῖς πού κυβερνᾶτε καί δικάζετε τούς λαούς. Ὑπηρετῆστε τόν Κύριο μέ φόβο, γιά νά αἰσθανθεῖτε ἀγαλλίαση, μέ τρόμο, μήπως τόν παροργίσετε μέ κάποια ἁμαρτία. Ἁρπάξετε ἐγκαίρως καί ἐγκολπωθεῖτε τήν παιδαγωγία αὐτή, μήπως γιά τήν ἀμέλειά σας ὀργισθεῖ ὁ Κύριος καί χαθεῖτε ἀπό τόν ἴσιο δρόμο· Ὅταν ἐντός ὀλίγου πυρωθεῖ πολλαπλάσια ὁ θυμός του, τρισευτυχισμένοι θά εἶναι, ὅσοι θά ἔχουν στηρίξει τήν πεποίθησή τους σ' αὐτόν. ΨΑΛΜΟΣ Γ'. (3). Κύριε, γιατί πολλαπλασιάσθηκαν τόσο πολύ αὐτοί πού μέ καταθλίβουν; Πολλοί ἔχουν ξεσηκωθεῖ ἐναντίον μου· πολλοί ἐπιβουλεύονται τή ζωή μου καί λένε· Δέν ὑπάρχει πλέον σωτηρία γι' αὐτόν ἐκ μέρους τοῦ Θεοῦ του. Ἐσύ ὅμως, Κύριε, εἶσαι προστάτης μου, εἶσαι ἡ δόξα μου πού θά ὑψώσεις πάλι τό κεφάλι μου. Μέ τή φωνή μου φώναξα πολλές φορές στόν Κύριο κατά τό παρελθόν, καί μέ ἄκουσε ἀπό τό ἅγιο ὄρος του. Γι' αὐτό τώρα ἐγώ κοιμήθηκα, ξάπλωσα σέ ἤρεμο καί ἀναπαυτικό ὕπνο. Σηκώθηκα αἰσιόδοξος, διότι ὁ Κύριος θά μέ προστατέψει.

Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ τῶν κύκλῳ συνεπιτιθεμένων μοι. Ἀνάστα, Κύριε, σῶσόν με, ὁ Θεός μου, ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως, ὀδόντας ἁμαρτωλῶν συνέτριψας. Τοῦ Κυρίου ἡ σωτηρία, καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου. Δόξα…Καὶ νῦν… Ἀλληλούϊα (γ΄.). Δόξα σοι ὁ Θεός (γ΄.). ΨΑΛΜΟΣ Δ΄. (4). Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσάς μου, ὁ Θεὸς τῆς δικαιοσύνης μου· ἐν θλίψει ἐπλάτυνάς με. Οἰκτείρησόν με καὶ εἰσάκουσον τῆς προσευχῆς μου. Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; ἱνατί ἀγαπᾶτε ματαιότητα καὶ ζητεῖτε ψεῦδος; Καὶ γνῶτε ὅτι ἐθαυμάστωσε Κύριος τὸν ὅσιον αὐτοῦ· Κύριος εἰσακούσεταί μου ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν. Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε· ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε. Θύσατε θυσίαν δικαιοσύνης καὶ ἐλπίσατε ἐπὶ Κύριον. Πολλοὶ λέγουσι· τίς δείξει ἡμῖν τὰ ἀγαθά; Ἐσημειώθη ἐφ᾽ ἡμᾶς τὸ φῶς τοῦ προσώπου			Δέν θά φοβηθῶ ἀπό μυριάδες λαοῦ, πού μοῦ ἐπιτίθενται ἑνωμένοι ἀπό παντοῦ. Σήκω, Κύριε, σῶσε με, Θεέ μου, γιατί εἶμαι βέβαιος, ὅτι Ἐσύ ἔχεις ἤδη συντρίψει, ὅλους ὅσοι μέ ἐχθρεύονται χωρίς λόγο καί αἰτία· Συνέτριψες τά δόντια τῶν ἁμαρτωλῶν. Ἀπό σένα λοιπόν τόν Κύριο θά προέλθει ἡ σωτηρία μου, καί θά σταλεῖ ἡ εὐλογία σου στόν λαό σου. Δόξα… καὶ νῦν… Ἀλληλούϊα (γ΄.). Δόξα σοι ὁ Θεός (γ΄.). ΨΑΛΜΟΣ Δ΄. (4). Ὅσες φορές σέ ἐπικαλέσθηκα, μέ ἄκουσες, Θεέ μου, Ἐσύ πού ἀποδίδεις τό δίκαιό μου· σέ θλίψεις μοῦ ἔδωσες ἄνεση. Καί τώρα σπλαχνίσου με καί εἰσάκουσε τήν προσευχή μου. Ἄνθρωποι πού μέ μισεῖτε, ἕως πότε θά ἔχετε σκληρή καρδιά; Γιατί ἀγαπᾶτε νά διαδίδετε μάταιες κατηγορίες καί ἐπιζητεῖτε νά βρεῖτε νέα ψέματα ἐναντίον μου; Μάθετε ὅμως ὅτι κατά τό παρελθόν μέ θαυμαστό τρόπο μέ προστάτεψε ὁ Θεός, ἐμένα τόν ἀφοσιωμένο σ᾽ αὐτόν· ὁ Κύριος θά μέ εἰσακούσει πάλι, ὅταν θά φωνάζω σ᾽ αὐτόν. Ἐσεῖς οἱ ἐχθροί μου ἄς ὀργίζεσθε ἐντίον μου, ἀλλά μήν ἁμαρτάνετε κατά τοῦ Κυρίου· ὅσα κακά μελετᾶτε ἐναντίον μου μόνοι σας κατά τήν ὥρα τοῦ ὕπνου σας, ἀναθεωρῆστε τα, συντριβεῖτε γι᾽ αὐτά καί μετανοῆστε. Προσφέρετε στόν Κύριο θυσία· πού συνοδεύεται ἀπό ἔργα ἀρετῆς, καί στηρίξετε πλέον τίς ἐλπίδες σας στόν Κύριο. Πολλοί ἀπό σᾶς λένε· ποιός θά μᾶς δείξει καί θά μᾶς δώσει τά ἀγαθά; Σ᾽ ἐμᾶς ὅμως, Κύριε, ἔλαμψε τό φῶς τοῦ προσώπου σου.

σου, Κύριε. Ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου· ἀπὸ καρποῦ σίτου, οἴνου καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν. Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω, ὅτι σύ, Κύριε, κατὰ μόνας ἐπ᾽ ἐλπίδι κατῴκισάς με. ΨΑΛΜΟΣ Ε'. (5). Τά ρήματά μου ἐνώτισαι, Κύριε, σύνες τῆς κραυγῆς μου· Πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ὁ βασιλεύς μου καὶ ὁ Θεός μου. Ὅτι πρὸς σὲ προσεύξομαι, Κύριε· Τὸ πρωΐ εἰσακούσῃ τῆς φωνῆς μου, τὸ πρωΐ παραστήσομαί σοι καὶ ἐπόψει με, ὅτι οὐχὶ Θεὸς θέλων ἀνομίαν σὺ εἶ· Οὐ παροικήσει σοι πονηρευόμενος, οὐδὲ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου. Ἐμίσησας πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν· ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος. Ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται Κύριος. Ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου εἰσελεύσομαι εἰς τὸν οἶκόν σου, προσκυνήσω πρὸς ναὸν ἅγιόν σου ἐν φόβῳ σου. Κύριε, ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου ἕνεκα τῶν ἐχθρῶν μου, κατεύθυνον ἐνώπιόν σου			Ἔδωσες Ἐσύ εὐφροσύνη στήν καρδιάμου, (τήν ὁποία δέν γνωρίζουν, οἱ ἁμαρτωλοί)· μολονότι εἶναι γεμάτοι ἀπό τούς καρπούς τῆς γῆς, σιτάρι, κρασί καί λάδι. Μέ εἰρήνη θά κοιμηθῶ καί θά χορτάσω τόν ὕπνο μου, διότι Ἐσύ Κύριε, ἄν καί εἶμαι μόνος, μέ προστατεύεις, καί μέ κάνεις νά ζῶ γεμάτος ἐλπίδα σ' ἐσένα. ΨΑΛΜΟΣ Ε'. (5). Κύριε, δέξου τά λόγια μου στήν ἀκοή σου, κατανόησε τήν κραυγή μου. Πρόσεξε τή φωνή τῆς δεήσεώς μου, Ἐσύ ὁ Βασιλιάς καί ὁ Θεός μου· διότι σ' ἐσένα θά προσευχηθῶ, Κύριε. Τά ξημερώματα θά εἰσακούσεις τή φωνή μου. Τό πρωΐ θά παρουσιασθῶ μπροστά σου καί θά μέ δεῖς μέ εὐμένεια· Διότι Ἐσύ εἶσαι Θεός, πού δέν θέλεις τήν ἀνομία. Δέν θά κατοικήσει κοντά σου ἄνθρωπος πού σκέπτεται πονηρά, οὔτε θά παραμείνουν παράνομοι μπροστά στά μάτια σου. Μίσησες ὅλους πού ἐργάζονται τήν ἀνομία, θά ἐξολοθρεύσεις ὅλους πού ψεύδονται συστηματικά. Τόν ἄνθρωπο τό φονιά καί τόν δόλιο τόν σιχαίνεται ὁ Κύριος. Ἐγώ ὅμως στηριζόμενος στό πλῆθος τοῦ ἐλέους σου, θά μπῶ στόν οἶκο σου, θά προσκυνήσω μέ σεβασμό στό ναό σου τόν ἅγιο. Κύριε, ὁδήγησέ με μέ τή δικαιοσύνη σου εἰς πεῖσμα τῶν ἐχθρῶν μου, κάνε εὐθύ τό δρόμο μου μπροστά σου.

τὴν ὁδόν μου. Ὅτι οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀλήθεια, ἡ καρδία αὐτῶν ματαία· Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν. Κρῖνον αὐτούς, ὁ Θεός. Ἀποπεσάτωσαν ἀπὸ τῶν διαβουλιῶν αὐτῶν· κατὰ τὸ πλῆθος τῶν ἀσεβειῶν αὐτῶν ἔξωσον αὐτούς, ὅτι παρεπίκρανάν σε, Κύριε. Καὶ εὐφρανθείησαν πάντες οἱ ἐλπίζοντες ἐπὶ σέ· εἰς αἰῶνα ἀγαλλιάσονται, καὶ κατασκηνώσεις ἐν αὐτοῖς, καὶ καυχήσονται ἐν σοὶ πάντες οἱ ἀγαπῶντες τὸ ὄνομά σου. Ὅτι σὺ εὐλογήσεις δίκαιον· Κύριε, ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς. ΨΑΛΜΟΣ ΣΤ'. (6). Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με. Ἐλέησόν με, Κύριε, ὅτι ἀσθενής εἰμι· ἴασαί με, Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου, καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα· καὶ σύ, Κύριε, ἕως πότε; Ἐπίστρεψον, Κύριε, ῥῦσαι τὴν ψυχήν μου, σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου. Ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου· ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι; Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου, λούσω καθ᾽ ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω.			Διότι στό στόμα τῶν ἀνόμων δέν ὑπάρχει ἀλήθεια, ἡ καρδιά τους πάντοτε σκέπτεται τά μάταια Ὡς τάφος ἀνοιχτός εἶναι ὁ λάρυγγάς τους, μέ τίς γλῶσσες τους κατασκευάζουν δόλους. Κρῖνε τους, Θεέ μου. Ἄς πέσουν στό κενό (ἄς ἀποτύχουν) τά πονηρά σχέδιά τους. Διῶξε τους μακριά σύμφωνα μέ τό μέγεθος τῶν ἀσεβειῶν τους, διότι σέ πίκραναν πολύ, Κύριε. Καί θά εὐφρανθοῦν ὅλοι οἱ ὁποῖο ἐλπίζουν σ᾽ ἐσένα· θά ἀγάλλονται αἰώνια, καί θά κατασκηνώσεις ἀνάμεσά τους, καί θά καυχῶνται ἐξ αἰτίας σου, ὅλοι πού ἀγαποῦν καί σέβονται τό ὄνομά σου. Διότι Ἐσύ θά εὐλογήσεις τόν δίκαιο. Θά μᾶς στεφανώσεις μέ τή χάρη σου ὡς ὅπλο. ΨΑΛΜΟΣ ΣΤ'. (6). Κύριε, μή μέ ἐλέγξεις αὐστηρά (ὡς ἀμετανόητο) μέ τό θυμό σου, οὔτε νά μέ τιμωρήσεις σκληρά μέ τήν ὀργή σου. Ἐλέησέ με, Κύριε, διότι εἶμαι ἐξασθενημένος· θεράπευσέ με, Κύριε, διότι ταράχθηκαν τά κόκκαλά μου, καί ἡ ψυχή μου εἶναι πολύ ταραγμένη· κι Ἐσύ, Κύριε, μέχρι πότε θά ἀδιαφορεῖς γιά μένα; Ἔλα κοντά μου, Κύριε, λύτρωσε τήν ψυχή μου· Σῶσε με γιά χάρη τῆς εὐσπλαχνίας σου. Διότι μετά τό θάνατο δέν μπορεῖ κάποιος, νά σέ θυμᾶται, (ὅπως τώρα)· Καί στόν ᾅδη ποιός θά σέ δοξολογεῖ; Κουράσθηκα ἀπό τό στεναγμό μου, κάθε νύχτα βρέχω τό κρεββάτι μου, μέ τά δάκρυά μου βρέχω τό στρῶμα μου.

Ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου, ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου. Ἀπόστητε ἀπ᾽ ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ὅτι εἰσήκουσε Κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου· Ἤκουσε Κύριος τῆς δεήσεώς μου, Κύριος τὴν προσευχήν μου προσεδέξατο. Αἰσχυνθείησαν καὶ ταραχθείησαν σφόδρα πάντες οἱ ἐχθροί μου, ἀποστραφείησαν καὶ καταισχυνθείησαν σφόδρα διὰ τάχους. Δόξα…Καὶ νῦν… Ἀλληλούΐα (γ΄.). Δόξα σοι ὁ Θεός (γ΄.). ΨΑΛΜΟΣ Ζ΄. (7). Κύριε ὁ Θεός μου, ἐπὶ σοὶ ἤλπισα· σῶσόν με ἐκ πάντων τῶν διωκόντων με καὶ ῥῦσαί με· Μήποτε ἁρπάσῃ ὡς λέων τὴν ψυχήν μου, μὴ ὄντος λυτρουμένου μηδὲ σῴζοντος. Κύριε ὁ Θεός μου, εἰ ἐποίησα τοῦτο, εἰ ἔστιν ἀδικία ἐν χερσί μου· Εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά, ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός· Καταδιώξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν μου καὶ καταλάβοι καὶ καταπατήσαι εἰς γῆν τὴν ζωήν μου καὶ τὴν δόξαν μου εἰς χοῦν κατασκηνώσαι. Ἀνάστηθι, Κύριε, ἐν ὀργῇ σου, ὑψώθητι ἐν τοῖς			Πόνεσαν τά μάτια μου (γιατί κλαίω διαρκῶς) ἐξ αἰτίας τοῦ θυμοῦ σου· Γέρασα ἀπό τά βάσανα καί εἶμαι περιφρονημένος μπροστά στά μάτια τῶν ἐχθρῶν μου. Φύγετε μακριά ἀπό ἐμένα, ὅλοι ὅσοι ἐργάζεσθε τήν ἀνομία, διότι ἄκουσε ὁ Κύριος τή φωνή τοῦ θρήνου μου. Ἄκουσε ὁ Κύριος τή δέησή μου· Ὁ Κύριος δέχθηκε τήν προσευχή μου. Ἂς ντροπιασθοῦν, καί ἂς ταραχθοῦν ὅλοι οἱ ἐχθροί μου· ἂς τραποῦν σέ φυγή, καί ἂς καταντροπιασθοῦν πολύ, καί τώρα ἀμέσως. Δόξα… Καὶ νῦν. Ἀλληλούΐα (γ΄.). Δόξα σοι ὁ Θεός (γ΄.). ΨΑΛΜΟΣ Ζ΄. (7). Κύριε Θεέ μου, σ᾽ ἐσένα στηρίζω τήν ἐλπίδα μου· Σῶσε με ἀπό ὅλους οἱ ὁποῖοι μέ καταδιώκουν καί λύτρωσέ με· Γιά νά μήν ἁρπάξει (ὁ Ἀβεσσαλώμ) ὅπως τό λιοντάρι τή ζωή μου, χωρίς νά ὑπάρχει κάποιος πού νά μέ λυτρώσει οὔτε νά μέ σώσει. Κύριε Θεέ μου, ἐάν ἔκανα αὐτό τό κακό, γιά τό ὁποῖο μέ καταδιώκουν, ἐάν κάποια ἀδικία ἔγινε ἀπό τά χέρια μου σέ βάρος τους· Ἐάν ἀνταπέδωσα κάτι κακό, σ᾽ αὐτούς πού μέ καταδιώκουν, ἂς πέσω νικημένος ἀπό τούς ἐχθρούς μου, ἔρημος καί γυμνός ἀπό κάθε συμπαράσταση· Ἂς καταδιώξει ὁ ἐχθρός τήν ψυχή μου, καί ἂς κυριεύσει καί ἂς καταπατήσει στή γῆ τή ζωή μου, καί ἂς καλύψει τή δόξα μου μέσα στή γῆ. Σήκω, Κύριε, μέ τήν ὀργή σου, δεῖξε τό ὕψος τῆς δυνά-

πέρασι τῶν ἐχθρῶν σου. Ἐξεγέρθητι, Κύριε ὁ Θεός μου, ἐν προστάγματι, ᾧ ἐνετείλω· Καὶ συναγωγὴ λαῶν κυκλώσει σε. Καὶ ὑπὲρ ταύτης εἰς ὕψος ἐπίστρεψον. Κύριος κρινεῖ λαούς. Κρῖνόν με, Κύριε, κατὰ τὴν δικαιοσύνην μου καὶ κατὰ τὴν ἀκακίαν μου ἐπ᾽ ἐμοί. Συντελεσθήτω δὴ πονηρία ἁμαρτωλῶν καὶ κατευθυνεῖς δίκαιον, ἐτάζων καρδίας καὶ νεφροὺς ὁ Θεός. Δικαία ἡ βοήθειά μου παρὰ τοῦ Θεοῦ τοῦ σῴζοντος τοὺς εὐθεῖς τῇ καρδίᾳ. Ὁ Θεὸς κριτὴς δίκαιος καὶ ἰσχυρὸς καὶ μακρόθυμος καὶ μὴ ὀργὴν ἐπάγων καθ᾽ ἑκάστην ἡμέραν. Ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ρομφαίαν αὐτοῦ στιλβώσει, τὸ τόξον αὐτοῦ ἐνέτεινε καὶ ἡτοίμασεν αὐτό· Καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη θανάτου, τὰ βέλη αὐτοῦ τοῖς καιομένοις ἐξειργάσατο. Ἰδοὺ ὠδίνησεν ἀδικίαν, συνέλαβε πόνον καὶ ἔτεκεν ἀνομίαν.			μεώς σου στά πέρατα τῶν ἐχθρῶν σου. Κύριε Θεέ μου, σήκω γιά νά μέ προσυατέψεις σύμφωνα μέ τό νόμο, τόν ὁποῖον ἔχεις διατάξει, νά τιμωροῦνται δηλαδή οἱ ἁμαρτωλοί καί νά ἀμείβονται οἱ καλοί. Καί τότε θά σέ περικυκλώσει πλῆθος λαῶν· καί γι' αὐτή τή συγκέντρωση ἀνέβα στό ὕψος τῆς δικαιοσύνης καί ἀγαθότητάς σου. Ὁ Κύριος θά κρίνει τούς λαούς. Κρῖνε με, Κύριε, σύμφωνα μέ τήν δικαιοσύνη πού ἔχω δείξει ἕως τώρα, καί σύμφωνα μέ τήν ἀθωότητά μου ἀπέναντι τῶν ἐχθρῶν μου, δεῖξε μου τή δική σου ἀγαθότητα. Ἄς λάβει τέλος ἐπί τέλους ἡ κακία τῶν ἁμαρτωλῶν, γιά νά ὁδηγήσεις, Κύριε, τόν δίκαιο στό δρόμο τῆς ἀρετῆς, διότι γνωρίζεις σέ βάθος τίς καρδιές, τίς σκέψεις καί τίς ἐπιθυμίες τῶν ἀνθρώπων, Θεέ μου. Δίκαιη θά εἶναι ἡ βοήθεια σ' ἐμένα, ἐκ μέρους τοῦ Θεοῦ, πού σώζει τούς εἰλικρινεῖς στήν καρδιά. Ὁ Θεός εἶναι κριτής δίκαιος καί ἰσχυρός, καί μεγαλόψυχος, καί δέν ἐπιφέρει τήν ὀργή του καθημερινά ἐναντίον τῶν ἁμαρτωλῶν. Ἐάν ὅμως δέν ἐπιστραφεῖτε μετανοημένοι, ὁ Θεός θά τροχίσει τό σπαθί του, ἤδη τέντωσε τό τόξο του καί τό ἑτοίμασε· Καί γιά τό τόξο αὐτό ἑτοίμασε τά θανατηφόρα βέλη του, τά ὁποῖα ἑτοίμασε, γιά τούς ἁμαρτωλούς πού φλέγονται ἀπό τά πάθη τους. Νά, ὁ ἐχθρός μου καταελήφθηκε ἀπό πόνους ὅπως τοῦ τοκετοῦ γιά τήν ἀδικία σέ βάρος μου· συνέλαβε ἔτσι σχέδιο πόνου (ὀδυνηρό) ἐναντίον μου, κι ἐγέννησε παρανομία πού

Λάκκον ὤρυξε καὶ ἀνέσκαψεν αὐτόν, καὶ ἐμπεσεῖται εἰς βόθρον, ὃν εἰργάσατο·			θά ἀποβεῖ σέ βάρος του. Ἔσκαψε λάκκο πού τόν σκέπασε μέ τέχνη, γιά νά πέσω ἐγώ, ἀλλά αὐτός θά πέσει μέσα στό βόθρο, τόν ὁποῖο μέ τόση τέχνη κατασκεύασε.
Ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ καταβήσεται. Ἐξομολογήσομαι τῷ Κυρίῳ κατὰ τὴν δικαιοσύνην αὐτοῦ καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ Ὑψίστου. ΨΑΛΜΟΣ Η΄.(16-17). Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ· Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν. Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον ἕνεκα τῶν ἐχθρῶν σου τοῦ καταλῦσαι ἐχθρὸν καὶ ἐκδικητήν.			Καί ἐγώ σωσμένος θά ἀνυμνολογῶ τόν Κύριο γιά τή δικαιοσύνη του, καί θά ψάλλω πρός τιμήν τοῦ ὀνόματος τοῦ Κυρίου τοῦ Ὑψιστου. ΨΑΛΜΟΣ.Η. (16-17). Κύριε, ὁ Κύριος ὅλων μας, πόσο ἀξιοθαύμαστο εἶναι τό ὄνομά σου σέ ὅλη τή γῆ· Διότι ὑψώθηκε ἡ μεγαλοπρέπειά σου παραπάνω ἀπό τούς Οὐρανούς. Ἀπό στόμα νηπίων καί βρεφῶν πού θηλάζουν κατασκεύασες (ἄκουσες) ὕμνο σέ πεῖσμα τῶν ἐχθρῶν σου, γιά νά ἐξευτελίσεις καθένα, ὁ ὁποῖος παρουσιάζεται ὡς ἐχθρός καί ἀντίδικός σου.
Ὅτι ὄψομαι τοὺς οὐρανούς, ἔργα τῶν δακτύλων σου, σελήνην καὶ ἀστέρας, ἃ σὺ ἐθεμελίωσας· Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνῄσκῃ αὐτοῦ; ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν;			Διότι βλέπω τούς οὐρανούς πού εἶναι ἔργα τῶν δακτύλων σου, τή σελήνη καί τά ἀστέρια, τά ὁποῖα Ἐσύ τοποθέτησες στό χάος τοῦ οὐρανοῦ. Καί διερωτῶμαι καί λέγω· τί εἶναι ὁ ἄνθρωπος, ὁ τόσο μικρός, ὥστε νά τόν ἐνθυμεῖσαι; Ἤ τί εἶναι ὁ ἀπόγονος τοῦ ἀνθρώπου, ὥστε νά τόν φροντίζεις;
Ἠλάττωσας αὐτὸν βραχύ τι παρ᾽ ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν. Καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου· πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ,			Τόν δημιούργησες λίγο κατώτερο ἀπό τούς Ἀγγέλους, ἀλλά τόν στεφάνωσες μέ δόξα καί τιμή. Καί τόν τοποθέτησες βασιλιά σέ ὅλα τά δημιουργήματά σου· ὅλα τά ὑπέταξες κάτω ἀπό τά πόδια του, τά πρόβατα

πρόβατα, καὶ βόας ἁπάσας, ἔτι δὲ καὶ τὰ κτήνη τοῦ πεδίου· Τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ τοὺς ἰχθύας τῆς θαλάσσης, τὰ διαπορευόμενα τρίβους θαλασσῶν. Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ! Δόξα…Καὶ νῦν… Ἀλληλούϊα (γ΄.). Δόξα σοι ὁ Θεός (γ΄.). Ἡ ἐλπίς ἡμῶν, Κύριε, δόξα σοι. ΠΟΛΥΕΛΕΟΙ. (Οἱ Ψαλμοί αὐτοί ψάλλονται εἰς ἀγρυπνίας καί πανηγυρικούς Ὄρθρους). ΨΑΛΜΟΣ ΜΔ΄. (44). Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν, λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ, ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου. Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων, ἐξεχύθη χάρις ἐν χείλεσί σου· διὰ τοῦτο εὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα. Περίζωσαι τὴν ρομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ, τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου· καὶ ἔντεινον καὶ κατευοδοῦ καὶ βασίλευε ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης, καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου. Τὰ βέλη σου ἠκονημένα, δυνατέ, λαοὶ ὑποκάτω σου πεσοῦνται ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ			καί ὅλα τά βοοειδῆ, ἀκόμη καί τά κτήνη τῆς πεδιάδας· Τά πτηνά τοῦ οὐρανοῦ καί τά ψάρια τῆς θάλασσας, τά ὁποῖα διασχίζουν τίς πορεῖες τῶν θαλασῶν. Κύριε, ὁ Κύριος ὅλων μας, πόσο ἀξιοθαύμαστο εἶναι τό ὄνομά σου σέ ὅλη τῆ γῆ. Δόξα…Καὶ νῦν… Ἀλληλούϊα (γ΄.). Δόξα σοι ὁ Θεός (γ΄.). Ἐσύ ἡ ἐλπίς ἡμῶν, Κύριε, δόξα σοι. ΠΟΛΥΕΛΕΟΙ. (Οἱ Ψαλμοί αὐτοί ψάλλονται σέ ἀγρυπνίες καί πανηγυρικούς Ὄρθρους). ΨΑΛΜΟΣ ΜΔ΄. (44). Ἔβγαλε ἡ καρδιά μου ὡς ξεχείλισμα ἀπό τά βάθη της λόγο ἀγαθό· θέλω νά ἀπαγγείλω τά ἔργα μου (τούς ψαλμούς) στό Βασιλιά· Ἡ γλῶσσα μου τρέχει ὅπως ἡ γραφίδα (ἡ πέννα) τοῦ ταχυγράφου. Εἶσαι ὡραῖος ὡς πρός τό κάλλος ἀπό ὅλους τούς ἀνθρώπους. Ξεχύθηκε χάρη (τό χαμόγελο) στά χείλη σου· γι’ αὐτό σέ εὐλόγησε ὁ Θεός στόν αἰῶνα. Ζώσου τό σπαθί σου ἐπάνω στό μηρό σου, Δυνατέ, ὡς συμπλήρωμα στήν ὡραιότητά σου καί στό κάλλος σου. Καί τέντωσε (τό τόξο σου) καί προχώρα μέ ἐπιτυχία καί βασίλευε, γιά νά ἐπικρατεῖ ἡ ἀλήθεια, μέ πραότητα καί δικαιοσύνη· καί ἡ δύναμη τοῦ δεξιοῦ σου χεριοῦ θά σέ ὁδηγήσει σέ κατορθώματα ἀξιοθαύμαστα. Τά βέλη σου, Δυνατέ, νά εἶναι ἀκονισμένα καί πολλοί ἀπό τούς ἐχθρούς σου, Βασιλιά, νά πέσουν κάτω χτυπημένοι

Βασιλέως. Ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ράβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. Ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. Σμύρνα καὶ στακτὴ καὶ κασσία ἀπὸ τῶν ἱματίων σου ἀπὸ βάρεων ἐλεφαντίνων, ἐξ ὧν εὐφρανάν σε. Θυγατέρας βασιλέων ἐν τῇ τιμῇ σου· παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη. Ἄκουσον, θύγατερ, καὶ ἴδε καὶ κλῖνον τὸ οὖς σου καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου· Καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου, ὅτι αὐτός ἐστι Κύριός σου. Καὶ προσκυνήσεις αὐτῷ. Καὶ θυγάτηρ Τύρου ἐν δώροις· τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ. Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν, ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη, πεποικιλμένη. Ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς, αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι·			στήν καρδιά ἀπ' αὐτά. Ὁ θρόνος σου, Θεέ μου, θά παραμένει αἰώνια. Τό βασιλικό σου σκῆπτρο θά εἶναι σκῆπτρο εὐθύτητας (δικαιοσύνης). Ἀγάπησες τή δικαιοσύνη καί μίσησες τήν ἀνομία· Γι' αὐτό σέ ἔχρισε, Χριστέ Θεέ μου, ὁ Θεός Πατέρας σου μέ τό ἔλαιο τῆς ἀγαλλιάσεως (τό μύρο) περισσότερο ἀπό ὅλους τούς ἄλλους πού ἐχρίσθηκαν μέ αὐτό (βασιλεῖς, ἀρχιερεῖς, προφῆτες). Σμύρνα καί στακτή καί κασία (ἀρώματα) στάζουν ἀπό τά ἐνδύματά σου, μόλις βγαλμένα ἀπό τά ἀνάκτορα τά χρυσελεφάντινα, πού ἡ εὐωδιά τους σέ ἔκανε νά εὐφρανθεῖς. Θυγατέρες βασιλέων ἀποτελοῦν τή συνοδεία σου. Στάθηκε ἡ Βασίλισσα στά δεξιά σου μέ ἱματισμό χρυσοκέντητο ντυμένη. Ἄκουσε, Κόρη, καί δές, καί στρέψε τήν ἀκοή σου, καί ξέχασε τελείως τό λαό σου καί τήν οἰκογένεια τοῦ πατέρα σου· Καί τότε θά ἐπιθυμήσει ὁ Βασιλιάς τήν ὡραιότητά σου· καί ἐπειδή εἶναι Κύριός σου, θά τόν προσκυνήσεις. Καί ἡ πλούσια καί φημισμένη Τύρος θά σοῦ φέρει δῶρα τιμητικά. Καί οἱ ἄρχοντες τῶν λαῶν θά ζητοῦν ἱκετευτικά τήν εὔνοια τοῦ προσώπου σου. Ὅλη ἡ δόξα τῆς θυγατέρας τοῦ Βασιλιᾶ εἶναι ἐσωτερική· Εἶναι ντυμένη καί στολισμένη μέ ἐνδύματα χρυσοκέντητα καί κροσσωτά (μέ κρόσσια). Θά ὁδηγηθοῦν μπροστά στό Βασιλέα παρθένες, πού θά τήν ἀκολουθοῦν, οἱ φίλες της θά ὁδηγηθοῦν μπροστά σου (Βασιλιά).

Ἀπενεχθήσονται ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει, ἀχθήσονται εἰς ναὸν βασιλέως. Ἀντὶ τῶν πατέρων σου ἐγενήθησαν οἱ υἱοί σου· καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν. Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ· διὰ τοῦτο λαοὶ ἐξομολογήσονταί σοι εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ΨΑΛΜΟΣ ΡΛΔ'. (134). Αἰνεῖτε τὸ ὄνομα Κυρίου, αἰνεῖτε, δοῦλοι, Κύριον. Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν. Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθὸς Κύριος· ψάλατε τῷ ὀνόματι αὐτοῦ, ὅτι καλόν· Ὅτι τὸν Ἰακὼβ ἐξελέξατο ἑαυτῷ ὁ Κύριος, Ἰσραὴλ εἰςπεριουσιασμὸν ἑαυτῷ. Ὅτι ἐγὼ ἔγνωκα ὅτι μέγας ὁ Κύριος, καὶ ὁ Κύριος ἡμῶν παρὰ πάντας τοὺς θεούς. Πάντα, ὅσα ἠθέλησεν ὁ Κύριος ἐποίησεν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, ἐν ταῖς θαλάσσαις καὶ ἐν πάσαις ταῖς ἀβύσσοις· Ἀνάγων νεφέλας ἐξ ἐσχάτου τῆς γῆς, ἀστραπὰς εἰς ὑετὸν ἐποίησεν· ὁ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ. Ὃς ἐπάταξε τὰ πρωτότοκα Αἰγύπτου ἀπὸ			Θά ὁδηγηθοῦν μέ εὐφροσύνη καί ἀγαλλίαση· Θά ὁδηγηθοῦν στό Ναό τοῦ Βασιλιᾶ. Ἔτσι στή θέση τῶν γονέων σου πού ἄφησες· θά ἀποκτήσεις πνευματικούς υἱούς, θά τούς τοποθετήσεις ἄρχοντες ἐπάνω σέ ὅλη τή γῆ. (Βασιλιά), θά ὑπενθυμίζω τό ὄνομά σου σέ ὅλες τίς γενιές· γι' αὐτό λαοί θά σέ ὑμνοῦν αἰώνια καί στούς αἰῶνες τῶν αἰώνων. ΨΑΛΜΟΣ ΡΛΔ'. (134). Ὑμνεῖτε τό ὄνομα τοῦ Κυρίου, ὑμνεῖτε, ἐσεῖς οἱ λειτουργοί του τόν Κύριο. Ἐσεῖς πού στέκεσθε καί λειτουργεῖτε στόν οἶκο τοῦ Κυρίου, στίς αὐλές τοῦ ναοῦ τοῦ Θεοῦ μας. Ὑμνεῖτε τόν Κύριο, γιατί εἶναι ἀγαθός ὁ Κύριος· Ψάλατε μέ συνοδεία μουσικῶν ὀργάνων ὕμνους στό ὄνομά του, γιατί αὐτό εἶναι ὡραῖο. Διότι τούς ἀπογόνους τοῦ Ἰακώβ διάλεξε γιά τόν ἑαυτό του ὁ Κύριος, ἐμᾶς τούς Ἰσραηλῖτες ὡς περιουσία του. Γιατί ἐγώ (ὁ Ἰσραήλ) διδάχθηκα καί ἔμαθα, ὅτι ὁ Κύριος εἶναι μέγας, καί ὁ δικός μας Κύριος εἶναι ἀνώτερος ἀπό ὅλους τούς ψεύτικους θεούς. Ὁ Κύριος ἔκανε ὅλα ὅσα θέλησε στόν οὐρανό καί στή γῆ, στίς θάλασες καί σέ ὅλες τίς ἀβύσσους· Εἶναι αὐτός πού σηκώνει τά σύννεφα ἀπό τά πέρατα τῆς γῆς, αὐτός πού μεταβάλλει τίς ἀστραπές σέ βροχή· Εἶναι αὐτός πού βγάζει καί σκορπίζει τούς ἀνέμους του ἀπό τά θησαυροφυλάκιά του· Αὐτός πού χτύπησε μέ θάνατο τά πρωτότοκα τῶν

ἀνθρώπου ἕως κτήνους. Ἐξαπέστειλε σημεῖα καὶ τέρατα ἐν μέσῳ σου, Αἴγυπτε, ἐν Φαραὼ καὶ ἐν πᾶσι τοῖς δούλοις αὐτοῦ. Ὃς ἐπάταξεν ἔθνη πολλὰ καὶ ἀπέκτεινε βασιλεῖς κραταιούς. Τὸν Σηὼν βασιλέα τῶν Ἀμορραίων καὶ τὸν Ὢγ βασιλέα τῆς Βασὰν καὶ πάσας τὰς βασιλείας Χαναάν. Καὶ ἔδωκε τὴν γῆν αὐτῶν κληρονομίαν, κληρονομίαν Ἰσραὴλ λαῷ αὐτοῦ. Κύριε, τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν. Ὅτι κρινεῖ Κύριος τὸν λαὸν αὐτοῦ καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται. Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων· Στόμα ἔχουσι καὶ οὐ λαλήσουσιν, ὀφθαλμοὺς ἔχουσι καὶ οὐκ ὄψονται, Ὦτα ἔχουσι καὶ οὐκ ἐνωτισθήσονται, οὐδὲ γάρ ἐστι πνεῦμα ἐν τῷ στόματι αὐτῶν. Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ καὶ πάντες οἱ πεποιθότες ἐπ᾽ αὐτοῖς. Οἶκος Ἰσραήλ, εὐλογήσατε τὸν Κύριον· οἶκος Ἀαρών, εὐλογήσατε τὸν Κύριον. Οἶκος Λευΐ, εὐλογήσατε τὸν Κύριον· οἱ φοβούμενοι τὸν Κύριον, εὐλογήσατε τὸν Κύριον. Εὐλογητὸς Κύριος ἐκ Σιών, ὁ κατοικῶν			παιδιῶν τῆς Αἰγύπτου, ἀπό τά πρωτότοκα τοῦ ἀνθρώπου, μέχρι τά πρωτότοκα τῶν κτηνῶν. Ἐξαπέστειλε μικρά καί μεγάλα θαύματα στή χώρα σου, Αἴγυπτε, ἐναντίον τοῦ Φαραώ καί ἐναντίον ὅλων τῶν δούλων του. Εἶναι αὐτός πού χτύπησε ἔθνη πολλά καί καί θανάτωσε ἰσχυρούς βασιλεῖς Τόν Σηών τό βασιλιά τῶν Ἀμορραίων καί τόν Ὢγ τόν βασιλιά τῆς Βασάν, καί ὅλους τούς βασιλεῖς τῶν βασιλείων τῆς Χαναάν. Καί ἔδωσε τή χώρα τους κληρονομιά, κληρονομιά στόν Ἰσραήλ τό λαό του. Κύριε, τό ὄνομά σου θά μείνει αἰώνιο, καί θά μνημονεύεται σέ γενιά καί γενιά. Διότι ὁ Κύριος θά ἀποδίδει τό δίκαιο στόν λαό του, καί θά συμπονεῖ τούς δούλους του. Τά εἴδωλα τῶν ἐθνῶν εἶναι ἀσήμι καί χρυσάφι, ἔργα ἀνθρώπινων χεριῶν· Στόμα ἔχουν καί δέν μποροῦν νά μιλήσουν, μάτια ἔχουν καί δεν μποροῦν νά δοῦν, Αὐτιά ἔχουν καί δέν μποροῦν νά ἀκούσουν, οὔτε ὑπάρχει ἀναπνοή στό στόμα τους. Ἂς γίνουν ὅμοιοι μέ αὐτά ὅλοι ὅσοι τά κατασκευάζουν, καί ὅλοι ὅσοι πιστεύουν σ᾽ αὐτά. Ἐσεῖς ὅμως, ὁ λαός τοῦ Ἰσραήλ, δοξολογῆστε τόν Κύριο· ἀπόγονοι τοῦ Ἀαρών, δοξολογῆστε τόν Κύριο. Λευΐτες, δοξολογῆστε τόν Κύριο· ὅσοι φοβᾶσθε καί σέβεσθε τόν Κύριο δοξολογῆστε τόν Κύριο.. Ἂς εἶναι δοξασμένος ὁ Κύριος ἀπό τήν Σιών, αὐτός πού

Ἱερουσαλήμ. ΨΑΛΜΟΣ ΡΛΕ'. (135). Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν ἰῶνα τὸ ἔλεος αὐτοῦ· Ἐξομολογεῖσθε τῷ Θεῷ τῶν θεῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· Ἐξομολογεῖσθε τῷ Κυρίῳ τῶν κυρίων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· Τῷ ποιήσαντι θαυμάσια μεγάλα μόνῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· Τῷ ποιήσαντι τοὺς οὐρανοὺς ἐν συνέσει, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· Τῷ στερεώσαντι τὴν γῆν ἐπὶ τῶν ὑδάτων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· Τῷ ποιήσαντι φῶτα μεγάλα μόνῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· Τὸν ἥλιον εἰς ἐξουσίαν τῆς ἡμέρας, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· Τὴν σελήνην καὶ τοὺς ἀστέρας εἰς ἐξουσίαν τῆς νυκτός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· Τῷ πατάξαντι Αἴγυπτον σὺν τοῖς πρωτοτόκοις αὐτῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, Καὶ ἐξαγαγόντι τὸν Ἰσραὴλ ἐκ μέσου αὐτῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, Ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ, ὅτι εἰς			κατοικεῖ στήν Ἱερουσαλήμ. ΨΑΛΜΟΣ ΡΛΕ'. (135). Δοξολογεῖτε τόν Κύριο, γιατί εἶναι ἀγαθός, γιατί ἡ εὐσπλαχνία του μένει στούς αἰῶνες. Δοξολογεῖτε τόν Θεό πού ἐξουσιάζει τούς ψεύτικους θεούς, γιατί τό ἔλεός του μένει στούς αἰῶνες. Δοξολογεῖτε τόν Κύριο, πού ἐξουσιάζει ὅλους τούς ἄρχοντες τοῦ κόσμου, γιατί ἡ εὐσπλαχνία του μένει στούς αἰῶνες. Δοξολογεῖτε τόν Κύριο πού ἔκανε μόνος μεγάλα καί θαυμαστά ἔργα, γιατί ἡ εὐσπλαχνία του μένει στούς αἰῶνες. Αὐτόν πού δημιούργησε τούς οὐρανούς μέ σοφία, γιατί ἡ εὐσπλαχνία του μένει στούς αἰῶνες. Αὐτόν πού στερέωσε τή γῆ ἐπάνω στά νερά, γιατί ἡ εὐσπλαχνία του μένει στούς αἰῶνες. Αὐτόν πού δημιούργησε τά μεγάλα φῶτα μόνος, γιατί ἡ εὐσπλαχνία του μένει στούς αἰῶνες Αὐτόν πού δημιούργησε τόν ἥλιο, γιά νά ἐξουσιάζει μέ τό φῶς του τήν ἡμέρα, γιατί ἡ εὐσπλαχνία του μένει στούς αἰῶνες. (Δοξολογεῖτε) αὐτόν πού δημιούργησε τή σελήνη καί τά ἄστρα, γιά νά ἐξουσιάζουν τήν νύχτα, γιατί ἡ εὐσπλαχνία του μένει στούς αἰῶνες. (Δοξολογεῖτε) αὐτόν πού χτύπησε μέ θάνατο τήν Αἴγυπτο μαζί μέ τά πρωτότοκά τους, γιατί ἡ εὐσπλαχνία του μένει στούς αἰῶνες, (Δοξολογεῖτε) αὐτόν πού ἔβγαλε τόν Ἰσραήλ ἀπό ἀνάμεσά τους, γιατί ἡ εὐσπλαχνία του μένει στούς αἰῶνες, Τόν ἔβγαλε μέ τό παντοδύναμο χέρι του καί μέ τόν τρο-

τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· Τῷ καταδιελόντι τὴν Ἐρυθρὰν θάλασσαν εἰς διαιρέσεις, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· Καὶ διαγαγόντι τὸν Ἰσραὴλ διὰ μέσου αὐτῆς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, Καὶ ἐκτινάξαντι Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ εἰς θάλασσαν Ἐρυθράν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· Τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ ἐν τῇ ἐρήμῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· Τῷ πατάξαντι βασιλεῖς μεγάλους, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, Καὶ ἀποκτείναντι βασιλεῖς κραταιούς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, Τὸν Σηὼν βασιλέα τῶν Ἀμορραίων, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, Καὶ τὸν Ὢγ βασιλέα τῆς Βασάν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, Καὶ δόντι τὴν γῆν αὐτῶν κληρονομίαν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, Κληρονομίαν Ἰσραὴλ δούλῳ αὐτοῦ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ὅτι ἐν τῇ ταπεινώσει ἡμῶν ἐμνήσθη ἡμῶν ὁ Κύριος, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, Καὶ ἐλυτρώσατο ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· Ὁ διδοὺς τροφὴν πάσῃ σαρκί, ὅτι εἰς τὸν αἰῶνα			μερό βραχίονά του, γιατί ἡ εὐσπλαχνία του μένει στούς αἰῶνες. (Δοξάστε) αὐτόν πού χώρισε τήν Ἐρυθρά θάλασσα στά δύο, γιατί ἡ εὐσπλαχνία του μένει στούς αἰῶνες. (Δοξάστε) αὐτόν πού ὁδήγησε τό λαό τοῦ Ἰσραήλ μέσα ἀπό τή θάλασσα, γιατί ἡ εὐσπλαχνία του μένει στούς αἰῶνες. Καί τίναξε τό Φαραώ καί τή στρατιωτική του δύναμη στήν Ἐρυθρά θάλασσα, γιατί ἡ εὐσπλαχνία του μένει στούς αἰῶνες. Αὐτόν ὁ ὁποῖος ὁδήγησε τό λαό του μέσα ἀπό τήν ἔρημο, γιατί ἡ εὐσπλαχνία του μένει στούς αἰῶνες. (Δοξάστε) αὐτόν πού χτύπησε καί κατέβαλε βασιλεῖς μεγάλους, γιατί ἡ εὐσπλαχνία του μένει στούς αἰῶνες. (Δοξάστε) αὐτόν πού θανάτωσε βασιλεῖς ἰσχυρούς, γιατί ἡ εὐσπλαχνία του μένει στούς αἰῶνες. Τόν Σηών, τόν βασιλιά τῶν Ἀμορραίων, γιατί ἡ εὐσπλαχνία του μένει στούς αἰῶνες. Καί τόν Ὤγ, τόν βασιλιά τῆς Βασάν, γιατί ἡ εὐσπλαχνία του μένει στούς αἰῶνες, Καί σᾶς ἔδωσε τή χώρα τους ὡς κληρονομιά, γιατί ἡ εὐσπλαχνία του μένει στούς αἰῶνες. Κληρονομιά στούς δούλους του τούς Ἰσραηλῖτες, γιατί ἡ εὐσπλαχνία του μένει στούς αἰῶνες. (Δοξάστε) τον, γιατί μᾶς θυμήθηκε στίς ἐθνικές μας συμφορές καί ταπεινώσεις ὁ Κύριος, γιατί ἡ εὐσπλαχνία του μένει στούς αἰῶνες. Καί μᾶς λύτρωσε ἀπό τούς ἐχθρούς μας, γιατί ἡ εὐσπλαχνία του μένει στούς αἰῶνες. Δοξάστε αὐτόν πού δίνει τροφή σέ κάθε τί πού ζεῖ, γιατί

τὸ ἔλεος αὐτοῦ. Ἐξομολογεῖσθε τῷ Θεῷ τοῦ οὐρανοῦ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. ΨΑΛΜΟΣ ΡΛΣΤ'. (136). Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν καὶ ἐκλαύσαμεν ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς Σιών. Ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν· Ὅτι ἐκεῖ ἐπηρώτησαν ἡμᾶς οἱ αἰχμαλωτεύσαντες ἡμᾶς λόγους ᾠδῶν καὶ οἱ ἀπαγαγόντες ἡμᾶς ὕμνον· ᾄσατε ἡμῖν ἐκ τῶν ᾠδῶν Σιών. Πῶς ᾄσωμεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας; Ἐάν ἐπιλάθωμαί σου, Ἰερουσαλήμ, ἐπιλησθείη ἡ δεξιά μου· Κολληθείη ἡ γλῶσσά μου τῷ λάρυγγί μου, ἐὰν μή σου μνησθῶ, Ἐὰν μὴ προανατάξωμαι τὴν Ἰερουσαλὴμ ὡς ἐν ἀρχῇ τῆς εὐφροσύνης μου. Μνήσθητι, Κύριε, τῶν υἱῶν Ἐδὼμ τὴν ἡμέραν Ἰερουσαλὴμ τῶν λεγόντων· ἐκκενοῦτε, ἐκκενοῦτε, ἕως τῶν θεμελίων αὐτῆς. Θυγάτηρ Βαβυλῶνος ἡ ταλαίπωρος, μακάριος ὃς ἀνταποδώσει σοι τὸ ἀνταπόδομά σου, ὃ ἀνταπέδωκας ἡμῖν· Μακάριος ὃς κρατήσει καὶ ἐδαφιεῖ τὰ νήπιά			ἡ εὐσπλαχνία του μένει στούς αἰῶνες. Δοξολογεῖτε τόν Θεό τοῦ οὐρανοῦ, γιατί ἡ εὐσπλαχνία του μένει στούς αἰῶνες ΨΑΛΜΟΣ ΡΛΣΤ'. (136). Στίς ὄχθες τῶν ποταμῶν τῆς Βαβυλώνας, ἐκεῖ ἐκαθίσαμε καί κλάψαμε, ὅταν θυμηθήκαμε τήν Ἰερουσαλήμ. Ἐπάνω στίς ἰτιές πού ὑψώνονται ἀνάμεσά τους, κρεμάσαμε τά μουσικά ὄργανά (τῆς λατρείας) μας. Γιατί ἐκεῖ αὐτοί πού μᾶς αἰχμαλώτισαν, μᾶς ζήτησαν νά ψάλουμε ᾄσματα. Καί αὐτοί πού μᾶς ἀπήγαγαν ἀπό τήν Πατρίδα μας, μᾶς εἶπαν: τραγουδῆστε μας ἀπό τά περίφημα ᾄσματα τῆς Πατρίδας σας, τῆς Σιών. Πῶς νά ψάλουμε τό ἱερό ᾆσμα τοῦ Κυρίου σέ ξένη χώρα (μολυσμένη ἀπό τή λατρεία τῶν εἰδώλων); Ἐάν σέ λησμονήσω, Ἰερουσαλήμ (καί παίξω τά ὄργανα μέ τό χέρι μου), ἄς ξεραθεῖ τό δεξιό μου αὐτό χέρι· Ἄς κολλήσει ἡ γλῶσσα μου στό λάρυγγά μου, ἐάν δέ σέ θυμηθῶ, Ἐάν δέν βάλω πρώτη ἐσένα τήν Ἰερουσαλήμ, ὡς ὕψιστη ἀρχή στή χαρά καί ἀγαλλίαση τῆς καρδιᾶς μου πρίν ἀπό κάθε ἄλλο πρᾶγμα. Θυμήσου, Κύριε, τούς Ἰδουμαίους, οἱ ὁποῖο κατά τήν ἡμέρα τῆς καταστροφῆς τῆς Ἰερουσαλήμ ἔλεγαν στούς ἐχθρούς μας· ἀδειάστε την, ἀδειάστε την, καταστρέψτε την μέχρι τά θεμέλιά της. Ταλαίπωρη Βαβυλώνα! Μακάριος ἄς εἶναι ἐκεῖνος, πού θά σοῦ ἀναταποδώσει, ὅ τι μᾶς ἔκανες, μέ τήν ἴδια ποινή πού μᾶς τιμώρησες. Μακάριος θά εἶναι ἐκεῖνος, πού θά κρατήσει στά χέρια

σου πρὸς τὴν πέτραν. ΚΑΘΙΣΜΑ ΙΗ'. ΤΟΥ ΨΑΛΤΗΡΙΟΥ ΨΑΛΜΟΣ ΡΙΘ'. (119). Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα, καὶ εἰσήκουσέ μου. Κύριε, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων καὶ ἀπὸ γλώσσης δολίας. Τί δοθείη σοι καὶ τί προστεθείη σοι πρὸς γλῶσσαν δολίαν; Τὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα, σὺν τοῖς ἄνθραξι τοῖς ἐρημικοῖς. Οἴμοι! ὅτι ἡ παροικία μου ἐμακρύνθη, κατε σκήνωσα μετὰ τῶν σκηνωμάτων Κηδάρ. Πολλὰ παρῴκησεν ἡ ψυχή μου. Μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός· ὅταν ἐλάλουν αὐτοῖς, ἐπολέμουν με δωρεάν. ΨΑΛΜΟΣ ΡΚ'. (120). Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου. Ἡ βοήθειά μου παρὰ Κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν. Μὴ δῴης εἰς σάλον τὸν πόδα σου, μηδὲ νυστάξῃ ὁ φυλάσσων σε· Ἰδοὺ οὐ νυστάξει οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ. Κύριος φυλάξει σε, Κύριος σκέπη σοι ἐπὶ χεῖρα			του τά βρέφη σου, καί θά τά συντρίψει χτυπώντας τα στούς βράχους. ΚΑΘΙΣΜΑ ΔΕΚΑΤΟ ΟΓΔΟΟ ΤΟΥ ΨΑΛΤΗΡΙΟΥ ΨΑΛΜΟΣ ΡΙΘ'. (119). Ἔκραξα πρός τόν Κύριο, ὅταν θλιβόμουν, καί μέ εἰσάκουσε. Κύριε γλύτωσε τή ζωή μου ἀπό ἄδικα χείλη καί ἀπό δόλια γλῶσσα. Τί ἄλλο νά σοῦ δοθεῖ καί τί ἄλλο νά σοῦ προστεθεῖ γιά τήν ἀντιμετώπιση τῆς δόλιας γλώσσας; (Θά σοῦ δοθοῦν) τά βέλη τοῦ δυνατοῦ Θεοῦ τά ἀκονισμένα μαζί μέ τά κάρβουνα πού καίουν καί ἐρημώνουν. Ἀλλοίμονο! Ὁ ξενητεμός μου κράτησε πολύ. Κατασκήνωσα μαζί μέ τούς σκηνῖτες τῆς Κηδάρ. Πολύν καιρό ἔμεινε στήν ξενητειά ἡ ψυχή μου. Μέ τούς ἀνθρώπους πού μισοῦσαν τήν εἰρήνη ἐγώ ἤμουν εἰρηνικός. Ὅταν ἐγώ συνομιλοῦσα μαζί τους, ἐκεῖνοι μέ μισοῦσαν χωρίς λόγο. (Σῶσε με, Κύριε). ΨΑΛΜΟΣ ΡΚ'. (120). Ὕψωσα τά μάτια μου στά ὄρη τῆς Ἱερουσαλήμ, ἀπό ὅπου θά ἔλθει ἡ βοηθειά μου. Ἡ βοήθειά μου θά ἔλθει ἀπό τόν Κύριο πού ἔκανε τόν οὐρανό καί τή γῆ. Μακάρι, ψυχή μου, νά μήν ἀφήσεις νά σαλευθεῖ τό πόδι σου, οὔτε νά νυστάξει αὐτός πού σέ φυλάγει, ὁ Θεός. Νά, δέ θά νυστάξει οὔτε θά κοιμηθεῖ ὁ φύλακας τοῦ ἰσραηλιτικοῦ λαοῦ. Ὁ Κύριος θά σέ φυλάξει, ὁ Κύριος θά εἶναι σκέπη σου

δεξιάν σου· Ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε, οὐδὲ ἡ σελήνη τὴν νύκτα. Κύριος φυλάξει σε ἀπὸ παντὸς κακοῦ, φυλάξει τὴν ψυχήν σου ὁ Κύριος. Κύριος φυλάξει τὴν εἴσοδόν σου καὶ τὴν ἔξοδόν σου ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. ΨΑΛΜΟΣ ΡΚΑ'. (121). Εὐγφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι· εἰς οἶκον Κυρίου πορευσόμεθα. Ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου, Ἱερουσαλήμ. Ἱερουσαλὴμ οἰκοδομουμένη ὡς πόλις, ἧς ἡ μετοχὴ αὐτῆς ἐπὶ τὸ αὐτό. Ἐκεῖ γὰρ ἀνέβησαν αἱ φυλαί, φυλαὶ Κυρίου, μαρτύριον τῷ Ἰσραήλ, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματι Κυρίου· Ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν, θρόνοι ἐπὶ οἶκον Δαυΐδ. Ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τὴν Ἱερουσαλήμ, καὶ εὐθηνία τοῖς ἀγαπῶσί σε· Γενέσθω δὴ εἰρήνη ἐν τῇ δυνάμει σου καὶ εὐθηνία ἐν ταῖς πυργοβάρεσί σου. Ἕνεκα τῶν ἀδελφῶν μου καὶ τῶν πλησίον μου, ἐλάλουν δὴ εἰρήνην περὶ σοῦ· Ἕνεκα τοῦ οἴκου Κυρίου τοῦ Θεοῦ ἡμῶν, ἐξεζήτησα ἀγαθά σοι. ΨΑΛΜΟΣ ΡΚΒ'. (122).			στέκοντας στά δεξιά σου. Τότε τήν ἡμέρα δέ θά σέ κάψει ὁ ἥλιος οὔτε ἡ σελήνη θά σέ βλάψει τή νύχτα. Ὁ Κύριος θά σέ προφυλάξει ἀπό κάθε κακό, θά φυλάξει τή ζωή σου ὁ Κύριος. Ὁ Κύριος θά φυλάξει τήν εἴσοδό σου καί τήν ἔξοδό σου ἀπό τό σπίτι σου ἀπό τώρα καί στήν αἰωνιότητα. ΨΑΛΜΟΣ ΡΚΑ'. (121). Χάρηκα, ὅταν καίποιοι μοῦ εἶπαν, θά πᾶμε στό Ναό τοῦ Κυρίου. Καί τώρα τά πόδια μας στέκονται στίς αὐλές σου, Ἱερουσαλήμ. Ἡ Ἱερουσαλήμ, ἡ ὁποία ἔχει οἰκοδομηθεῖ ὡς μεγάλη πόλη, τῆς ὁποίας τά σπίτια εἶναι ἑνωμένα μεταξύ τους. Ἐκεῖ ἀνεβαίνουν οἱ φυλές, οἱ φυλές τοῦ Ἰσραήλ, κατά τήν ἐντολή τοῦ Κυρίου πρός τόν Ἰσραήλ, γιά νά δοξολογήσουν τό ὄνομα τοῦ Κυρίου. Διότι ἐκεῖ στήνονταν θρόνοι δικαστικοί, θρόνοι στή βασιλική οἰκογένεια τοῦ Δαυΐδ. Παρακαλέστε λοιπόν τόν Κύριο γιά τήν εἰρήνη τῆς Ἱερουσαλήμ· Καί ἄς ὑπάρχει εὐτυχία σ' αὐτούς πού σέ ἀγαποῦν. Ἄς ὑπάρχει λοιπόν εἰρήνη στή δύναμή σου (στά τείχη σου) καί ἀφθονία καί ἀσφάλεια στούς πύργους σου. Γιά χάρη τῶν ἀδελφῶν μου καί τῶν πλησίον μου εὔχομαι εἰρήνη γιά σένα. Γιά χάρη τοῦ ναοῦ τοῦ Κυρίου τοῦ Θεοῦ μας ζητῶ θερμά ἀγαθά γιά σένα. ΨΑΛΜΟΣ ΡΚΒ'. (122).

Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ. Ἰδοὺ ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν, ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, ἕως οὗ οἰκτειρῆσαι ἡμᾶς. Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, ὅτι ἐπὶ πολὺ ἐπλήσθημεν ἐξουδενώσεως, ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν. Τὸ ὄνειδος τοῖς εὐθηνοῦσι, καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις. ΨΑΛΜΟΣ ΡΚΓ'. (123). Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, εἰπάτω δὴ Ἰσραήλ· Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν ἐν τῷ ἐπαναστῆναι ἀνθρώπους ἐφ᾽ ἡμᾶς, ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς ἐν τῷ ὀργισθῆναι τὸν θυμὸν αὐτῶν ἐφ᾽ ἡμᾶς· Ἄρα τὸ ὕδωρ ἂν κατεπόντισεν ἡμᾶς, χείμαρρον διῆλθεν ἡ ψυχὴ ἡμῶν· Ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον. Εὐλογητὸς Κύριος, ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν. Ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐρρύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων· ἡ παγὶς συνετρίβη, καὶ ἡμεῖς ἐρρύσθημεν. Ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.			Σ᾽ ἐσένα ὕψωσα τά μάτια μου πού κατοικεῖς στόν οὐρανό. Νά, ὅπως τά μάτια τῶν δούλων εἶναι στραμμένα στά χέρια τῶν κυρίων τους, ὅπως τά μάτια τῆς ὑπηρέτριας εἶναι στραμμένα στά χέρια τῆς κυρίας της, ἔτσι εἶναι στραμμένα τά μάτια μας πρός τόν Κύριο τόν Θεό μας, περιμένοντας ἕως ὅτου μᾶς σπλαχνισθεῖ. Ἐλέησέ μας, Κύριε, ἐλέησέ μας, διότι ἐπί πολύ χρόνο γεμίσαμε ἀπό καταφρόνηση. Μέ τό παραπάνω γέμισε ἡ ψυχή μας. Εἴθε ἡ ντροπή νά ἔλθει στούς πλουσίους καί ἰσχυρούς, καί ὁ ἐξευτελισμός στούς ὑπερηφάνους. ΨΑΛΜΟΣ ΡΚΓ. (123). Ἐάν δέν ἦταν μαζί μας ὁ Κύριος, ἄς τό ὁμολογήσει ὁ Ἰσραηλιτικός λαός· Ἐάν δέν ἦταν μαζί μας ὁ Κύριος, ὅταν οἱ ἐχθροί μας ξεσηκώθηκαν ἐναντίον μας, σίγουρα θά μᾶς κατάπιναν ζωντανούς, ὅταν ἡ ὀργή τους ἐναντίον μας ἦταν στό ἀποκορύφωμά της· Σίγουρα τό μῖσος τους ὅπως τό ὁρμητικό ρεῦμα θά μᾶς ἔπνιγε, θά περνοῦσε ἡ ψυχή μας ἀπό χείμαρρο. Ἀσφαλῶς θά εἶχε περάσει ἡ ψυχή μας ἀπό νερό βαθύ, ἀπύθμενο. Ἄς εἶναι δοξασμένος ὁ Κύριος, ὁ ὁποῖος δέν μᾶς ἄφησε λεία (τροφή) στά δόντια τους. Ἡ ψυχή μας γλύτωσε ὅπως τό σπουργίτι ἀπό τήν παγίδα τῶν κυνηγῶν. Ἡ παγίδα συντρίφθηκε καί ἐμεῖς διασωθήκαμε. Ἡ βοήθειά μας ὀφείλεται στό ὄνομα τοῦ Κυρίου, πού δημιούργησε τόν οὐρανό καί τή γῆ.

Δόξα…Καὶ νῦν… Ἀλληλούΐα (γ΄.). Δόξα σοι ὁ Θεός (γ΄.). ΨΑΛΜΟΣ ΡΚΔ΄. (124). Οἱ πεποιθότες ἐπὶ Κύριον ὡς ὄρος Σιών· οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν Ἰερουσαλήμ. Ὄρη κύκλῳ αὐτῆς, καὶ ὁ Κύριος κύκλῳ τοῦ λαοῦ αὐτοῦ ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. Ὅτι οὐκ ἀφήσει Κύριος τὴν ράβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῶν δικαίων, ὅπως ἂν μὴ ἐκτείνωσιν οἱ δίκαιοι ἐν ἀνομίαις χεῖρας αὐτῶν. Ἀγάθυνον, Κύριε, τοῖς ἀγαθοῖς καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ· Τοὺς δὲ ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς ἀπάξει Κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν. Εἰρήνη ἐπὶ τὸν Ἰσραήλ. ΨΑΛΜΟΣ ΡΚΕ΄. (125). Ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν Σιὼν ἐγενήθημεν ὡσεὶ παρακεκλημένοι. Τότε ἐπλήσθη χαρᾶς τὸ στόμα ἡμῶν καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως. Τότε ἐροῦσιν ἐν τοῖς ἔθνεσιν· ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μετ᾽ αὐτῶν. Ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μεθ᾽ ἡμῶν, ἐγενήθημεν εὐφραινόμενοι.			Δόξα … Καὶ νῦν... Ἀλληλούΐα. Δόξα σοι ὁ Θεός (γ΄.). ΨΑΛΜΟΣ ΡΚΔ΄. (124ος). Αὐτοί πού ἔχουν στηρίξει τήν πεποίθησή τους στόν Κύριο, εἶναι ὅπως τό ἀκλόνητο ὄρος τῆς Ἱερουσαλήμ. Αὐτός πού κατοικεῖ στήν Ἱερουσαλήμ δέν θά κλονισθεῖ ποτέ. Ὅπως τά ὄρη τήν περιβάλλουν γύρωγύρω, ἔτσι καί ὁ Κύριος βρίσκεται γύρω ἀπό τό λαό του προστατεύοντάς τον αἰώνια. Διότι δέν θά ἐπιτρέψει ὁ Κύριος τήν ἐξουσία τῶν ἁμαρτωλῶν νά πέσει τόν ραβδί ἐπάνω στούς δικαίους, πού εἶναι κληρονομιά του, γιά νά μήν ἁπλώσουν σκανδαλισμένοι οἱ δίκαιοι τά χέρια τους σέ ἔργα παράνομα. Στεῖλε, Κύριε, τά ἀγαθά σου στούς ἀγαθούς καί εἰλικρινεῖς στήν καρδιά. Αὐτούς ὅμως πού παρεκκλίνουν σέ διεστραμμάνους δρόμους, θά τούς ἐξολοθρεύσει ὁ Κύριος, μαζί μέ ἐκείνους πού ἐργάζονται τήν ἀνομία. Εἴθε ἡ εἰρήνη νά βασιλεύει στόν λαό τοῦ Ἰσραήλ. ΨΑΛΜΟΣ ΡΚΕ΄. (125). Ὅταν ὁ Κύριος ἐπανέφερε ἐμᾶς τούς αἰχμαλώτους Ἰσραηλῖτες ἀπό τή Βαβυλώνα, αἰσθανθήκαμε μεγάλη παρηγοριά. Τότε γέμισε τό στόμα μας ἀπό χαρά καί ἡ γλῶσσα μας ἀπό ἀγαλλίαση. Τότε καί οἱ εἰδωλολατρικοί λαοί εἶπαν· Ὁ Κύριος ἔκανε μεγάλα ἔργα γιά χάρη τοῦ Ἰσραήλ. Πράγματι ἔκανε μεγάλα ἔργα ὁ Κύριος γιά χάρη μας, καί εἴμαστε γεμάτοι χαρά.

Ἐπίστρεψον, Κύριε, τὴν αἰχμαλωσίαν ἡμῶν ὡς χειμάρρους ἐν τῷ νότῳ. Οἱ σπείροντες ἐν δάκρυσιν ἐν ἀγαλλιάσει θεριοῦσι. Πορευόμενοι ἐπορεύοντο καὶ ἔκλαιον βάλλοντες τὰ σπέρματα αὐτῶν· ἐρχόμενοι δὲ ἥξουσιν ἐν ἀγαλλιάσει αἴροντες τὰ δράγματα αὐτῶν. ΨΑΛΜΟΣ ΡΚΣΤ'. (126). Ἐάν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες· ἐὰν μὴ Κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων. Εἰς μάτην ὑμῖν ἐστι τὸ ὀρθρίζειν, ἐγείρεσθαι μετὰ τὸ καθῆσθαι, οἱ ἐσθίοντες ἄρτον ὀδύνης, ὅταν δῷ τοῖς ἀγαπητοῖς αὐτοῦ ὕπνον. Ἰδοὺ ἡ κληρονομία Κυρίου υἱοί, ὁ μισθὸς τοῦ καρποῦ τῆς γαστρός. Ὡσεὶ βέλη ἐν χειρὶ δυνατοῦ, οὕτως οἱ υἱοὶ τῶν ἐκτετιναγμένων. Μακάριος ὃς πληρώσει τὴν ἐπιθυμίαν αὐτοῦ ἐξ αὐτῶν· οὐ καταισχυνθήσονται, ὅταν λαλῶσι τοῖς			Ἐπανάφερε, Κύριε τούς ὑπόλοιπους αἰχμαλώτους ἀπό τούς δικούς μας, ὅπως τούς χειμάρρους πού ξεχειλίζουν καί τρέχουν πρός τό Νότο. Ὅσοι σπέρνουν μέ δάκρυα τούς ἀγρούς λόγῳ ξηρασίας, ὅταν μέ τίς βροχές καρποφορήσουν, θα θερρίσουν μέ ἀγαλλίαση. Πηγαίνοντας στά χωράφια τους κλαῖνε ρίχνοντας τό σπόρο τους γιατί δέν γνωρίζουν ἄν θά θερίσουν, ὅταν ὅμως στό θερισμό γυρίζουν ἀπό τά χωράφια μεταφέροντας τά μεστωμένα στάχυα, χαίρονται. (Ἔτσι κι ἐμεῖς, κλαίοντας βαδίζαμε πρός τήν αἰχμαλωσία τῆς Βαβυλώνας, μέ ἀγαλλίαση ὅμως γυρίσαμε μέ τή βοήθειά σου στήν Πατρίδα μας). ΨΑΛΜΟΣ ΡΚΣΤ'. (126). Ἐάν ὁ Κύριος δέν οἰκοδομήσει μέ τήν εὐλογία του ἕνα σπίτι, μάταια κοπιάζουν οἱ οἰκοδόμοι. Ἐάν ὁ Κύριος δέν φυλάξει κάποια πόλη, μάταια ἀγρυπνοῦν οἱ φρουροί της. (Ἐὰν δέν ἔχετε βοηθό τόν Θεό), εἶναι μάταιο γιά σᾶς νά ξυπνᾶτε ἀπό τά χαράματα, νά σηκώνεσθε μόλις κάθεσθε, μέ ἀποτέλεσμα νά τρῶτε τόν ἄρτο σας μέ κόπο καί πόνο, τή στιγμή πού ὁ Κύριος δίνει ἤρεμο ὕπνο στούς πιστούς πού ἀγαπᾷ. Νά ἡ δωρεά τοῦ Κυρίου στούς πιστούς του, τά παδιά τους, ἡ ἀμοιβή τῆς μητρικῆς κοιλιᾶς. Σαν βέλη στά χέρια τοῦ δυνατοῦ πολεμιστῆ, ἔτσι εἶναι τά παιδιά αὐτῶν, πού εἶναι παραμερισμένοι ἀπό τούς ἀνθρώπους, ἀλλά πιστοί στόν Θεό. Μακάριος εἶναι ὁ γονιός πού θά ἐκπληρώσει τήν ἐπιθυμία του μέ τά παιδιά του. Αὐτοί οἱ πολύτεκνοι γονεῖς

ἐχθροῖς αὐτῶν ἐν πύλαις. ΨΑΛΜΟΣ ΡΚΖ΄. (127). Μακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον, οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ. Τοὺς πόνους τῶν καρπῶν σου φάγεσαι· μακάριος εἶ, καὶ καλῶς σοι ἔσται. Ἡ γυνή σου ὡς ἄμπελος εὐθηνοῦσα ἐν τοῖς κλίτεσι τῆς οἰκίας σου· οἱ υἱοί σου ὡς νεόφυτα ἐλαιῶν κύκλῳ τῆς τραπέζης σου. Ἰδού οὕτως εὐλογηθήσεται ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον. Εὐλογήσαι σε Κύριος ἐκ Σιών, καὶ ἴδοις τὰ ἀγαθὰ Ἰερουσαλὴμ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου· Καὶ ἴδοις υἱοὺς τῶν υἱῶν σου. Εἰρήνη ἐπὶ τὸν Ἰσραήλ. ΨΑΛΜΟΣ ΡΚΗ΄. (128). Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου, εἰπάτω δὴ Ἰσραήλ· Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου, καὶ γὰρ οὐκ ἠδυνήθησάν μοι. Ἐπὶ τὸν νῶτόν μου ἐτέκταινον οἱ ἁμαρτωλοί, ἐμάκρυναν τὴν ἀνομίαν αὐτῶν. Κύριος δίκαιος συνέκοψεν αὐχένας			δέν θά ντροπιασθοῦν, ὅταν θά συζητοῦν μέ τούς ἐχθρούς τους στίς πύλες τῆς πόλης. ΨΑΛΜΟΣ ΡΚΖ¨ (127). Τρισευτυχισμένοι εἶναι ὅλοι ὅσοι εὐλαβοῦνται τόν Κύριο, ὅσοι βαδίζουν σύμφωνα μέ τίς ἐντολές του. (Μέ αὐτές τίς προϋποθέσεις) θά τρῷς ἐσύ τούς καρπούς τῶν κόπων σου (καί ὄχι οἱ ἐχθροί σου). Θά εἶσαι μακάριος καί θά σοῦ πηγαίνουν ὅλα καλά. Ἡ γυναίκα σου μέσα στά δωμάτια τοῦ σπιτιοῦ σου θά εἶναι ὅπως ἡ βαρυφορτωμένη κληματαριά· Οἱ γυιοί σου θά εἶναι ὅπως τά νεαρά δενδρύλλια ἐλιᾶς γύρω ἀπό τό τραπέζι σου. Νά, ἔτσι θά εὐλογηθεῖ ὁ ἄνθρωπος πού εὐλαβεῖται τόν Κύριο. Εἴθε νά σοῦ στέλνει ὁ Κύριος τίς εὐλογίες του ἀπό τή Σιών, (ὅπου εἶναι ὁ ἱερός ναός του), καί εἴθε νά ἀπολαύσεις τά ἀγαθά τῆς Ἱερουσαλήμ ὅλες τίς ἡμέρες τῆς ζωῆς σου· Καί εἴθε νά δεῖς τά παιδιά τῶν παιδιῶν σου. Μακάρι ἡ εἰρήνη τοῦ Θεοῦ, νά βασιλεύει σέ ὅλον τόν Ἰσραηλιτικό λαό. ΨΑΛΜΟΣ ΡΚΗ΄. (128). Πολλές φορές μᾶς πολέμησαν ἀπό τήν ἀρχή τῆς ὑπάρξεώς μας. Ἄς τό διακηρύξει ὁ λαός τοῦ Ἰσραήλ. Πολλές φορές μᾶς πολέμησαν ἀπό τήν ἀρχή τῆς ἐθνικῆς μας ζωῆς, ἀλλά ὅμως δέν κατόρθωσαν νά μᾶς ἐπιβληθοῦν καί νά μᾶς ἐξοντώσουν. Καθισμένοι ἐπάνω στή ράχη μας μᾶς σφυροκοποῦσαν οἱ εἰδωλολατρικοί λαοί· παρέτειναν γιά μεγάλο χρονικό διάστημα τήν ἀνομία τους σέ βάρος μας. Ὁ δίκαιος ὅμως Κύριος ἔκοψε τούς λαιμούς καί τήν πε-

ἁμαρτωλῶν. Αἰσχυνθήτωσαν καὶ ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω πάντες οἱ μισοῦντες Σιών. Γενηθήτωσαν ὡσεὶ χόρτος δωμάτων, ὃς πρὸ τοῦ ἐκσπασθῆναι ἐξηράνθη· Οὗ οὐκ ἐπλήρωσε τὴν χεῖρα αὐτοῦ ὁ θερίζων καὶ τὸν κόλπον αὐτοῦ ὁ τὰ δράγματα συλλέγων. Καὶ οὐκ εἶπαν οἱ παράγοντες· εὐλογία Κυρίου ἐφ᾽ ὑμᾶς· εὐλογήκαμεν ὑμᾶς ἐν ὀνόματι Κυρίου. ΨΑΛΜΟΣ ΡΚΘ΄. (129). Ἐκ βαθέων ἐκέκραξά σοι, Κύριε· Κύριε, εἰσάκουσον τῆς φωνῆςμου· γενηθήτω τὰ ὦτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου. Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε Κύριε, τίς ὑποστήσεται; Ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν. Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε, ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου. Ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον· Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός· Ἀπὸ φυλακῆς πρωΐας ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον. Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος καὶ πολλὴ παρ᾽ αὐτῷ λύτρωσις· καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ. ΨΑΛΜΟΣ ΡΛ΄. (130).			ρηφάνεια αὐτῶν τῶν παρανόμων. Ἂς καταντροπιασθοῦν καί ἂς γυρίσουν πίσω ἄπρακτοι, ὅλοι ὅσοι μισοῦν τήν Ἱερουσαλήμ. Ἂς γίνουν ὅπως τό τό χόρτο στίς ταράτσες, πού πρίν τό θερίσουν ξηραίνεται. Ἀπ’ αὐτό τό χόρτο δέ μπορεῖ ποτέ νά γεμίσει τό χέρι του ὁ θεριστής, οὔτε τήν ἀγκαλιά του αὐτός πού δένει τά στάχυα σέ δεμάτια. Καί δέν θά ποῦν ποτέ οἱ περαστικοί σ’ αὐτούς: «Ἡ εὐλογία τοῦ Θεοῦ νά εἶναι μαζί σας». Οὔτε ἐκεῖνοι θά ἀπαντήσουν: «Ἐν ὀνόματι τοῦ Κυρίου σᾶς εὐλογοῦμε κι ἐμεῖς». ΨΑΛΜΟΣ ΡΚΘ΄ (129). Ἀπό τά κατάβαθα τῆς ψυχῆς μου ἔκραξα σ’ ἐσένα, Κύριε. Κύριε, εἰσάκουσε τή φωνή μου. Ἂς γίνουν τά αὐτιά σου προσεκτικά στή φωνή τῆς ἱκεσίας μου. Ἐάν ἐξετάσεις προσεκτικά τίς ἀνομίες μας, Κύριε, Κύριε, ποιός μπορεῖ, νά ἀντέξει (τή δίκαιη κρίση σου); Γνωρίζω ὅμως, ὅτι κοντά σ’ ἐσένα ὑπάρχει τό ἔλεος (ἡ συγχώρηση). Γιά τό ὄνομά σου (πού θυμίζει ἀγαθότητα), δείχνω ὑπομονή σ’ ἐσένα, Κύριε. Ὑπομένει ἡ ψυχή μου στά λόγια σου. (Ναί,) ἐλπίζει ἡ ψυχή μου στόν Κύριο. Ἀπό τά βαθιά χαράματα μέχρι τήν προχωρημένη νύχτα· ἀπό τά βαθιά χαράματα, ἂς στηρίζει ὁ νέος Ἰσραήλ (οἱ χριστιανοί) τήν ἐλπίδα του στόν Κύριο. Διότι κοντά στόν Θεό ὑπάρχει τό ἔλεος (ἡ εὐσπλαχνία), καί εἶναι ἄφθονη ἡ λύτρωση κοντά του. Καί αὐτός θά λυτρώσει τόν Ἰσραήλ ἀπό ὅλες τίς ἀνομίες του. ΨΑΛΜΟΣ ΡΛ΄. (130).

Κύριε, οὐχ ὑψώθη ἡ καρδία μου, οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου, οὐδὲ ἐπορεύθην ἐν μεγάλοις, οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ. Εἰ μὴ ἐταπεινοφρόνουν, ἀλλὰ ὕψωσα τὴν ψυχήν μου ὡς τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ, ὡς ἀνταποδώσεις ἐπὶ τὴν ψυχήν μου. Ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. ΨΑΛΜΟΣ ΡΛΑ΄. (131). Μνήσθητι, Κύριε, τοῦ Δαυῒδ καὶ πάσης τῆς πραότητος αὐτοῦ· Ὡς ὤμοσε τῷ Κυρίῳ, ηὔξατο τῷ Θεῷ Ἰακώβ· Εἰ εἰσελεύσομαι εἰς σκήνωμα οἴκου μου, εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς μου, Εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου καὶ τοῖς βλεφάροις μου νυσταγμὸν καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου· Ἕως οὗ εὕρω τόπον τῷ Κυρίῳ, σκήνωμα τῷ Θεῷ Ἰακώβ. Ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθᾷ, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ· Εἰσελευσόμεθα εἰς τὰ σκηνώματα αὐτοῦ, προσκυνήσομεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες αὐτοῦ. Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου·			Κύριε, δέν ὑψώθηκε ἀπό ὑπερηφάνεια ἡ καρδιά μου, οὔτε σήκωσα τά μάτια μου ἀπό ἔπαρση ἀπέναντι τῶν ἄλλων. Δεν ἐπεδίωξα μεγαλεῖα, οὔτε πράγματα πού ξεπερνοῦν τόν ἑαυτό μου, γιά νά προκαλέσω θαυμασμό. Ἐάν δέν ταπεινοφρονοῦσα, καί δέν ὕψωνα τήν ψυχή μου, ὅπως τό βρέφος πού ἀπογαλακτίσθηκε, πρός τή μητέρα του, ἔτσι νά ἀνταποδώσεις στήν ψυχή μου. Ἀλλά ἄς ἐλπίζει ὁ Ἰσραηλιτικός λαός στόν Κύριο ἀπό τώρα καί ἕως τήν αἰωνιότητα. ΨΑΛΜΟΣ ΡΛΑ΄. (131). Θυμήσου, Κύριε, τόν Δαυῒδ καί ὅλη τήν πραότητά του. Πῶς δηλαδή ὁρκίσθηκε καί ἔκανε τάμα στόν Θεό τοῦ Ἰακώβ· Δέν θά μπῶ στή σκηνή τῆς κατοικίας μου, δέν θά ἀνέβω στό στρωμένο κρεββάτι μου· Δέν θά δώσω στά μάτια μου ὕπνο, οὔτε στά βλέφαρά μου νυσταγμό καί ἀνάπαυση στούς κροτάφους μου (δεξιά καί ἀριστερή πλευρά τοῦ προσώπου)· Ἕως ὅτου βρῶ τόπο γιά τόν Κύριο, κατοικία γιά τόν Θεό τοῦ Ἰακώβ. Νά, ἀκούσαμε ὅτι (ἡ Κιβωτός) ἦταν στήν Ἐφραθᾶ· Ἀλλά τή βρήκαμε στίς δασωμένες πεδιάδες· Τώρα ὅμως θά μποῦμε στήν κατοικία τοῦ Θεοῦ, θά προσκυνήσουμε στόν τόπο, ὅπου στάθηκαν τά πόδια του. Σήκω, Κύριε καί ἔλα νά ἀναπαυθεῖς στήν Ἱερουσαλήμ, Ἐσύ καί ἡ ἁγιασμένη Κιβωτός σου.

Οἱ ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται. Ἕνεκεν Δαυῒδ τοῦ δούλου σου μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ χριστοῦ σου. Ὤμοσε Κύριος τῷ Δαυῒδ ἀλήθειαν καὶ οὐ μὴ ἀθετήσει αὐτήν· ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου· Ἐὰν φυλάξωνται οἱ υἱοί σου τὴν διαθήκην μου καὶ τὰ μαρτύριά μου ταῦτα, ἃ διδάξω αὐτούς, καὶ οἱ υἱοὶ αὐτῶν ἕως τοῦ αἰῶνος καθιοῦνται ἐπὶ τοῦ θρόνου σου. Ὅτι ἐξελέξατο Κύριος τὴν Σιών, ᾑρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ· Αὕτη ἡ κατάπαυσίς μου εἰς αἰῶνα αἰῶνος, ὧδε κατοικήσω, ὅτι ᾑρετισάμην αὐτήν· Τὴν θύραν αὐτῆς εὐλογῶν εὐλογήσω, τοὺς πτωχοὺς αὐτῆς χορτάσω ἄρτων· Τοὺς ἱερεῖς αὐτῆς ἐνδύσω σωτηρίαν, καὶ οἱ ὅσιοι αὐτῆς ἀγαλλιάσει ἀγαλλιάσονται. Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαυῒδ, ἡτοίμασα λύχνον τῷ χριστῷ μου· Τοὺς ἐχθροὺς αὐτοῦ ἐνδύσω αἰσχύνην, ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου. ΨΑΛΜΟΣ ΡΛΒ'. (132). Ἰδοὺ δὴ τί καλὸν ἢ τί τερπνόν, ἀλλ᾽ ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό; Ὡς μύρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ			Οἱ ἱερεῖς σου θά φοροῦν ὡς ἔνδυμα τή δικαιοσύνη, καί οἱ ἀφοσιωμένοι σ᾽ ἐσένα θά χαροῦν ὑπερβολικά. Γιά χάρη τοῦ Δαυῒδ τοῦ δούλου σου μή ἀποστρέψεις τό πρόσωπό σου ἀπό κάθε βασιλιά πού χρίσθηκε (μέ τό μύρο) ἀπό σένα. Ἔδωσε ὁ Θεός στό Δαυῒδ ἀληθινή (βέβαιη) ὑπόσχεση καί δέν θά τήν ἀθετήσει (δέν θά τήν παραβεῖ)· Ἀπό τούς ἀπογόνους σου θά ἀνεβάζω διαδόχους στό θρόνο σου. Καί ἄν οἱ ἀπόγονοί σου τηρήσουν τή διαθήκη μου καί τίς ρητές ἐντολές πού θά τούς διδάξω, τότε καί οἱ ἀπόγονοί τους θά κάθονται αἰώνια στό θρόνο σου. (Αὐτά τά εἶπε) ὁ Κύριος, διότι διάλεξε τή Σιών, προτίμησε αὐτήν γιά κατοικία του· Αὐτή (εἶπε) εἶναι ἡ αἰώνια κατοικία μου, ἐδῶ θά κατοικήσω, γιατί τήν προτίμησα· Θά εὐλογήσω ὑπερβολικά τά ὑλικά ἀγαθά της, θά χορτάσω τούς φτωχούς της μέ ψωμιά· Τούς ἱερεῖς της θά τούς ντύσω μέ σωτηρία, καί οἱ ἀφιερωμένοι σ᾽ ἐμένα κάτοικοί της θά χαροῦν ὑπερβολικά. Ἐκεῖ θά κάνω νά ἀνατείλει ἰσχυρή δύναμη γιά τό Δαυῒδ, ἑτοίμασα λύχνο (λυχνάρι φωτεινό) ἕνα Βασιλιά γιά χάρη του ἀπό τούς ἀπογόνους του (τόν Μεσσία). Θά ἐξευτελίσω τούς ἐχθρούς (τοῦ Βασιλιᾶ) αὐτοῦ, ἐνῷ ἐπάνω σ᾽ αὐτόν θά ἀνθίζει καί θά εὐδιάζει ἡ ἁγιότητά μου ΨΑΛΜΟΣ ΡΛΒ'. (132). Νά λοιπόν, τί εἶναι καλλίτερο ἤ πιό εὐχάριστο, ἀπό τό νά κατοικοῦν ἀδέλφια μαζί μέ ὁμόνοια; Εἶναι ὅπως χύνεται μύρο στό κεφάλι, πού κατεβαίνει στή

πώγωνα, τὸν πώγωνα τοῦ Ἀαρών, τὸ καταβαῖνον ἐπὶ τὴν ᾠαν τοῦ ἐνδύματος αὐτοῦ· Ὡς δρόσος ᾽Αερμὼν ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιών· ὅτι ἐκεῖ ἐνετείλατο Κύριος τὴν εὐλογίαν, ζωὴν ἕως τοῦ αἰῶνος. ΨΑΛΜΟΣ ΡΛΓ'. (133). Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ δοῦλοι Κυρίου οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν. Ἐν ταῖς νυξὶν ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια καὶ εὐλογεῖτε τὸν Κύριον. Εὐλογήσαι σε Κύριος ἐκ Σιὼν ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν. ΜΕΓΑΣ ΚΑΝΩΝ (Τῇ Τετάρτῃ τῆς Ε'. ἑβδομάδος τῶνΝηστειῶν ψάλλεται ὁ Μέγας Κανών). Μικρόν Ἀπόδειπνον. Ἀρχή μέχρι τοῦ «Ἄξιόν ἐστι...». … (Σελίς 204-212). Πρό ἑκάστου τροπαρίου, στίχος: Ἐλέησόν με, ὁ Θεός, ἐλέησόν με. Ωιδή Α'. «Βοηθός καί σκεπαστής ἐγένετό μοι εἰς σωτηρίαν, οὗτός μου Θεός, καὶ δοξάσω αὐτόν, Θεὸς τοῦ Πατρός μου, καὶ ὑψώσω αὐτόν· ἐνδόξως γὰρ δεδόξασται». (Δίς). Πόθεν ἄρξομαι θρηνεῖν, τὰς τοῦ ἀθλίου μου βίου πράξεις; ποίαν ἀπαρχήν, ἐπιθήσω Χριστέ, τῇ			γενειάδα, στή γενειάδα τοῦ Ἀαρών, πού κατεβαίνει στό κράσπεδο (στήν οὔγια) τῆς ἐνδυμασίας του. Εἶναι ὅπως τή δροσιά τοῦ ὄρους Ἀερμών πού κατεβαίνει στά ὄρη τῆς Σιών. Διότι ἐκεῖ, στή Σιών, ὑποσχέθηκε ὁ Θεός τήν εὐλογία του, ζωή παντοτεινή καί αἰώνια. ΨΑΛΜΟΣ ΡΛΓ'. (133). Ἐμπρός, λοιπόν, δοξολογεῖτε τόν Κύριο ὅλοι οἱ δούλοι τοῦ Κυρίου, οἱ λειτουργοί του πού στέκεσθε ὄρθιοι στό Ναό τοῦ Κυρίου, στίς αὐλές τοῦ Ναοῦ τοῦ Θεοῦ μας. Κατά τίς νύχτες νά ὑψώνετε τά χέρια σας ἐσεῖς οἱ ἱερεῖς, (οἱ λειτουργοί), πρός τήν κατεύθυνση τοῦ Ναοῦ, καί νά δοξολογεῖτε τόν Κύριο. (Καί οἱ ἱερεῖς ἀπαντοῦν): Μακάρι, λαέ, νά σέ εὐλογήσει ἀπό τήν ἁγία Σιών, ὁ Κύριος ὁ ὁποῖος ἐδημιούργησε τόν οὐρανό καί τή γῆ. ΜΕΓΑΣ ΚΑΝΩΝ (Τήν Τετάρτη τῆς Ε'. ἑβδομάδας τῶν Νηστειῶν ψάλλεται ὁ Μέγας Κανόνας). Μικρό Ἀπόδειπνο. Ἀρχή μέχρι τοῦ «Ἄξιόν ἐστι...». (Σελίδα 204-212). Πρίν ἀπό κάθε τροπάριο, στίχος: Ἐλέησέ με, Θεέ μου, ἐλέησέ με. Ὠιδή Α'. Βοηθός καί σκεπαστής ἔγινε γιά τήν σωτηρία μου· αὐτός εἶναι Θεός μου καί θά τόν δοξάσω· εἶναι Θεός τοῦ Πατέρα μου καί θά τόν ὑψώσω· Διότι εἶναι ὑπερβολικά δοξασμένος. (Δίς). Ἀπό ποῦ νά ἀρχίσω, νά θρηνῶ τίς πράξεις τῆς ἀθλίας ζωῆς μου; Ποιά ἀρχή νά βάλω, Χριστέ, στόν τωρινό μου

Τὰς ἐρήμους ᾤκησεν ὁ μέγας Μωσῆς, δεῦρο δή μίμησαι, τὴν αὐτοῦ διαγωγήν, ἵνα καί τῆς ἐν βάτῳ, θεοφανείας ψυχή, ἐν θεωρίᾳ γένῃ. Τὴν Μωσέως ῥάβδον εἰκονίζου ψυχή, πλήττουσαν θάλασσαν, καὶ πηγνύουσαν βυθόν, τύπῳ Σταυροῦ τοῦ θείου, δι' οὗ δυνήσῃ καὶ σύ, μεγάλα ἐκτελέσαι. Ἀαρὼν προσέφερε τὸ πῦρ τῷ Θεῷ, ἄμωμον ἄδολον, ἀλλ' Ὀφνεῖ, καὶ Φινεές, ὡς σὺ ψυχὴ προσῆγον, ἀλλότριον τῷ Θεῷ, ῥερυπωμένον βίον. Ὡς βαρὺς τῇ γνώμῃ Φαραὼ τῷ πικρῷ, γέγονα, Δέσποτα, Ἰαννῆς καὶ Ἰαμβρῆς τὴν ψυχὴν καὶ τὸ σῶμα, καὶ ὑποβρύχιος νοῦς, ἀλλὰ βοήθησόν μοι. Τῷ πηλῷ συμπέφυρμαι ὁ τάλας τὸν νοῦν, πλῦνόν με Δέσποτα, τῷ λουτῆρι τῶν ἐμῶν, δακρύων δέομαί σου, τὴν τῆς σαρκός μου στολήν, λευκάνας ὡς χιόνα. Ἐὰν ἐρευνήσω μου τὰ ἔργα Σωτήρ, ἅπαντα ἄνθρωπον, ὑπερβάντα ἐμαυτόν, ὁρῶ ταῖς ἁμαρτίαις, ὅτι ἐν γνώσει φρενῶν, ἥμαρτον, οὐκ ἀγνοίᾳ. Φεῖσαι φεῖσαι, Κύριε, τοῦ πλάσματός σου. Ἥμαρτον ἄνες μοι, ὁ τῇ φύσει καθαρός, αὐτὸς ὑπάρχων μόνος, καὶ ἄλλος πλήν σου οὐδείς, ὑπάρχει ἔξω ῥύπου. Δι' ἐμὲ Θεὸς ὢν ἐμορφώθης ἐμέ, ἔδειξας θαύματα, ἰασάμενος λεπρούς, καὶ παραλύτους σφίγξας, Αἱμόρρου στήσας Σωτήρ, ἁφῇ κρασπέδου			Στίς ἐρήμους κατοίκησε ὁ μέγας Μωυσῆς· ἔλα λοιπόν, ψυχή μου, μιμήσου τή διαγωγή ἐκείνου, γιά νά δεῖς τό ὅραμα τῆς ἐμφανίσεως τοῦ Θεοῦ στή βάτο τοῦ Σινᾶ. Γίνε ὅμοια, ψυχή μου, μέ τή ράβδο τοῦ Μωυσῆ, ἡ ὁποία χτυποῦσε τή θάλασσα, καί ἔκανε ξηρά τό βυθό μέ τόν τύπο τοῦ θεϊκοῦ Σταυροῦ, μέ τόν ὁποῖο κι ἐσύ θά μπορέσεις νά κατορθώσεις μεγάλα πράγματα. Ὁ Ἀαρών πρόσφερε τή φωτιά στόν Θεό, ἀμόλυντη χωρίς δόλο· Ἀλλά ὁ Ὀφνεί καί ὁ Φινεές, πρόσφεραν ὅπως ἐσύ, ψυχή, ἀκάθαρτη ζωή, ξένη πρός τόν Θεό. Ὡς ράθυμος στή γνώμη, ἔγινα, Κύριε, γιά τό σκληρό Φαραώ Ἰαννῆς, καί Ἰαμβρῆς (οἱ μάγοι του), στήν ψυχή καί στό σῶμα, καί βούλιαξε στή θάλασσα ὁ νοῦς μου· ἀλλά βοήθησέ με. Ἀνακατεύθηκα μέ τόν πηλό κατά τή διάνοια ἐγώ ὁ ταλαίπωρος. Πλῦνε με, Κύριε, στό λουτρό τῶν δικῶν μου δακρύων, σέ παρακαλῶ, λευκαίνοντας τή στολή τοῦ σώματός μου ὅπως τό χιόνι. Ἐάν ἐρευνήσω τά ἔργα μου, Σωτήρα, βλέπω τόν ἑαυτό μου ὅτι ξεπέρασα κάθε ἄνθρωπο στίς ἁμαρτίες, διότι ἁμάρτησα, ἐνῷ τό γνώριζε ὁ νοῦς μου, καί ὄχι ἀπό ἄγνοια. Λυπήσου, λυπήσου, Κύριε, τό πλάσμα σου· Ἁμάρτησα, συγχώρησέ με, διότι καθαρός ἐκ φύσεως εἶσαι μόνο Ἐσύ, καί ἄλλος ἐκτός ἀπό σένα δέν ὑπάρχει ἀπαλλαγμένος ἀπό τό ρύπο (τήν ἀκαθαρσία). Γιά μένα, ἄν καί ἤσουν Θεός, ἔγινες ὅμοιος μ' ἐμένα, ἔδειξες θαύματα, θεραπεύοντας λεπρούς καί γιατρεύοντας παράλυτους, καί σταματώντας, Σωτήρα, τήν αἱμορραγία τῆς

ῥύσιν. Τὴν Αἱμόρρουν μίμησαι, ἀθλία ψυχὴ, πρόσδραμε κράτησον, τοῦ κρασπέδου τοῦ Χριστοῦ, ἵνα ῥυσθῇς μαστίγων, ἀκούσῃς δὲ παρ' αὐτοῦ· ἡ πίστις σου σέσωκέ σε. Τὴν χαμαὶ συγκύπτουσαν μιμοῦ ὦ ψυχή, πρόσελθε, πρόσπεσον, τοῖς ποσὶ τοῦ Ἰησοῦ, ἵνα σε ἀνορθώσῃ, καὶ βηματίσεις ὀρθῶς, τὰς τρίβους τοῦ Κυρίου. Εἰ καὶ φρέαρ Δέσποτα ὑπάρχεις βαθύ, βλῦσόν μοι νάματα, ἐξ ἀχράντων σου φλεβῶν, ἵν' ὡς ἡ Σαμαρεῖτις, μηκέτι πίνων διψῶ· ζωῆς γὰρ ῥεῖθρα βρύεις. Σιλωὰμ γενέσθω μοι τὰ δάκρυά μου, Δέσποτα Κύριε, ἵνα νίψωμαι κἀγώ, τὰς κόρας τῆς καρδίας, καὶ ἴδω σε νοερῶς, τὸ φῶς τὸ πρὸ αἰώνων. Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν. Ἀσυγκρίτῳ ἔρωτι πανόλβιε, ξύλον ποθήσασα, προσκυνῆσαι τοῦ Σταυροῦ, ἠξίωσαι τοῦ πόθου, ἀξίωσον οὖν κἀμέ, τυχεῖν τῆς ἄνω δόξης. Ῥεῖθρον Ἰορδάνειον περάσασα, εὗρες ἀνάπαυσιν, τὴν ἀνώδυνον σαρκός, ἡδονὴν ἐκφυγοῦσα, ἧς καὶ ἡμᾶς ἐξελοῦ, σαῖς προσευχαῖς. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν. Ὡς ποιμένων ἄριστον, Ἀνδρέα σοφέ, πρόκριτον ὄντα σε, πόθῳ δέομαι πολλῷ, καὶ φόβῳ σαῖς πρεσβείαις, τῆς σωτηρίας τυχεῖν, καὶ ζωῆς αἰωνίου.			Αἱμορροούσας, μέ τό ἄγγιγμα τοῦ ἄκρου τοῦ ἐνδύματός σου. Τήν Αἱμορροοῦσα μιμήσου, ἄθλια ψυχή μου· τρέξε, πιάσε τό κράσπεδο (τό ἄκρο) τοῦ ἐνδύματος τοῦ Χριστοῦ, γιά νά ἀπαλλαγεῖς ἀπό μάστιγες, καί νά ἀκούσεις ἀπ' αὐτόν, «Ἡ πίστη σου σέ ἔσωσε ». Μιμήσου, ψυχή μου, ἐκείνην πού ἔσκυβε κάτω (τή συγκύπτουσα)· πλησίασε, πέσε στά πόδια τοῦ Ἰησοῦ, γιά νά σέ ἀνορθώσει (νά σέ σηκώσει), καί νά περπατήσεις ὀρθά τούς δρόμους τοῦ Κυρίου. Ἂν καί εἶσαι βαθύ πηγάδι, Κύριε, ἀνάβλυσε γιά μένα νερά ἀπό τίς ἀμόλυντές σου φλέβες· ὥστε ὅπως ἡ Σαμαρείτιδα, νά μήν πίνω καί ξαναδιψῶ· διότι ἀναβλύζεις τά νερά τῆς ζωῆς. Ἂς γίνουν Σιλωάμ γιά μένα τά δάκρυά μου, Δέσποτα Κύριε, γιά νά νίψω κι ἐγώ τίς κόρες τῶν ματιῶν τῆς ψυχῆς μου, καί νά δῶ μέ τό νοῦ ἐσένα, τό φῶς τό προαιώνιο. Ὁσία τοῦ Θεοῦ, πρέσβευε γιά μᾶς. Μέ ἀσύγκριτο ἔρωτα, τρισμακάριστη, ἐπειδή πόθησες, νά προσκυνήσεις τό Ξύλο τῆς ζωῆς, ἀξιώθηκες νά ἐκπληρώσεις τόν πόθο σου· ἀξίωσε λοιπόν κι ἐμένα,νά ἐπιτύχω τήν ἀνώτερη ζωή. Ἀφοῦ πέρασες τό ρεῦμα τοῦ Ἰορδάνη, βρῆκες τήν ἀνάπαυση χωρίς πόνους, ἀποφεύγοντας τήν ἡδονή τοῦ σώματος· ἀπό τήν ὁποία βγάλε κι ἐμᾶς μέ τίς δικές σου προσευχές, Ὁσία. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε γιά μᾶς. Ὡς ἄριστος μεταξύ τῶν Ποιμένων (τῶν Πατέρων), Ἀνδρέα σοφέ, πού εἶσαι ἐξαίρετος, σέ παρακαλῶ μέ πολύ πόθο καί φόβο, μέ τίς δικές σου πρεσβεῖες νά ἐπιτύχω τή σω-

Δόξα... Σὲ Τριὰς δοξάζομεν τὸν ἕνα Θεόν, Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Πατήρ, ὁ Υἱὸς καὶ τὸ Πνεῦμα, ἁπλῆ οὐσία Μονάς, ἀεὶ προσκυνουμένη. Καὶ νῦν ... Θεοτοκίον. Ἐκ σοῦ ἠμφιάσατο τὸ φύραμά μου, ἄφθορε ἄνανδρε, Μητροπάρθενε, Θεός, ὁ κτίσας τοὺς αἰῶνας, καὶ ἥνωσεν ἑαυτῷ, τὴν τῶν ἀνθρώπων φύσιν. Ὠιδὴ ΣΤ'. Ὁ Εἱρμὸς. «Ἐβόησα ἐν ὅλῃ καρδίᾳ μου, πρὸς τὸν οἰκτίρμονα Θεόν, καὶ ἐπήκουσέ μου ἐξ Ἅιδου κατωτάτου, καὶ ἀνήγαγεν ἐκ φθορᾶς τὴν ζωήν μου». Τὰ δάκρυα Σωτὴρ τῶν ὀμμάτων μου, καὶ τοὺς ἐκ βάθους στεναγμούς, καθαρῶς προσφέρω, βοώσης τῆς καρδίας, ὁ Θεὸς ἡμάρτηκά σοι, ἱλάσθητί μοι. Ἐξένευσας ψυχὴ τοῦ Κυρίου σου, ὥσπερ Δαθὰν καὶ Ἀβειρών· ἀλλὰ φεῖσαι κράξον, ἐξ Ἅιδου κατωτάτου, ἵνα μὴ τὸ χάσμα, τῆς γῆς σὲ συγκαλύψῃ. Ὡς δάμαλις, ψυχὴ, παροιστρήσασα, ἐξωμοιώθης τῷ Ἐφραίμ, ὡς δορκὰς ἐκ βρόχων, ἀνάσωσον τὸν βίον, πτερωθεῖσα πράξει, καὶ νῷ καὶ θεωρίᾳ. Ἡ χεὶρ ἡμᾶς Μωσέως πιστώσεται, ψυχὴ πῶς δύναται Θεός, λεπρωθέντα βίον, λευκάναι καὶ			τηρία καί ζωή αἰώνια. Δόξα ... Ἐσένα δοξάζουμε, Ἁγία Τριάδα, τόν ἕνα Θεό· Ἅγιος, Ἅγιος, Ἅγιος εἶσαι ὁ Πατέρας, ὁ Υἱός καί τό Ἅγιο Πνεῦμα, ἁπλή οὐσία Μονάδα, πού σέ προσκυνοῦμε πάντα. Καί νῦν... Θεοτοκίο. Ἀπό σένα ντύθηκε τή ζύμη μου (τό σῶμα μου), ἄφθορη, χωρίς ἄνδρα, Μητέρα Παρθένε, ὁ Θεός, πού δημιούργησε τούς αἰῶνες, καί ἕνωσε μέ τόν ἑαυτό του τή φύση τῶν ἀνθρώπων. ὨιδήΣΤ'. Κραύγασα μέ ὅλη τήν καρδιά μου πρός τό φιλάνθρωπο Θεό, καί μέ ἄκουσε ἀπό τόν κατώτατο ᾅδη, καί ἀνέβασε τήν ζωή μου ἀπό τή φθορά. Τά δάκρυα τῶν ματιῶν μου, Σωτήρα, καί τούς στεναγμοὺς ἀπό τά βάθη μου, τά προσφέρω καθαρά, ἐνῷ ἡ καρδιά μου φωνάζει· Θεέ μου, ἁμάρτησα, συγχώρησέ με. Ἀπομακρύνθηκες, ψυχή μου, ἀπό τόν Κύριό σου, ὅπως ὁ Δαθάν καί ὁ Ἀβειρών· ἀλλά φώναξε μέ ὅλη τήν καρδιά σου, σπλαχνίσου με, γιά νά μή σέ καταπιεῖ τό χάσμα (τό ρῆγμα) τῆς γῆς. Ὡς ἀγελάδα, ψυχή μου, πού τρελάθηκε, ἐξομοιώθηκες μέ τόν Ἐφραίμ· ὡς ζαρκάδι σῶσε τή ζωή σου ἀπό τίς παγίδες παίρνοντας φτερά μέ τήν πράξη, μέ τό νοῦ καί μέ τή θεωρία (τή θέαση τοῦ Θεοῦ). Τό χέρι τοῦ Μωυσῆ θά μᾶς πιστοποιήσει, ψυχή μου, πῶς μπορεῖ ὁ Θεός νά λευκάνει καί νά καθαρίσει, ζωή πού λε-

καθάραι· καὶ μὴ ἀπογνῷς σεαυτήν, κἂν ἐλεπρώθης. Τὰ κύματα, Σωτὴρ τῶν πταισμάτων μου, ὡς ἐν θαλάσσῃ Ἐρυθρᾷ, ἐπαναστραφέντα, ἐκάλυψέ με ἄφνω, ὡς τοὺς Αἰγυπτίους, ποτὲ καὶ τοὺς τριστάτας. Ἀγνώμονα, ψυχὴ τὴν προαίρεσιν, ἔσχες ὡς πρὶν ὁ Ἰσραήλ· τοῦ γὰρ θείου Μάννα , προέκρινας ἀλόγως, τὴν φιλήδονον, τῶν παθῶν ἀδηφαγίαν. Τὰ ὕεια, κρέα καὶ τοὺς λέβητας, καὶ τὴν Αἰγύπτιον τροφήν, τῆς ἐπουρανίου, προέκρινας, ψυχή μου, ὡς ὁ πρὶν ἀγνώμων, λαὸς ἐν τῇ ἐρήμῳ. Τὰ φρέατα, ψυχὴ προετίμησας, τῶν Χαναναίων ἐννοιῶν, τῆς φλεβὸς τὴν πέτραν, ἐξ ἧς ὁ τῆς σοφίας, Ποταμός προχέει, κρουνοὺς θεολογίας. Ὡς ἔπληξε, Μωσῆς ὁ θεράπων σου, ῥάβδῳ τὴν πέτραν τυπικῶς, τὴν ζωοποιόν σου, Πλευρὰν προδιετύπου, ἐξ ἧς πάντες πόμα, ζωῆς, Σωτὴρ, ἀντλοῦμεν. Ἐρεύνησον, ψυχὴ, κατασκόπευσον, ὡς Ἰησοῦς ὁ τοῦ Ναυῆ, τῆς κληροδοσίας, τὴν γῆν ὁποία ἐστί, καὶ κατοίκησον, ἐν αὐτῇ δι' εὐνομίας. Ἀνάστηθι, καὶ καταπολέμησον, ὡς Ἰησοῦς τὸν Ἀμαλήκ, τῆς σαρκὸς τὰ πάθη, καὶ τοὺς Γαβαωνίτας, τοὺς ἀπατηλοὺς λογισμούς, ἀεὶ νικῶσα. Διάβηθι, τοῦ χρόνου τὴν ῥέουσαν, φύσιν ὡς πρὶν ἡ Κιβωτός, καὶ τῆς γῆς ἐκείνης, γενοῦ ἐν			πρώθηκε· καί μήν ἀπελπισθεῖς γιά τόν ἑαυτό σου, ἔστω κι ἄν κόλλησες λέπρα. Τά κύματα τῶν ἁμαρτιῶν μου, Σωτήρα, ὅπως στήν Ἐρυθρά θάλασσα, ξαναγυρίζοντας ξαφνικά μ' ἐσκέπασαν, ὅπως κάποτε τούς Αἰγυπτίους καί τούς ἐκλεκτούς ἁρματηλάτες. Ἔδειξες ἀγνώμονη διάθεση, ψυχή μου, ὅπως πρίν ὁ Ἰσραηλιτικός λαός, διότι παράλογα προτίμησες ἀπό τό θεϊκό Μάννα τή φιλήδονη λαιμαργία τῶν παθῶν. Τά χοιρινά κρέατα καί τά καζάνια καί τήν Αἰγυπτιακή τροφή προτίμησες, ψυχή μου, ἀπό τήν ἐπουράνια, ὅπως παλαιά στήν ἔρημο ὁ ἀγνώμων λαός. Προτίμησες, ψυχή μου, τά πηγάδια τῆς νοοτροπίας τῶν Χαναναίων ἀπό τήν πέτρα τῆς φλέβας, ἀπό τήν ὁποία πηγάζει ὁ Ποταμός τῆς σοφίας βρύσες θεολογίας. Ὅπως χτύπησε ὁ Μωυσῆς, ὁ ὑπηρέτης σου, μέ τή ράβδο του τήν πέτρα ὡς προτύπωση, προεικόνιζε τήν Πλευρά σου, πού δίνει ζωή· ἀπό τήν ὁποία ὅλοι, Σωτήρα μας, ἀντλοῦμε (προμηθευόμαστε) τό ποτό τῆς ζωῆς, ἐσένα. Ἐρεύνησε (ψάξε), ψυχή μου, κατάσκόπευσε, ὅπως ὁ Ἰησοῦς τοῦ Ναυῆ τή γῆ πού θά κληρονομήσεις, τί εἴδους εἶναι, καί κατοίκησε σ' αὐτήν μέ νομιμότητα. Σήκω καί καταπολέμησε τούς Ἀμαληκῖτες, ὅπως ὁ Ἰησοῦς τοῦ Ναυῆ, δηλαδή τά σαρκικά πάθη, καί τούς Γαβαωνῖτες, δηλαδή τούς ἀπατηλούς λογισμούς, νικώντας τους πάντοτε. Πέρνα τή ρευστή φύση τοῦ χρόνου, ὅπως πρίν ἡ Κιβωτός τόν Ἰορδάνη, καί κυρίευσε τή γῆ ἐκείνη τῆς ἐπαγγελίας (τῆς

κατασχέσει, τῆς ἐπαγγελίας ψυχή, Θεὸς κελεύει. Ὡς ἔσωσας, τὸν Πέτρον βοήσαντα, σῶσον προφθάσας με Σωτήρ, τοῦ θηρός με ῥῦσαι, ἐκτείνας σου τὴν χεῖρα, καὶ ἀνάγαγε τοῦ βυθοῦ τῆς ἁμαρτίας. Λιμένα σε, γινώσκω γαλήνιον, Δέσποτα, Δέσποτα Χριστέ, ἀλλ' ἐκ τῶν ἀδύτων, βυθῶν τῆς ἁμαρτίας, καὶ τῆς ἀπογνώσεώς με, προφθάσας ῥῦσαι. Ἐγώ εἰμι, Σωτὴρ ἣν ἀπώλεσας, πάλαι βασίλειον δραχμήν, ἀλλ' ἀνάψας λύχνον, τὸν Πρόδρομόν σου Λόγε, ἀναζήτησον, καὶ εὑρὲ τὴν σὴν εἰκόνα. Ὅσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν. Ἵνα παθῶν, φλογμὸν κατασβέσῃς, δακρύων ἔβλυζες ἀεί, ὀχετοὺς Μαρία, ψυχὴν πυρπολουμένην, ὧν τὴν χάριν νέμοις, κἀμοὶ τῷ σῷ οἰκέτῃ. Ἀπάθειαν, ἐκτήσω οὐράνιον, δι' ἀκροτάτης ἐπὶ γῆς, πολιτείας, Μῆτερ· διὸ τοὺς σὲ ὑμνοῦντας, ἐκ παθῶν ῥυσθῆναι, πρεσβείαις σου δυσώπει. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν. Τῆς Κρήτης σε, Ποιμένα καὶ πρόεδρον, καὶ Οἰκουμένης πρεσβευτήν, ἐγνωκὼς προστρέχω, Ἀνδρέα καὶ βοῶ σοι· Ἐξελοῦ με Πάτερ, βυθοῦ τῆς ἁμαρτίας. Δόξα... Τριάς εἰμι, ἁπλὴ ἀδιαίρετος, διαιρετὴ προσωπικῶς, καὶ Μονὰς ὑπάρχω, τῇ φύσει			ὑποσχέσεως), ψυχή μου· ἔτσι διατάζει ὁ Θεός. Ὅπως ἔσωσες τόν Πέτρο, πού φώναξε: πρόφθασε καί σῶσε με, Σωτήρα, γλύτωσέ με ἀπό τό θηρίο ἁπλώνοντας τό χέρι σου, καί ἀνέβασέ με ἀπό τό βυθό τῆς ἁμαρτίας . Σέ ἀναγνωρίζω λιμάνι γαλήνιο, Κύριε, Κύριε Χριστέ· Ἀλλά ἀπό τούς ἀβυσσαλέους βυθούς τῆς ἁμαρτίας καί τῆς ἀπογνώσεως πρόφθασε καί λύτρωσέ με. Ἐγώ εἶμαι, Σωτήρα, ἡ βασιλική δραχμή, τήν ὁποία παλαιά ἔχασες, ἀλλά ἀνάβοντας γιά λυχνάρι τόν Πρόδρομό σου, Λόγε τοῦ Θεοῦ, ἀναζήτησε καί βρές τή δική σου εἰκόνα, ἐμένα. Ὅσία τοῦ Θεοῦ, πρέσβευε γιά μᾶς. Γιά νά σβήσεις τή φλόγα τῶν παθῶν, ἀνέβλυζες πάντα ἀγωγούς δακρύων, Μαρία, μέ πυρπολημένη τήν ψυχή σου· αὐτῶν τῶν ἀγωγῶν τή χάρη, εἴθε νά τή δίνεις καί σ' ἐμένα τό δοῦλο σου. Ἀπέκτησες οὐράνια ἀπάθεια, Μητέρα, μέ ὑψηλότατο τρόπο πνευματικῆς ζωῆς· γι' αὐτό ἱκέτευε, αὐτοί πού σέ ὑμνοῦν, νά ἀπαλλαγοῦν ἀπό τήν κυριαρχία τῶν παθῶν. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε γιά μᾶς. Ἐπειδή σέ γνωρίζω ὡς Ποιμένα τῆς Κρήτης καί Πρόεδρο, καί πρεσβευτή τῆς οἰκουμένης, προστρέχω σ' ἐσένα, Ἀνδρέα, καί φωνάζω· βγάλε με, Πάτερ, ἀπό τό βυθό τῆς ἁμαρτίας . Δόξα... Εἶμαι Τριάδα ἁπλή καί ἀδιαίρετη, πού διαιροῦμαι σέ πρόσωπα, καί ὑπάρχω Μονάδα ἑνωμένη ὡς πρός τή φύση·

ἡνωμένη. Ὁ Πατήρ φησιν, ὁ Υἱὸς καὶ θεῖον Πνεῦμα. Καὶ νῦν ... Θεοτοκίον. Ἡ μήτρα σου, Θεὸν ἡμῖν ἔτεκε, μεμορφωμένον καθ' ἡμᾶς, ἀλλ' ὡς Κτίστην πάντων, δυσώπει Θεοτόκε, ἵνα ταῖς πρεσβείαις, ταῖς σαῖς δικαιωθῶμεν. Κοντάκιον. Ψυχή μου ψυχή μου, ἀνάστα, τί καθεύδεις; τὸ τέλος ἐγγίζει, καὶ μέλλεις θορυβεῖσθαι, ἀνάνηψον οὖν, ἵνα φείσηταί σου Χριστὸς ὁ Θεός, ὁ πανταχοῦ παρών, καὶ τὰ πάντα πληρῶν. Ὠιδὴ Ζ'. Ὁ Εἱρμὸς. «Ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν ἐνώπιόν σου, οὐδὲ συνετηρήσαμεν, οὐδὲ ἐποιήσαμεν, καθὼς ἐνετείλω ἡμῖν. Ἀλλὰ μὴ παραδῴης ἡμᾶς εἰς τέλος, ὁ τῶν Πατέρων Θεός». (Δίς). Ἡμάρτηκα, ἐπλημμέλησα, καὶ ἠθέτησα τὴν ἐντολήν σου, ὅτι ἐν ἁμαρτίαις προήχθην, καὶ προσέθηκα τοῖς μώλωψι τραῦμα ἐμοί, ἀλλ' αὐτός με ἐλέησον ὡς εὔσπλαγχνος, ὁ τῶν Πατέρων Θεός. Τὰ κρύφια τῆς καρδίας μου, ἐξηγόρευσά σοι τῷ Κριτῇ μου, ἴδε μου τὴν ταπείνωσιν, ἴδε καὶ τὴν θλῖψιν μου, καὶ πρόσχες τῇ κρίσει μου νῦν, καὶ αὐτός με ἐλέησον ὡς εὔσπλαγχνος ὁ τῶν Πατέρων Θεός. Σαοὺλ ποτέ, ὡς ἀπώλεσε, τοῦ πατρὸς αὐτοῦ, ψυχὴ, τὰς ὄνους, πάρεργον τὸ βασίλειον εὗρε, πρὸς			λέγει ὁ Πατέρας, ὁ Υἱός, καί τό Ἅγιο Πνεῦμα. Καί νῦν … Θεοτοκίο. Ἡ μήτρα σου γέννησε γιά μᾶς Θεό, πού πῆρε μορφή, ὅπως ἐμεῖς· τόν ὁποῖον ὡς Κτίστη τῶν πάντων ἱκέτευε, Θεοτόκε, γιά νά δικαιωθοῦμε μέ τίς δικές σου πρεσβεῖες. Κοντάκιο. Ψυχή μου, ψυχή μου, σήκω, γιατί κοιμᾶσαι; Τό τέλος πλησιάζει καί πρόκειται, νά ταραχθεῖς· Σύνελθε λοιπόν, γιά νά σέ λυπηθεῖ ὁ Χριστός ὁ Θεός, πού εἶναι παρών παντοῦ καί γεμίζει τά πάντα. ΩιδήΖ΄. Ἁμαρτήσαμε, ἀνομήσαμε, ἀδικήσαμε ἐνώπιόν σου, οὔτε τηρήσαμε, οὔτε πράξαμε, καθώς μᾶς πρόσταξες. Ἀλλά μή μᾶς παραδώσεις σέ ἀφανισμό, Θεέ τῶν πατέρων. (Δίς). Ἁμάρτησα, ἔσφαλα, ἀγνόησα τήν ἐντολή σου, διότι πρόκοψα σέ ἁμαρτίες, καί πρόσθεσα στά κλειστά τραύματα, ἀνοιχτό τραῦμα στόν ἑαυτό μου. Ἀλλά, Ἐσύ ὁ ἴδιος ἐλέησέ με ὡς εὔσπλαχνος, ὁ Θεός τῶν πατέρων. Τά κρυφά τῆς καρδιᾶς μου ἐξομολογήθηκα σ' ἐσένα τόν Κριτή μου· δές τήν ταπείνωση, δές καί τή θλίψη μου, καί δῶσε προσοχή τώρα στή δίκη μου· καί ἐλέησέ με ὁ ἴδιος, ὡς εὔσπλαχνος, ὁ Θεός τῶν πατέρων. Ὁ Σαούλ κάποτε, ἐπειδή ἔχασε τούς ὄνους (τά γαϊδουράκια) τοῦ πατέρα του, ψυχή μου, βρῆκε τυχαῖα τό Βασίλειο, γιά

ἀνάρρησιν. Ἀλλ' ὅρα μὴ λάθῃς σαυτήν, τὰς κτηνώδεις ὀρέξεις σου, προκρίνουσα τῆς βασιλείας Χριστοῦ. Δαυῒδ ποτέ, ὁ πατρόθεος, εἰ καὶ ἥμαρτε διττῶς ψυχή μου, βέλει μὲν τοξευθεὶς τῆς μοιχείας, τῷ δὲ δόρατι ἁλοὺς τῆς τοῦ φόνου ποινῆς· ἀλλ' αὐτὴ τὰ βαρύτερα τῶν ἔργων νοσεῖς, ταῖς κατὰ γνώμην ὁρμαῖς. Συνῆψε μέν, ὁ Δαυῒδ ποτέ, ἀνομήματι τὴν ἀνομίαν· φόνῳ γὰρ τὴν μοιχείαν ἐκίρνα, τὴν μετάνοιαν εὐθὺς παραδείξας διπλῆν· ἀλλ' αὐτὴ πονηρότερα εἰργάσω, ψυχή, μὴ μεταγνοῦσα Θεῷ. Δαυῒδ ποτὲ ἀνεστήλωσε, συγγραψάμενος ὡς ἐν εἰκόνι, ὕμνον, δι' οὗ τὴν πρᾶξιν ἐλέγχει, ἣν εἰργάσατο κραυγάζων· ἐλέησόν με· σοὶ γὰρ μόνῳ ἐξήμαρτον, τῷ πάντων Θεῷ, αὐτὸς καθάρισόν με. Ἡ Κιβωτός, ὡς ἐφέρετο, ἐπιδίφριος ὁ Ζὰν ἐκεῖνος, ὅτε ἀνατραπέντος τοῦ μόσχου, μόνον ἥψατο, Θεοῦ ἐπειράθη ὀργῆς, ἀλλ' αὐτοῦ τὴν αὐθάδειαν, φυγοῦσα ψυχή, σέβου τὰ θεῖα καλῶς. Ἀκήκοας, τοῦ Ἀβεσσαλώμ, πῶς τῆς φύσεως ἀντεξανέστη, ἔγνως τὰς ἐναγεῖς αὐτοῦ πράξεις, αἷς ἐξύβρισε, τὴν κοίτην Δαυῒδ τοῦ πατρός· ἀλλ' αὐτὴ ἐμιμήσω, τὰς αὐτοῦ ἐμπαθεῖς, καὶ φιληδόνους ὁρμάς. Ὑπέταξας, τὸ ἀδούλωτον, σοῦ ἀξίωμα τῷ σώματί σου· ἄλλον γάρ, Ἀχιτόφελ εὑροῦσα τὸν			νά ἀνεβεῖ στό θρόνο. Ἀλλά πρόσεχε, μή ξεγελάσεις τόν ἑαυτό σου προτιμώντας τίς κτηνώδεις ὀρέξεις σου ἀπό τή Βασιλεία τοῦ Χριστοῦ. Ὁ Δαυῒδ ὁ προπάτορας κάποτε ἁμάρτησε διπλά, ψυχή μου, ἐπειδή χτυπήθηκε ἀπό τό βέλος τῆς μοιχείας, καί αἰχμαλωτίσθηκε μέ τό κοντάρι τοῦ ἐγκλήματος τοῦ φόνου. Ἀλλά ἐσύ ἡ ἴδια εἶσαι ἄρρωστη στά βαρύτερα ἀπό τά ἔργα, δηλαδή στίς ὁρμές τῆς προαιρέσεώς σου. Συνέδεσε βέβαια κάποτε ὁ Δαῒδ τό ἕνα ἀνόμημα μέ τήν ἄλλη ἀνομία· διότι μέ τό φόνο ἀνεμείγνυε τή μοιχεία, δείχνοντας ὅμως ἀμέσως διπλή τή μετάνοια. Ἀλλά ἐσύ, ψυχή μου ἔπραξες πονηρότερα, χωρίς νά μετανοήσεις ἐνώπιον τοῦ Θεοῦ. Ὁ Δαυῒδ κάποτε ὕψωσε ὡς εἰκόνα ἐπάνω σέ στήλη, ἀφοῦ τόν συνέγραψε, ὕμνο, μέ τόν ὁποῖο καταδικάζει τήν πράξη πού ἔκανε, κραυγάζοντας, Ἐλέησέ με· διότι σ' ἐσένα ἁμάρτησα, τόν Θεό τῶν πάντων, Ἐσύ καθάρισέ με. Ὅταν ἡ Κιβωτός μεταφερόταν ἐπάνω σέ ἅρμα καί κινδύνεψε νά ἀνατραπεῖ ἀπό τίς κινήσεις τῶν βοδιῶν πού τή μετέφεραν, ἐκεῖνος ὁ Ζᾶν, πού μόνο τήν ἄγγιξε, δοκίμασε τήν ὀργή τοῦ Θεοῦ. Ἀλλά ἀποφεύγοντας τήν αὐθάδεια ἐκείνου, ψυχή, νά σέβεσαι καλά τά ἱερά πράγματα. Ἄκουσες, γιά τόν Ἀβεσσαλώμ,πῶς ἦλθε ἀντιμέτωπος μέ τή φύση (τήν ἠθική)· Γνώρισες τίς βέβηλες πράξεις του, μέ τίς ὁποῖες προσέβαλε τό κρεββάτι (τή σύζυγο) τοῦ Δαυῒδ, τοῦ πατέρα του. Ἀλλά ἐσύ, (ψυχή), ἐμιμήθηκες τίς δικές του ἐμπαθεῖς καί φιλήδονες ὁρμές. Ὑπέταξες τό ἀξίωμα τῆς πνευματικῆς ἐλευθερίας σου στό σῶμα σου· διότι ἀφοῦ βρῆκες τόν ἐχθρό, τό διάβολο, ὡς

ἐχθρὸν, σὺ ψυχή, συνῆλθες ταῖς τούτου βουλαῖς· ἀλλ' αὐτὰς διεσκέδασεν, αὐτὸς ὁ Χριστός, ἵνα σὺ πάντων σωθῇς. Ὁ Σολομών, ὁ θαυμάσιος, ὁ καὶ χάριτος σοφίας πλήρης, οὗτος τὸ πονηρὸν ἐναντίον, τοῦ Θεοῦ ποτέ, ποιήσας ἀπέστη αὐτοῦ, ᾧ αὐτὴ τὸν ἐπάρατόν σου βίον, ψυχὴ προσαφωμοίωσας. Ταῖς ἡδοναῖς, ἐξελκόμενος, τῶν παθῶν αὐτοῦ κατερρυποῦτο, οἴμοι! ὁ ἐραστὴς τῆς σοφίας, ἐραστὴς πορνῶν γυναικῶν, καὶ ξένος Θεοῦ, ὃν αὐτὴ ἐμιμήσω, κατὰ νοῦν ᾧ ψυχή, ἡδυπαθείαις αἰσχραῖς. Τὸν Ῥοβοάμ, παρεζήλωσας, ἀλογήσαντα βουλὴν πατρῴαν, ἅμα δὲ καὶ τὸν κάκιστον δοῦλον, Ἱεροβοάμ, τὸν πρὶν ἀποστάτην, ψυχή. Ἀλλὰ φεῦγε τὴν μίμησιν, καὶ κράζε Θεῷ· ἥμαρτον οἰκτειρόν με. Τὸν Ἀχαὰβ παρεζήλωσας, τοῖς μιάσμασι ψυχή μου, οἴμοι! γέγονας σαρκικῶν μολυσμάτων, καταγώγιον καὶ σκεῦος αἰσχρὸν τῶν παθῶν. Ἀλλ' ἐκ βάθους σου στέναξον, καὶ λέγε Θεῷ, τὰς ἁμαρτίας σου. Ἐνέπρησεν Ἠλιού, δίς πεντήκοντα τῆς Ἰεζάβελ, ὅτε τούς τῆς αἰσχύνης προφήτας κατηνάλωσε εἰς ἔλεγχον τοῦ Ἀχαάβ. Ἀλλά φεῦγε τήν μίμησιν τῶν δύο, ψυχή καί κραταιώθητι. Ἐκλείσθη σοι, οὐρανὸς ψυχή, καὶ λιμὸς Θεοῦ κατέλαβέ σε, ὅτε τοῖς Ἠλιοῦ τοῦ Θεσβίστου, ὡς ὁ			ἄλλον Ἀχιτόφελ (φίλο τοῦ Δαϋΐδ πού τόν πρόδωσε), συμφώνησες μέ τά δικά του θελήματα· ἀλλά αὐτά τά σκόρπισε ὁ ἴδιος ὁ Χριστός, γιά νά σωθεῖς ὅπωσδήποτε. Ὁ Σολομώντας ὁ θαυμάσιος, ὁ γεμάτος ἀπό τή χάρη τῆς σοφίας, αὐτός, ἀφοῦ ἔπραξε κάποτε τό πονηρό ἐνώπιον τοῦ Θεοῦ, ἔφυγε ἀπό κοντά του· κι ἐσύ, ψυχή, ἐξομοίωσες μέ αὐτόν τήν καταραμένη ζωή σου. Παρασυρόμενος ὁ Σολομώντας ἀπό τίς ἡδονές τῶν παθῶν του γέμισε, ἀλλοίμονο, ἀπό ρύπο (βρωμιά)! Ὁ ἐραστής τῆς σοφίας ἔγινε ἐραστής πορνῶν γυναικῶν, καί ἀποξενώθηκε ἀπό τόν Θεό· αὐτόν μιμήθηκες κατά διάνοια, ψυχή μου, στά πάθη τῶν αἰσχρῶν ἡδονῶν. Ζήλεψες, ψυχή, τόν Ροβοάμ, πού ἀδιαφόρησε γιά τίς πατρικές συμβουλές, συγρόνως ὅμως καί τόν δοῦλο Ἱεροβοάμ, τόν πρίν ἐπαναστάτη, πού ἀποδείχθηκε χειρότερος. Ἀλλά ἀπόφευγε τή μίμησή τους καί φώναζε στόν Θεό· ἁμάρτησα, σπλαχνίσου με. Ζήλεψες τόν Ἀχαάβ, ψυχή μου, στίς ἠθικές του ἀκαθαρσίες, ἀλλοίμονο! Ἔγινες καταγώγιο σαρκικῶν μολυσμάτων, καί αἰσχρό δοχεῖο τῶν παθῶν. Ἀλλά στέναξε ἀπό τά βάθη σου, καί λέγε στόν Θεό τίς ἁμαρτίες σου. Ἔκαψε κάποτε ὁ Ἠλίας τούς δύο φορές ἀπό πενήντα ἀπεσταλμένους τῆς Ἰεζάβελ, ὅταν παρέδωσε στό θάνατο τούς ψευδοπροφῆτες τῆς ντροπῆς (τοῦ Βάαλ) πρός τιμωρίαν τοῦ Ἀχαάβ. Ἀλλά ἀπόφευγε, ψυχή μου, τή μίμηση αὐτῶν τῶν δύο (Ἀχαάβ καί Ἰεζάβελ) καί πᾶρε δύναμη. Κλείσθηκε γιά σένα ὁ οὐρανός, ψυχή μου, καί σέ κατέλαβε πεῖνα Θεοῦ, διότι δέν ὑπάκουσες στά λόγια τοῦ Ἠλία

Ἀχαάβ, ἠπείθησας λόγοις ποτέ. Ἀλλὰ τῇ Σαραφθίᾳ ὁμοιώθητι, θρέψον Προφήτου ψυχήν. Μανασσῆ ἐπεσώρευσας, τὰ ἐγκλήματα τῇ προαιρέσει, στήσασα ὡς βδελύγματα πάθη, καὶ πληθύνουσα ψυχή, προσωχθίσματα. Ἀλλ' αὐτοῦ τὴν μετάνοιαν, ζηλοῦσα θερμῶς, κτῆσαι κατάνυξιν. Προσπίπτω σοι, καὶ προσάγω σοι, ὥσπερ δάκρυα τὰ ῥήματά μου, ἥμαρτον, ὡς οὐχ ἥμαρτε Πόρνη, καὶ ἠνόμησα, ὡς ἄλλος οὐδεὶς ἐπὶ γῆς. Ἀλλ' οἰκτείρησον Δέσποτα τὸ ποίημά σου, καὶ ἀνακάλεσαί με. Κατέχρωσα, τὴν εἰκόνα σου, καὶ παρέφθειρα τὴν ἐντολήν σου, ὅλον ἀπημαυρώθη τὸ κάλλος, καὶ τοῖς πάθεσιν ἐσβέσθη Σωτὴρ ἡ λαμπάς· ἀλλ' οἰκτείρας ἀπόδος μοι, ὡς ψάλλει Δαυῒδ τὴν ἀγαλλίασιν. Ἐπίστρεψον, μετανόησον, ἀνακάλυψον τὰ κεκρυμμένα, λέγε Θεῷ τῷ τὰ πάντα εἰδότι. Σὺ γινώσκεις μου τὰ κρύφια μόνε Σωτήρ, καὶ αὐτός με ἐλέησον, ὡς ψάλλει Δαυῒδ, κατὰ τὸ ἔλεός σου. Ἐξέλιπον, αἱ ἡμέραι μου, ὡς ἐνύπνιον ἐγειρομένου· ὅθεν ὡς Ἐζεκίας δακρύω, ἐπὶ κλίνης μου προσθῆναί μοι χρόνους ζωῆς. Ἀλλὰ τίς Ἡσαΐας, παραστήσεταί σοι ψυχή, εἰ μὴ ὁ πάντων Θεός; Ὅσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν. Βοήσασα, πρὸς τὴν ἄχραντον, Θεομήτορα πρὶν ἀπεκρούσω, λύσσαν παθῶν βιαίων ὀχλούντων, καὶ			ἀπό τή Θέσβη, ὅπως κάποτε ὁ Ἀχαάβ. Ἀλλά μιμήσου τή χήρα ἀπό τά Σάρεπτα, καί συντήρησε τή ζωή τοῦ Προφήτη. Σώριασες ἐπάνω σου τά ἐγκλήματα τοῦ Μανασσῆ, κατά τήν προαίρεση, προβάλλοντας ὡς σιχαμερά πράγματα τά πάθη, ψυχή μου, καί αὐξάνοντας τά εἴδωλα. Ἀλλά ζηλεύοντας θερμά τή μετάνοια ἐκείνου, φρόντισε νά ἀποκτήσεις κατάνυξη. Προσπέφτω μπροστά σου, καί σοῦ προσφέρω ὡς δάκρυα τά λόγια μου· ἁμάρτησα, ὅπως ἁμάρτησε ἡ πόρνη, καί παρανόμησα, ὅπως κανένας ἄλλος ἐπάνω στή γῆ. Ἀλλά σπλαχνίσου, Κύριε, τό πλάσμα σου, καί κάλεσέ με πίσω. Ρύπανα (λέρωσα) τήν εἰκόνα σου καί θεώρησα ἄχρηστη τήν ἐντολή σου· ὅλη ἡ ὀμορφιά μουντζουρώθηκε, καί σβήσθηκε, Σωτήρα, τό λυχνάρι. Ἀλλά λυπήσου με, καί δός μου τήν ἀγαλλίαση, ὅπως ψάλλει ὁ Δαυῒδ. Ἐπίστρεψε, μετανόησε, φανέρωσε ὅσα ἔχουν γίνει κρυφά· λέγε στόν Θεό, πού γνωρίζει τά πάντα· Ἐσύ γνωρίζεις τάκρυμμένα μου ἔργα, μόνε Σωτήρα, κι Ἐσύ ὁ ἴδιος ἐλέησέ με, ὅπως ψάλλει ὁ Δαυῒδ, κατά τό ἔλεός σου. Χάθηκαν οἱ ἡμέρες μου ὡς ἕνα ὄνειρο κάποιου πού ξυπνᾷ· γι' αὐτό, ὅπως ὁ Ἐζεκίας, δακρύζω, ἐπάνω στό κρεββάτι τῆς ἀσθένειας (παρακαλώντας) νά μοῦ προσθέσεις μερικά χρόνια στή ζωή. Ἀλλά ποιός «Ἡσαΐας» θά σοῦ παρασταθεῖ, ψυχή, παρά ὁ Θεός τῶν πάντων; Ὅσία τοῦ Θεοῦ, πρέσβευε γιά μᾶς. Ἀφοῦ φώναξες πρός τήν ἀμόλυντη Μητέρα τοῦ Θεοῦ, ἀπέκρουσες τή λύσσα τῶν παθῶν, πού σέ ἐνοχλοῦσαν βίαια,

κατήσχυνας, ἐχθρὸν τὸν πτερνίσαντα. Ἀλλὰ δὸς νῦν βοήθειαν ἐκ θλίψεως, κἀμοὶ τῷ δούλῳ σου. Ὃν ἔστερξας, ὅν ἐπόθησας, Μῆτερ, οὗτινος κατ' ἴχνος ἦκες, οὗτος τήν μετάνοιαν εὗρε καί δεδώρηται, ὡς μόνος Θεός συμπαθής· ὅν ἀπαύστως ἱκέτευε, παθῶν λυτρωθῆναι ἡμᾶς καί περιστάσεων. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν. Τῆς πίστεως ἐν τῇ πέτρᾳ με, ταῖς πρεσβείαις σου στήριξον Πάτερ, φόβῳ με τῷ ἐνθέῳ τειχίζων, καὶ μετάνοιαν, Ἀνδρέα παράσχου μοι νῦν, δυσωπῶ σε καὶ ῥῦσαί με, παγίδος ἐχθρῶν, τῶν ἐκζητούντων με. Δόξα... Τριὰς ἁπλή, ἀδιαίρετε, Ὁμοούσιε, Μονὰς ἁγία, φῶτα καὶ φῶς καὶ ἅγια τρία, καὶ ἓν ἅγιον ὑμνεῖται Θεὸς ἡ Τριάς, ἀλλ' ἀνύμνησον, δόξασον ζωὴν καὶ ζωάς, ψυχὴ τὸν πάντων Θεόν. Καὶ νῦν ... Θεοτοκίον. Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε Θεογεννῆτορ, ὅτι τῆς ἀχωρίστου Τριάδος, ἀπεκύησας τὸν ἕνα Υἱὸν καὶ Θεόν, καὶ αὐτὴ προηνέῳξας ἡμῖν, τοῖς ἐν γῇ τὰ ἐπουράνια. Ὠιδὴ Η'. «Ὃν Στρατιαί, οὐρανῶν δοξάζουσι, καὶ φρίττει τὰ Χερουβίμ, καὶ τὰ Σεραφίμ, πᾶσα πνοὴ καὶ κτίσις ὑμνεῖτε, εὐλογεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας». (Δίς). Ἡμαρτηκότα, Σωτὴρ ἐλέησον, διέγειρόν μου			καί καταντρόπιασες τόν ἐχθρό, πού σέ ὑποδούλωσε. Ἀλλά δῶσε βοήθεια ἀπό τή θλίψη καί σ' ἐμένα τό δοῦλο σου. Αὐτός τόν ὁποῖο ἀγάπησες, αὐτός τόν ὁποῖο πόθησες, Μητέρα, αὐτός τοῦ ὁποίου ἀκολούθησες τά ἴχνη, αὐτός ἐπινόησε τή μετάνοια, καί τήν δώρισε, ὡς μόνος συμπαθής Θεός· αὐτόν ἱκέτευε ἀκατάπαυστα, νά λυτρωθοῦμε ἐμεῖς ἀπό τά πάθη καί τίς διάφορες δυσάρεστες περιστάσεις. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε γιά μᾶς. Στήν πέτρα τῆς πίστης στήριξέ με μέ τίς πρεσβεῖες σου, Πάτερ, περιτειχίζοντάς με μέ τό θεϊκό φόβο, καί σέ παρακαλῶ, Ἀνδρέα, δός μου τώρα μετάνοια καί γλύτωσέ με ἀπό τήν παγίδα τῶν ἐχθρῶν, πού μέ ἀναζητοῦν. Δόξα ... Τριάδα ἁπλή, ἀδιαίρετη, μέ τήν ἴδια οὐσία καί μία φύση, τρία φῶτα καί ἕνα φῶς, καί τρία ἅγια καί ἕνα ἅγιο, ὑμνεῖται ὁ Θεός, ἡ Ἁγία Τριάδα. Ἀλλά ἀνύμνησε, δόξασε, ψυχή μου, ζωή καί ζωές, τόν Θεό τῶν πάντων. Καί νῦν... Θεοτοκίο. Σέ ὑμνοῦμε, σέ εὐλογοῦμε, σέ προσκυνοῦμε, Θεογεννήτρια, διότι γέννησες τόν ἕνα ἀπό τήν ἀχώριστη Τριάδα ὡς Υἱό καί Θεό· καί ἡ ἴδια ἄνοιξες προκαταβολικά τά ἐπουράνια, γιά μᾶς πού εἴμαστε στή γῆ. Ὠιδή Η'. Αὐτόν πού δοξάζουν οἱ στρατιές τῶν οὐρανῶν, καί φρίττουν τά Χερουβίμ καί τά Σεραφίμ κάθε ζωντανό καί κάθε πλάσμα, ὑμνεῖτε, δοξολογεῖτε, καί ὑπερυψώνετε τον σέ ὅλους τούς αἰῶνες. Ἐπειδή ἁμάρτησα, Σωτήρα μου, ἐλέησέ με, παρακίνησε

τὸν νοῦν, πρὸς ἐπιστροφήν, δέξαι μετανοοῦντα, οἰκτείρησον βοῶντα· ἥμαρτόν σοι, σῶσον, ἠνόμησα, ἐλέησόν με. Ὁ διφρηλάτης, Ἠλίας, ἅρματι, ταῖς ἀρεταῖς ἐπιβάς, ὡς εἰς οὐρανόν, ἤγετο ὑπεράνω, ποτὲ τῶν ἐπιγείων· τούτου οὖν ψυχή μου, τὴν ἄνοδον ἀναλογίζου. Τοῦ Ἰορδάνου, τὸ ῥεῖθρον πρότερον, τῇ μηλωτῇ Ἠλιού, δι' Ἐλισσαιέ, ἔστη ἔνθα καὶ ἔνθα, αὐτὴ δὲ ὦ ψυχή μου, ταύτης οὐ μετέσχες, τῆς χάριτος δι' ἀκρασίαν. Ὁ Ἐλισσαῖος, ποτὲ δεξάμενος, τὴν μηλωτὴν Ἠλιού, ἔλαβε διπλῆν, χάριν παρὰ Κυρίου, αὐτὴ δὲ ὦ ψυχή μου, ταύτης οὐ μετέσχες, τῆς χάριτος δι' ἀκρασίαν. Ἡ Σωμανῖτις, ποτὲ τὸν δίκαιον, ἐξένισεν ὦ ψυχή, γνώμῃ ἀγαθῇ· σὺ δὲ οὐκ εἰσῳκίσω, οὐ ξένον, οὐχ ὁδίτην· ὅθεν τοῦ νυμφῶνος, ῥιφήσῃ ἔξω θρηνῳδοῦσα. Τοῦ Γιεζῆ, ἐμιμήσω τάλαινα, τὴν γνώμην τὴν ῥυπαράν πάντοτε, ψυχή· οὗ τὴν φιλαργυρίαν, ἀπώθου κἂν ἐν γήρει, φεῦγε τῆς γεέννης, τὸ πῦρ ἐκστᾶσα τῶν κακῶν σου. Σὺ τὸν Ὀζίαν, ψυχὴ, ζηλώσασα, τὴν τούτου λέπραν ἐν σοί, ἔσχες ἐν διπλῷ· ἄτοπα γὰρ λογίζῃ, παράνομα δὲ πράττεις, ἄφες ἃ κατέχεις, καὶ πρόσδραμε τῇ μετανοίᾳ. Τοὺς Νινευΐτας, ψυχὴ ἀκήκοας, μετανοοῦντας Θεῷ, σάκκῳ καὶ σποδῷ, τούτους οὐκ ἐμιμήσω, ἀλλ'			τό νοῦ μου, νά ἐπιστρέψει, δέξου με μετανοημένο, σπλαχνίσου με καθώς φωνάζω· ἁμάρτησα σ' ἐσένα μόνο, παρανόμησα, ἐλέησέ με. Ὁ ἁρματηλάτης Ἠλίας, ἀνεβασμένος ὅπως σέ ἅρμα ἐπάνω στίς ἀρετές, ὁδηγήθηκε κάποτε πρός τούς οὐρανούς ψηλότερα ἀπό τά ἐπίγεια· ἐκείνου λοιπόν, ψυχή μου, τήν ἄνοδο ἔχε στό νοῦ σου. Τό ρεῦμα τοῦ Ἰορδάνη παλαιά μέ τή μηλωτή (τήν προβιά) τοῦ Ἠλία, πού κρατοῦσε ὁ Ἐλισσαῖος, χωρίσθηκε ἀπό ἐδῶ καί ἀπό ἐκεῖ· ἐσύ ὅμως, ψυχή μου, δέ συμμετέσχες σ' αὐτή τή χάρη ἀπό ἔλλειψη ἐγκρατείας. Ὁ Ἐλισσαῖος κάποτε, ὅταν δέχθηκε τή μηλωτή τοῦ Ἠλία, ἔλαβε διπλή χάρη ἀπό τόν Κύριο· Ἐσύ ὅμως, ψυχή μου, δέν συμμετέσχες σ' αὐτή τή χάρη ἀπό ἔλλειψη ἐγκρατείας. Ἡ Σωμανίτισσα κάποτε φιλοξένησε τόν δίκαιο, ὦ ψυχή, μέ ἀγαθή γνώμη· ἐσύ ὅμως δέν φιλοξένησες οὔτε ξένον οὔτε ταξιδιώτη· γι' αὐτό θά ριχθεῖς κλαίοντας ἔξω ἀπό τό νυμφώνα (τό σπίτι τοῦ γάμου). Πάντοτε μιμήθηκες, ταλαίπωρη ψυχή, τήν ἀκάθαρτη γνώμη τοῦ Γιεζῆ· τοῦ ὁποίου τή φυλαργυρία ἀπόθεσέ την, ἔστω τώρα στά γεράματα· ἀπόφυγε τή φωτιά τῆς κολάσεως, ἀφοῦ ἀπομακρυνθεῖς ἀπό τίς κακίες σου. Ἐσύ ψυχή, ζηλεύοντας τόν Ὀζία, πῆρες ἐπάνω σου τή λέπρα ἐκείνου διπλή· διότι σκέπτεσαι ἄτοπα πράγματα, καί πράττεις παράνομα· ἄφησε αὐτά πού κατέχεις, καί τρέξε κοντά στή μετάνοια. Ἄκουσες, ψυχή, ὅτι οἱ Νινευΐτες μετανόησαν ἐνώπιον τοῦ Θεοῦ φορώντας σάκκους καί ρίχνοντας στάχτη στά κεφάλια

ὤφθης σκαιοτέρα, πάντων τῶν πρὸ νόμου, καὶ μετὰ νόμον ἑπταικότων. Τὸν ἐν τῷ λάκκῳ, βορβόρου ἤκουσας Ἱερεμίαν, ψυχή, πόλιν τὴν Σιών, θρήνοις καταβοῶντα, καὶ δάκρυα ζητοῦντα, μίμησαι τὸν τούτου, θρηνώδη βίον καὶ σωθήσῃ. Ὁ Ἰωνᾶς, εἰς Θαρσεῖς ἀπέδραμε, προγνοὺς τὴν ἐπιστροφήν, τῶν Νινευϊτῶν· ἔγνω γὰρ ὡς προφήτης, Θεοῦ τὴν εὐσπλαγχνίαν· ὅθεν παρεζήλου, τὴν προφητείαν μὴ ψευσθῆναι. Τὸν Δανιήλ, ἐν τῷ λάκκῳ ἤκουσας, πῶς ἔφραξεν, ὦ ψυχή, στόματα θηρῶν, ἔγνωκας πῶς οἱ Παῖδες, οἱ περὶ Ἀζαρίαν, ἔσβεσαν τῇ πίστει, καμίνου φλόγα καιομένην. Τῆς Παλαιᾶς, Διαθήκης ἅπαντας, παρήγαγόν σοι ψυχή, πρὸς ὑπογραμμόν, μίμησαι τῶν δικαίων, τὰς φιλοθέους πράξεις, ἔκφυγε δὲ πάλιν, τῶν πονηρῶν τὰς ἁμαρτίας. Δικαιοκρῖτα, Σωτὴρ, ἐλέησον, καὶ ῥῦσαί με τοῦ πυρός, καὶ τῆς ἀπειλῆς, ἧς μέλλω ἐν τῇ κρίσει, δι καίως ὑποστῆναι, ἄνες μοι πρὸ τέλους, δι' ἀρετῆς καὶ μετανοίας. Ὡς ὁ Λῃστὴς ἐκβοῶ σοι· Μνήσθητι, ὡς Πέτρος κλαίω πικρῶς. Ἄνες μοι, Σωτήρ, κράζω ὡς ὁ Τελώ νης, δακρύω ὡς ἡ Πόρνη, δέξαι μου τὸν θρῆνον, κα θὼς ποτὲ τῆς Χαναναίας. Τὴν σηπεδόνα, Σωτὴρ, θεράπευσον, τῆς			τους (δείγματα πένθους)· δέν μιμήθηκες αὐτούς, ἀλλά φάνη κες πιό ἀπαίσια ἀπό ὅλους πού ἔφταιξαν πρίν ἀπό τόν Νόμο τοῦ Μωυσῆ, καί μετά τό Νόμο. Ἄκουσες, ψυχή μου, ὅτι ὁ Ἱερεμίας ριγμένος στό λάκκο τοῦ βορβόρου (στό βοῦρκο) φώναζε θηνώντας γιά τήν πόλη Ἱερουσαλήμ, καί ζητοῦσε δάκρυα· μιμήσου κι ἐσύ τή θρηνώδη ζωή ἐκείνου καί θά σωθεῖς. Ὁ Ἰωνᾶς ἔφυγε γιά τήν Ταρτησσό (πόλη τῆς Ν. Δ. Ἱσπανίας) προβλέποντας τήν ἐπιστροφή (τή μετάνοια) τῶν Νινευϊτῶν· γιατί γνώριζε ὡς Προφήτης τήν εὐσπλαχνία τοῦ Θεοῦ· γι' αὐτό προσπαθοῦσε μέ ζῆλο, νά μή διαψευσθεῖ ἡ προφητεία. Ἄκουσες, ψυχή μου, πῶς ὁ Δανιήλ στό λάκκο ἔφραξε τά στόματα τῶν θηρίων· Γνώρισες πῶς οἱ νέοι πού ἦταν γύρω ἀπό τόν Ἀζαρία ἔσβησαν μέ τήν πίστη τή φλόγα στό πυρω μένο καμίνι. Σοῦ παρουσίασα, ψυχή μου, ὅλους ἀπό τήν Παλαιά Δια θήκη πρός παραδειγματισμό· μιμήσου τίς ἀρεστές στόν Θεό πράξεις τῶν Δικαίων· ἀπόφυγε ὅμως τίς ἁμαρτίες τῶν πονηρῶν. Ἐσύ ὁ δίκαιος Κριτής, Σωτήρα, ἐλέησέ με καί γλύτωσέ με ἀπό τή φωτιά, καί τήν ἀπειλή, τήν ὁποία πρόκειται νά ὑπο στῶ δικαιολογημένα κατά τήν κρίση· συγχώρησέ με πρό τοῦ τέλους μέ ἀρετή καί μετάνοια. Ὅπως ὁ ληστής σοῦ φωνάζω δυνατά τό μνήσθητί μου· Ὅπως ὁ Πέτρος κλαίω πικρά· συγχώρησέ με, Σωτήρα, κραυ γάζω ὅπως ὁ Τελώνης· δακρύζω ὅπως ἡ Πόρνη· δέξου τόν θρῆνο μου, ὅπως δέχθηκες κάποτε τό θρῆνο τῆς Χαναναίας. Θεράπευσε, Σωτήρα, τή σήψη τῆς ταπεινῆς μου ψυχῆς,

ταπεινῆς μου ψυχῆς, μόνε ἰατρέ, μάλαγμά μοι ἐπίθες, καὶ ἔλαιον καὶ οἶνον, ἔργα μετανοίας, κατάνυξιν μετὰ δακρύων. Τὴν Χαναναίαν, κἀγὼ μιμούμενος· Ἐλέησόν με βοῶ, τῷ Υἱῷ Δαυΐδ, ἅπτομαι τοῦ κρασπέδου, ὡς ἡ Αἱμορροοῦσα, κλαίω ὡς ἡ Μάρθα, καὶ Μαρία ἐπὶ Λαζάρου. Τὸ τῶν δακρύων, Σωτὴρ, ἀλάβαστρον, ὡς μύρον κατακενῶν, ἐπὶ κεφαλῆς, κράζω σοι ὡς ἡ Πόρνη, τὸν ἔλεον ζητοῦσα, δέησιν προσάγω, καὶ ἄφεσιν αἰτῶ λαβεῖν με. Εἰ καὶ μηδείς, ὡς ἐγώ σοι ἥμαρτεν, ἀλλ' ὅμως δέξαι κἀμέ, εὔσπλαγχνε Σωτήρ, φόβῳ μετανοοῦντα, καὶ πόθῳ κεκραγότα· Ἥμαρτόν σοι μόνῳ, ἠνόμησα, ἐλέησόν με. Φεῖσαι Σωτήρ, τοῦ ἰδίου πλάσματος, καὶ ζήτησον ὡς ποιμήν, τὸ ἀπολωλός, πρόβατον πλανηθέντα, ἐξάρπασον τοῦ λύκου, ποίησόν με θρέμμα, ἐν τῇ νομῇ τῶν σῶν προβάτων. Ὅταν Κριτής, καθίσῃς ὡς εὔσπλαγχνος, καὶ δείξῃς τὴν φοβεράν, δόξαν σου, Χριστέ, ᾧ ποῖος φόβος τότε! καμίνου καιομένης, πάντων δειλιώντων, τὸ ἄστεκτον τοῦ βήματός σου. Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν. Ἡ τοῦ Φωτός, τοῦ ἀδύτου, Μῆτέρ σε, φωτίσασα σκοτασμοῦ, ἔλυσε παθῶν· ὅθεν εἰσδεδεγμένη, τοῦ Πνεύματος τὴν χάριν, φώτισον Μαρία, τοὺς σὲ πιστῶς ἀνευφημοῦντας. Θαῦμα καινόν, κατιδὼν ἐξίστατο, ὁ θεῖος ὄν			μόνε ἰατρέ· βάλε μου κατάπλασμα, καί λάδι, καί κρασί, ἔργα μετανοίας, κατάνυξη μαζί μέ δάκρυα. Μιμούμενος κι ἐγώ τήν Χαναναία, ἐλέησέ με σοῦ φωνάζω, Υἱέ Δαυΐδ· ἀγγίζω τό ἄκρο τοῦ ἐνδύματός σου, ὅπως ἡ Αἱμορροοῦσα· κλαίω, ὅπως ἡ Μάρθα καί ἡ Μαρία γιά τό Λάζαρο. Τό ἀλαβάστρινο μυροδοχεῖο τῶν δακρύων, Σωτήρα, ἀδειάζοντάς το ὡς μύρο ἐπάνω στήν κεφαλή σου, σοῦ φωνάζω, ὅπως ἡ πόρνη, πού ζητοῦσε τό ἔλεός σου· σοῦ προσφέρω δέηση, καί ζητῶ, νά λάβω ἄφεση. Μολονότι κανένας δέν ἁμάρτησε σ' ἐσένα, ὅπως ἐγώ, ἀλλ' ὅμως δέξου κι ἐμένα, εὔσπλαχνε Σωτήρα, πού μετανοῶ μέ φόβο, καί μέ πόθο κραυγάζω· Ἁμάρτησα σ' ἐσένα μόνο, παρανόμησα, ἐλέησέ με. Σπλαχνίσου, Σωτήρα, τό δικό σου πλάσμα, καί ζήτησε ὡς βοσκός τό χαμένο πρόβατο· ἐπειδή πλανήθηκα, ἅρπαξέ με ἀπό τό λύκο, κάνε με πρόβατο στό κοπάδι τῶν δικῶν σου προβάτων. Ὅταν καθίσεις, ὡς εὔσπλαχνος Κριτής, καί δείξεις τή φοβερή δόξα σου, Χριστέ, ὦ τί φόβος τότε! Ὅταν θά καίει τό καμίνι, ὅταν ὅλοι θά δειλιάζουν, τήν ἀβάσταχτη ἐμφάνιση τοῦ δικαστικοῦ σου Βήματος! Ὁσία τοῦ Θεοῦ, πρέσβευε γιά μᾶς. Ἡ Μητέρα τοῦ ἄδυτου (τοῦ ἀβασίλευτου) φωτός, σέ φώτισε καί σ' ἐλευθέρωσε ἀπό τό σκοτάδι τῶν παθῶν· Γι' αὐτό, ἀφοῦ δέχθηκες μέσα σου τή χάρη τοῦ Πνεύματος, Μαρία, φώτισε αὐτούς πού σέ ἐγκωμιάζουν μέ πίστη. Βλέποντας ἀληθινά θαῦμα καινούριο σ' ἐσένα, Μητέρα,

τως ἐν σοί, Μῆτερ Ζωσιμᾶς. Ἄγγελον γὰρ ἑώρα, ἐν σώματι καὶ θάμβους, ὅλος ἐπληροῦτο, Χριστὸν ὑ μνῶν εἰς τοὺς αἰῶνας. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν. Ὡς παρρησίαν, ἔχων πρὸς Κύριον, Ἀνδρέα Κρήτης σεπτόν κλέος, δυσωπῶ, πρέσβευε τοῦ δε σμοῦ με, τῆς ἀνομίας λύσιν, νῦν εὑρεῖν εὐχαῖς σου, Διδάσκαλε, Ὁσίων δόξα. Εὐλογοῦμεν Πατέρα, Υἱόν, καὶ ἅγιον Πνεῦμα, τόν Κύριον. Ἀναρχε Πάτερ, Υἱὲ συνάναρχε, Παράκλητε ἀ γαθέ, Πνεῦμα τὸ εὐθές, Λόγου Θεοῦ Γεννῆτορ, Πα τρὸς ἀνάρχου Λόγε, Πνεῦμα ζῶν καὶ κτίζον. Τριὰς Μονὰς ἐλέησόν με. Καὶ νῦν ... Θεοτοκίον. Ὡς ἐκ βαφῆς, ἁλουργίδος Ἄχραντε, ἡ νοητὴ πορφυρίς, τοῦ Ἐμμανουήλ, ἔνδον ἐν τῇ γαστρί σου, ἡ σάρξ συνεξυφάνθη· ὅθεν Θεοτόκον, ἐν ἀληθείᾳ σε τιμῶμεν. Ὠιδὴ Θ'. Ὁ Εἱρμὸς. Ἀσπόρου συλλήψεως, ὁ τόκος ἀνερμήνευτος, Μητρὸς ἀνάνδρου, ἄφθορος ἡ κύησις· Θεοῦ γὰρ ἡ γέννησις, καινοποιεῖ τὰς φύσεις. Διό σε πᾶσαι αἱ γενεαί, ὡς Θεόνυμφον Μητέρα, ὀρθοδόξως μεγα λύνομεν. (Δίς). Ὁ νοῦς τετραυμάτισται, τὸ σῶμα μεμαλάκι σται, νοσεῖ τὸ πνεῦμα, ὁ λόγος ἠσθένησεν, ὁ βίος νενέκρωται, τὸ τέλος ἐπὶ θύραις· διό μοι τάλαινα ψυχή, τί ποιήσεις ὅταν ἔλθῃ, ὁ Κριτὴς ἀνερευνῆσαι			ὁ ἅγιος Ζωσιμᾶς, ἀποροῦσε· Διότι ἔβλεπε ἄγγελο μέσα σέ σῶμα, κι ἐγέμιζε ὁλόκληρος ἀπό μεγάλη ἔκπληξη καί ὑμνοῦ σε τό Χριστό γιά πάντα. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε γιά μᾶς. Ἐπειδή ἔχεις παρρησία (θάρρος) πρός τόν Κύριο, Ἀνδρέα, σεβάσμια δόξα τῆς Κρήτης, παρακαλῶ, πρέσβευε, νά βρῶ τώ ρα ἐλευθερία ἀπό τά δεσμά τῆς ἀνομίας μέ τίς εὐχές σου, Διδάσκαλε, δόξα τῶν Ὁσίων. Δοξολογοῦμεν Πατέρα, Υἱόν, καὶ ἅγιον Πνεῦμα, τόν Κύριο. Ἄναρχε Πατέρα, Υἱέ μαζί κι Ἐσύ ἄναρχε, Πνεῦμα τῆς Ἀ ληθείας, Ἐσύ Πατέρα πού γέννησες τό Λόγο τοῦ Θεοῦ, Ἐσύ Λόγε τοῦ ἄναρχου Πατέρα, καί Ἐσύ Ἅγιο Πνεῦμα πού δίνεις τή ζωή καί δημιουργεῖς, Τριάδα Μονάδα, ἐλέησέ με. Καί νῦν..… Θεοτοκίο. Ὡς ἀπό βαφή πορφύρας, Ἀμόλυντη, τό πνευματικό κόκ κινο βασιλικό ἔνδυμα τοῦ Ἐμμανουήλ (τοῦ Χριστοῦ), δηλαδή ἡ σάρκα του, τό σῶμα του ὑφάνθηκε μαζί σου· Γι' αὐτό ἀληθινά σέ τιμοῦμε ὡς Θεοτόκο. Ὠιδή Θ'. Ἡ γέννηση μετά ἀπό σύλληψη, χωρίς μεσολάβηση συζύ γου, εἶναι ἀνεξήγητη· Ἡ ἐγκυμοσύνη Μητέρας ἀνύπανδρης δέν ἐπέφερε φθορά τῆς παρθενίας· Διότι ἡ γέννηση τοῦ Θεοῦ ἀνακαινίζει τούς φυσικούς νόμους· Γι' αὐτό ὅλες οἱ γεννιές, ὡς Μητέρα, Νύμφη τοῦ Θεοῦ, σέ μεγαλύονουμε ὀρθόδοξα. Ὁ νοῦς εἶναι τραυματισμένος, τό σῶμα εἶναι ἐξασθενημένο, τό πνεῦμα εἶναι ἄρρωστο, ὁ λόγος ἐξασθένησε, ἡ ζωή νεκρώθηκε, τό τέλος εἶναι μπροστά στή θύρα· Γι' αὐτό, ταλαίπωρη ψυχή μου, τί θά κάνεις, ὅταν ἔλθει

τὰ σά; Μωσέως παρήγαγον, ψυχὴ τὴν κοσμογένεσιν, καὶ ἐξ ἐκείνου, πᾶσαν ἐνδιάθετον, γραφὴν ἱστο ροῦσάν σοι, δικαίους καὶ ἀδίκους, ὧν τοὺς δευτέρους ὦ ψυχή, ἐμιμήσω, οὐ τοὺς πρώτους, εἰς Θεὸν ἐξαμαρτήσασα. Ὁ Νόμος ἠσθένησεν, ἀργεῖ το Εὐαγγέλιον, Γραφὴ δὲ πᾶσα, ἐν σοὶ παρημέληται, Προφῆται ἠτόνησαν, καὶ πᾶς δικαίου λόγος, αἱ τραυματίαι σου ὦ ψυχή, ἐπληθύνθησαν, οὐκ ὄντος, ἰατροῦ τοῦ ὑγιοῦντός σε. Τῆς νέας παράγω σοι, Γραφῆς τὰ ὑποδείγμα τα, ἐνάγοντά σε, ψυχὴ πρὸς κατάνυξιν, δικαίους οὖν ζήλωσον, ἁμαρτωλοὺς ἐκτρέπου, καὶ ἐξιλέω σαι Χριστόν, προσευχαῖς τε καὶ νηστείαις, καὶ ἁ γνείᾳ καὶ σεμνότητι. Χριστὸς ἐνηνθρώπησε, σαρκὶ προσομιλήσας μοι, καὶ πάντα ὅσα, ὑπάρχει τῆς φύσεως, βουλή σει ἐπλήρωσε, τῆς ἁμαρτίας δίχα, ὑπογραμμόν σοι, ὦ ψυχή, καὶ εἰκόνα προδεικνύων, τῆς αὐτοῦ συγκαταβάσεως. Χριστὸς ἐνηνθρώπησε, καλέσας εἰς μετάνοιαν, λῃστὰς καὶ πόρνας, ψυχὴ μετανόησον, ἡ θύρα ἠνέ ῳκται, τῆς Βασιλείας ἤδη, καὶ προαρπάζουσιν αὐ τήν, Φαρισαῖοι καὶ Τελῶναι, καὶ μοιχοὶ μεταποιού μενοι. Χριστὸς Μάγους ἔσωσε, Ποιμένας συνεκάλεσε, Νηπίων δήμους, ἀπέδειξε Μάρτυρας, Πρεσβύτην ἐδόξασε, καὶ γηραλέαν Χήραν, ὧν οὐκ ἐζήλωσας			ὁ Κριτής νά κάνει ἔρευνα στά δικά σου τά ἔργα; Παρουσίασα μπροστά σου, ψυχή, τήν κοσμογονία τοῦ Μωυσῆ καί ἀπό ἐκεῖνον ὅλον τόν ἐσωτερικό ἄγραφο νόμο, τή συνείδηση, πού σοῦ εἶπε τήν ἱστορία Δικαίων καί ἀδίκων· Ἀπό τούς ὁποίους, ὦ ψυχή, μιμήθηκες τούς δευτέρους, καί ὄχι τούς πρώτους, ἁμαρτάνοντας ἐνώπιον τοῦ Θεοῦ. Ὁ Νόμος ἐξασθένησε, τό Εὐαγγέλιο παραμένει ἀνενεργό καί κάθε Γραφή παραμελήθηκε ἀπό σένα· Οἱ Προφῆτες ἀτόνησαν ὅπως καί τά λόγια κάθε Δικαίου, τά τραύματά σου, ὦ ψυχή, πολλαπλασιάσθηκαν, ἐπειδή δέν ὑπάρχει ἰατρός πού νά σέ ἐξυγιάνει. Σοῦ παρουσιάζω τά ὑποδείγματα τῆς Νέας Γραφῆς (τῆς Καινῆς Διαθήκης), τά ὁποῖα σέ ὁδηγοῦν, ψυχή μου στήν κατάνυξη· Ζήλεψε λοιπόν τούς Δικαίους, ἀποστρέψου τούς ἁμαρτωλούς, καί κάνε συγχωρητικό τό Χριστό καί μέ προσευχές καί μέ νηστεῖες καί μέ σεμνότητα. Ὁ Χριστός ἔγινε ἄνθρωπος, ἀφοῦ συναναστράφηκε μαζί μου σαρκικά, καί ὅλα ὅσα ἀνήκουν στή φύση μου τά ἐκπλήρωσε, χωρίς τήν ἁμαρτία· δείχνοντάς σου ἐκ τῶν προτέρων, ὦ ψυχή, ὑπογραμμό (παράδειγμα) καί εἰκόνα τῆς δικῆς του συγκαταβάσεως (ἀγάπης, εὐσπλαχνίας). Ὁ Χριστός ἔγινε ἄνθρωπος, καλώντας σέ μετάνοια ληστές καί πόρνες· Ψυχή μετανόησε, ἡ θύρα τῆς Βασιλείας εἶναι ἤδη ἀνοιχτή· Καί τήν ἁρπάζουν πιό μπροστά Φαρισαῖοι καί τελῶνεςς, καί μοιχοί πού μεταστρέφονται Ὁ Χριστός ἔσωσε τούς Μάγους, τούς Βοσκούς τούς κάλεσε κοντά του, τά πλήθη τῶν Νηπίων τά ἀνέδειξε Μάρτυρες, τόν Γέροντα (τόν Συμεών) τόν δόξασε, καί τή γηραλέα Χήρα

ψυχή, οὐ τὰς πράξεις οὐ τὸν βίον, ἀλλ' οὐαί σοι ἐν τῷ κρίνεσθαι! Νηστεύσας ὁ Κύριος, ἡμέρας τεσσαράκοντα, ἐν τῇ ἐρήμῳ, ὕστερον ἐπείνασε, δεικνὺς τὸ ἀνθρώπι νον. Ψυχὴ μὴ ἀθυμήσῃς, ἂν σοι προσβάλλῃ ὁ ἐ χθρός, προσευχῇ τε καὶ νηστείᾳ, ἐκ ποδῶν ἀπο κρουσθήτω σοι. Χριστὸς ἐπειράζετο, Διάβολος ἐπείραζε, δει κνὺς τοὺς λίθους, ἵνα ἄρτοι γένωνται, εἰς ὄρος ἀνή γαγεν, ἰδεῖν τὰς βασιλείας, τοῦ Κόσμου πάσας ἐν ῥιπῇ· φοβοῦ ὦ ψυχὴ τὸ δρᾶμα, νῆφε, εὔχου, πᾶσαν ὥραν Θεῷ. Τρυγὼν ἡ φιλέρημος, φωνὴ βοῶντος ἤχησε, Χριστοῦ ὁ λύχνος, κηρύττων μετάνοιαν, Ἡρῴδης ἠνόμησε, σὺν τῇ Ἡρῳδιάδι. Βλέπε ψυχή μου μὴ παγῇς, τῶν ἀνόμων ταῖς παγίσιν, ἀλλ' ἀσπάζου τὴν μετάνοιαν. Τὴν ἔρημον ᾤκησε, τῆς χάριτος ὁ Πρόδρομος, καὶ Ἰουδαία, πᾶσα καὶ Σαμάρεια, ἀκούοντες ἔτρε χον, καὶ ἐξωμολογοῦντο, τὰς ἁμαρτίας ἑαυτῶν, βαπτιζόμενοι προθύμως, οὓς αὐτὴ οὐκ ἐμιμήσω ψυχή. Ὁ γάμος μὲν τίμιος, ἡ κοίτη δὲ ἀμίαντος· ἀμφό τερα γάρ, Χριστὸς προευλόγησε, σαρκὶ ἐσθιόμενος, καὶ ἐν Κανᾷ τῷ γάμῳ, τὸ ὕδωρ οἶνον ἐκτελῶν, καὶ δεικνύων πρῶτον θαῦμα, ἵνα σὺ μετατεθῇς ὦ ψυ χή. Παράλυτον ἔσφιγξε, Χριστὸς τὴν κλίνην ἄραν τα, καὶ νεανίσκον, θανέντα ἐξήγειρε, τῆς χήρας			(τήν Ἄννα)· Τῶν ὁποίων δέν ζήλεψες, ψυχή, οὔτε τίς πράξεις, οὔτε τή ζωή· Ἀλλά ἀλλοίμονό σου, ὅταν θά κρίνεσαι. Ἀφοῦ νήστεψε ὁ Κύριος σαράντα μέρες στήν, ἔρημο, ὕστερα πείνασε, δείχνοντας τήν ἀνθρώπινη φύση του. Ψυχή, μή μελαγχολήσεις· Ἂν σοῦ ἐπιτεθεῖ ὁ ἐχθρός, ἄς ἀποκρουσθεῖ μακριά ἀπό σένα καί μέ προσευχές καί μέ νηστεῖες. Ὁ Χριστός πειραζόταν, ὁ διάβολος ἐπείραζε δείχνοντας τίς πέτρες, γιά νά γίνουν ψωμιά· Τόν ἀνέβασε σέ ὄρος, γιά νά δεῖ ὅλα τά βασίλεια τοῦ κόσμου μέ μιά ματιά. Φοβήσου, ψυχή τό δρᾶμα, μένε ἄγρυπνη πνευματικά, καί προσεύχου κάθε ὥρα στόν Θεό. Τό Τρυγόνι πού ἀγαποῦσε τήν ἔρημο, «ἡ Φωνή τοῦ Βοῶντος», τό Λυχνάρι τοῦ Χριστοῦ, ἀντήχησε κηρύττοντας μετάνοια· ὁ Ἡρώδης παρανόμησε μαζί μέ τήν Ἡρωδιάδα· Βλέπε, ψυχή μου, μή πιασθεῖς στίς παγίδες τῶν ἀνόμων, ἀλλά δέχου εὐχαρίστως τή μετάνοια. Ὁ Πρόδρομος τῆς θείας χάρης κατοίκησε στήν ἔρημο· Καί ἡ Ἰουδαία ὅλη, καί ἡ Σαμάρεια, ἀκούοντας ἔτρεχαν, καί ἐξομολογοῦνταν τίς ἁμαρτίες τους, κι ἐβαπτίζονταν πρόθυ-μα· Τούς ὁποίους δέν μιμήθηκες ἐσύ, ψυχή μου. Ὁ γάμος βέβαια εἶναι τίμιος, καί τό συζυγικό κρεββάτι ἀμόλυντο· Διότι καί τά δύο τά εὐλόγησε ὁ Χριστός προκατα-βολικά συμμετέχοντας σωματικά στό τραπέζι τοῦ γάμου τῆς Κανᾶ, μεταβάλλοντας τό νερό σέ κρασί, καί δείχνοντας τό πρῶτο θαῦμα, γιά νά ἀνυψωθεῖς πνευματικά, ἐσύ ψυχή. Ὁ Χριστός ἔστησε ὄρθιο τόν παράλυτο, πού σήκωσε τό κρεββάτι του, καί ἀνέστησε τό νέο πού πέθανε, τό γιό τῆς χή-

τὸ κύημα, καὶ τοῦ Ἑκατοντάρχου, καὶ Σαμαρείτιδι φανείς, τὴν ἐν πνεύματι λατρείαν, σοὶ ψυχὴ προε ζωγράφησεν. Αἱμόρρουν ἰάσατο, ἁφῇ κρασπέδου Κύριος, λεπροὺς καθῆρε, τυφλοὺς καὶ χωλεύοντας, φωτί σας ἠνώρθωσε, κωφούς τε καὶ ἀλάλους, καὶ τὴν συγκύπτουσαν χαμαί, ἐθεράπευσε τῷ λόγῳ, ἵνα σὺ σωθῇς, ἀθλία ψυχή. Τὰς νόσους ἰώμενος, πτωχοῖς εὐηγγελίζετο, Χριστὸς ὁ Λόγος, κυλλοὺς ἐθεράπευσε, τελώναις συνήσθιεν, ἁμαρτωλοῖς ὡμίλει, τῆς Ἰαείρου θυ γατρός, τὴν ψυχὴν προμεταστᾶσαν, ἐπανήγαγεν ἁφῇ τῆς χειρός. Τελώνης ἐσῴζετο, καὶ Πόρνη ἐσωφρόνιζε, καὶ Φαρισαῖος, αὐχῶν κατεκρίνετο· ὁ μὲν γάρ, Ἱλάσθη τι, ἡ δέ, Ἐλέησόν με, ὁ δὲ ἐκόμπαζε, βοῶν· ὁ Θεὸς εὐχαριστῶ σοι, καὶ ἑξῆς τὰ τῆς ἀνοίας ῥητά. Ζακχαῖος Τελώνης ἦν, ἀλλ' ὅμως διεσῴζετο, καὶ Φαρισαῖος, ὁ Σίμων ἐσφάλλετο, καὶ Πόρνη ἐ λάμβανε, τὰς ἀφεσίμους λύσεις, παρὰ τοῦ ἔχοντος ἰσχύν, ἀφιέναι ἁμαρτίας, ἦν, ψυχὴ, σπεῦσον μιμή σασθαι. Τὴν Πόρνην ὦ τάλαινα ψυχή μου οὐκ ἐζήλω σας, ἥτις λαβοῦσα, μύρου τὸ ἀλάβαστρον, σὺν δά κρυσιν ἤλειψε, τοὺς πόδας τοῦ Κυρίου, ἐξέμαξε δὲ ταῖς θριξί, τῶν ἀρχαίων ἐγκλημάτων, τὸ χειρόγρα			ρας, καί τοῦ ἑκατοντάρχου, καί ἀφοῦ ἐμφανίσθηκε στή Σαμαρείτισσα, παρουσίασε σ' ἐσένα, ψυχή μου, μέ ζωηρά χρώματα τήν πνευματική λατρεία. Θεράπευσε Αἱμορροοῦσα μέ τό ἄγγιγμα τοῦ ἄκρου τοῦ ἐνδύματός του ὁ Κύριος, λεπρούς καθάρισε, τυφλούς καί χωλούς (κουτσούς) ἀφοῦ τούς ἐφώτισε, τούς ἀνόρθωσε, καί κουφούς καί ἄλαλους, καί τή ραχιτική, πού ἔσκυβε κάτω, θεράπευσε μέ τόν λόγο του, γιά νά σωθεῖς ἐσύ, ἄθλια ψυχή. Θεραπεύοντας τίς ἀσθένειες ἐκήρυττε τό Εὐαγγέλιο στούς φτωχούς ὁ Χριστός, ὁ Λόγος τοῦ Θεοῦ, κουλούς θεράπευσε, μέ τελῶνες συνέτρωγε, συνανανα στρεφόταν μέ τούς ἁμαρτωλούς· Τήν ψυχή τῆς θυγατέρας τοῦ Ἰαείρου, πού ἔφυγε προηγουμένως, τήν ἐπανέφερε μέ τό ἄγγιγμα τοῦ χεριοῦ. Ὁ Τελώνης σωζόταν, καί ἡ πόρνη, συνετιζόταν (διορθωνόταν), καί ὁ Φαρισαῖος πού καυχιόταν καταδικαζόταν· Διότι ὁ μέν πρῶτος ἔλεγε συγχώρησέ με, καί ἐκείνη ἔλεγε ἐλέησέ με· Ἐνῷ ὁ Φαρισαῖος κόμπαζε (περηφανευόταν) φωνάζοντας· Θεέ μου, σέ εὐχαριστῶ· καί τά ὑπόλοιπα λόγια τῆς ἀνοησίας. Ὁ Ζακχαῖος ἦταν τελώνης, ὅμως σωζόταν, καί ὁ Σίμων ὁ Φαρισαῖος ἔπεφτε σέ σφάλμα, καί ἡ Πόρνη ἐλάμβανε τήν ἐλευθερία τῆς συγχωρήσεως, ἀπ' αὐτόν πού ἔχει δύναμη, νά συγχωρεῖ ἁμαρτίες· Αὐτόν ψυχή μου, κάνε τον σπλαχνικό γιά σένα. Ταλαίπωρη ψυχή μου, δέν ζήλεψες τήν Πόρνη, ἡ ὁποία πῆρε τό ἀλαβάστρινο μυροδοχεῖο, καί ἄλειψε πλύνοντας μέ δάκρυα τά πόδια τοῦ Κυρίου· Καί τά σκούπισε μέ τά μαλλιά της ἐνῷ, ἐκεῖνος τῆς ἔσχιζε τό γραμμάτιο τῶν παλαιῶν

φον ῥηγνύντος αὐτῆ. Τὰς πόλεις αἷς ἔδωκε, Χριστὸς τὸ Εὐαγγέλιον, ψυχή μου ἔγνως, ὅπως κατηράθησαν, φοβοῦ τὸ ὑπόδειγμα, μὴ γένῃ ὡς ἐκεῖναι· ταῖς ἐν Σοδόμοις γὰρ αὐτάς, ὁ Δεσπότης παρεικάσας, ἕως Ἅιδου κα τεδίκασε. Μὴ χείρων ὦ ψυχή μου, φανῇς δι' ἀπογνώσεως τῆς Χαναναίας τὴν πίστιν ἀκούσασα, δι' ἧς τὸ θυ γάτριον, λόγῳ Θεοῦ ἰάθη. Υἱὲ Δαυῒδ, σῶσον κἀμέ, ἀναβόησον ἐκ βάθους, τῆς καρδίας ὡς ἐκείνη Χριστῷ. Σπλαγχνίσθητι σῶσόν με, Υἱὲ Δαυῒδ ἐλέησον, ὁ δαιμονῶντας, λόγῳ ἰασάμενος, φωνὴν δὲ τὴν εὖ σπλαγχνον, ὡς τῷ Ληστῇ μοι φράσον· ἀμήν σοι λέγω μετ' ἐμοῦ, ἔσῃ ἐν τῷ Παραδείσῳ, ὅταν ἔλθω ἐν τῇ δόξῃ μου. Ληστὴς κατηγόρει σοι, Ληστὴς ἐθεολόγει σοι· ἀμφότεροι γάρ, σταυρῷ συνεκρέμαντο, ἀλλ' ὦ Πο λυεύσπλαγχνε, ὡς τῷ πιστῷ Ληστῇ σου, τῷ ἐπι γνόντι σε Θεόν, κἀμοὶ ἄνοιξον τὴν θύραν, τῆς ἐν δόξου βασιλείας σου. Ἡ κτίσις συνείχετο, σταυρούμενόν σε βλέπου σα, ὄρη καὶ πέτραι, φόβῳ διερρήγνυντο, καὶ γῆ συνεσείετο, καὶ Ἅιδης ἐγυμνοῦτο, καὶ συνεσκότα σε τὸ φῶς, ἐν ἡμέρᾳ καθορῶν σε, Ἰησοῦ, προσηλω μένον σαρκί. Ἀξίους μετανοίας, καρποὺς μὴ ἀπαιτήσῃς με· ἡ γὰρ ἰσχύς μου, ἐν ἐμοὶ ἐξέλιπε, καρδίαν μοι δώ ρησαι, ἀεὶ συντετριμμένην, πτωχείαν δὲ πνευματι			ἁμαρτημάτων. Γνωρίζεις, ψυχή μου, ὅτι οἱ πόλεις, στίς ὁποῖες κήρυξε ὁ Χριστός τό Εὐαγγέλιο, δέχθηκαν κατάρα· Νά φοβᾶσαι τό παράδειγμά τους, νά μή γίνεις, ὅπως ἐκεῖνες· Διότι ὁ ἴδιος ὁ Κύριος, ἀφοῦ τίς παρομοίασε μέ τά Σόδομα, τίς καταδίκασε νά πέσουν μέχρι τόν ᾅδη. Ἀκούοντας τήν πίστη τῆς Χαναναίας, ψυχή μου, μή φανεῖς κατώτερη ἀπό ἐκείνην ἐξ αἰτίας τῆς ἀπογνώσεως, μέ τήν ὁποία πίστη, ἡ θυγατέρα της θεραπεύθηκε μέ τό λόγο τοῦ Θεοῦ. Υἱέ τοῦ Δαυῒδ σῶσε κι ἐμένα, φώναξε στόν Χριστό ἀπό τά βάθη τῆς καρδιᾶς σου, ὅπως ἐκείνη. Σπλαχνίσου με, σῶσε με, Υἱέ τοῦ Δαυῒδ ἐλέησέ με, Ἐσύ πού θεράπευσες δαιμονισμένους μέ μόνο τόν λόγο σου· Καί πές μου, ὅπως στόν ληστή τά σπλαχνικά σου λόγια· Ἀληθινά σοῦ λέγω, θά εἶσαι μαζί μου στόν παράδεισο, ὅταν ἔλθω στή δόξα μου. Ὁ ἕνας ληστής σέ κατηγοροῦσε, ὁ ἄλλος ληστής θεολογοῦσε γιά σένα· Γιατί καί οἱ δυό κρέμονταν μαζί σου σέ σταυρό. Ἀλλά, ὦ Πολυεύπλαχνε, ὅπως στόν πιστό σ' ἐσένα ληστή, πού σέ ἀναγνώρισε Θεό, ἔτσι καί σ' ἐμένα ἄνοιξε τή θύρα τῆς ἔνδοξης Βασιλείας σου. Ἡ κτίση ἦταν ζαρωμένη ἀπό φόβο βλέποντάς σε νά σταυρώνεσαι· Τά ὄρη καί οἱ πέτρες ἀπό τόν φόβο ράγιζαν· Καί ἡ γῆ σείονταν, καί ὁ ᾅδης ἀπογυμνωνόταν· Καί τό φῶς συσκοτίσθηκε, ἐνῷ ἦταν ἡμέρα, βλέποντάς σε, Ἰησοῦ, μέ τό σῶμα καρφωμένο στόν Σταυρό. Μήν ἀπαιτήσεις ἀπό μένα καρπούς ἀξίους τῆς μετανοί-ας· Διότι ἡ δύναμή μου μέσα μου χάθηκε· Δώρισέ μου καρδιά συντετριμμένη· Καί δός μου πτωχεία πνευματική (ταπείνω-

κήν, ἵνα ταῦτά σοι προσοίσω, ὡς δεκτὴν θυσίαν, μόνε Σωτήρ. Κριτά μου καὶ γνῶστά μου, ὁ μέλλων πάλιν ἔρ χεσθαι, σὺν τοῖς Ἀγγέλοις, κρῖναι Κόσμον ἅπαντα, ἱλέῳ σου ὄμματι, τότε ἰδών με φεῖσαι, καὶ οἰκτειρόν με Ἰησοῦ, τὸν ὑπὲρ τὴν πᾶσαν φύσιν, τῶν ἀνθρώ πων ἁμαρτήσαντα. Ὁσία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν. Ἀπάσας ἐξέστησας, τῇ ξένῃ πολιτείᾳ σου, Ἀγ γέλων τάξεις, βροτῶν τὰ συστήματα, ἀΰλως βιώ σασα, καὶ φύσιν ὑπερβᾶσα, ἀνθ' ὧν ὡς ἄϋλος τοῖς ποσίν, ἐπιβαίνουσα Μαρία, Ἰορδάνην διεπέρασας. Τὸν Κτίστην ἱλέωσαι, ὑπὲρ τῶν εὐφημούντων σε, ὁσία Μῆτερ, ῥυσθῆναι κακώσεων, καὶ θλίψεων τῶν κύκλῳ, συνεπιτιθεμένων, ἵνα ῥυσθέντες τῶν πειρασμῶν, μεγαλύνωμεν ἀπαύστως, τὸν δοξά σαντά σε Κύριον. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν. Ἀνδρέα σεβάσμιε καί Πάτερ τρισμακάριστε, Ποιμήν τῆς Κρήτης, μή παύσῃ δεόμενος ὑπέρ τῶν σὲ ὑμνούντων, ἵνα ρυσθῶμεν πάσης ὀργῆς καί θλί ψεως, καί φθορᾶς καί πταισμάτων ἀνεικάστων οἱ τιμῶντες σου τήν μνήμην πιστῶς. Δόξα… Πατέρα δοξάσωμεν, Υἱόν ὑπερυψώσωμεν τό θεῖον Πνεῦμα, πιστῶς προσκυνήσωμεν, Τριάδα ἀ χώριστον, Μονάδα κατ' οὐσίαν, ὡς Φῶς καί Φῶτα καί Ζωήν, καί Ζωάς, ζωοποιοῦσαν καί φωτίζουσαν			σῃ), γιά νά σοῦ τά προσφέρω ὡς θυσία δεκτή, Σωτήρα. Ἐσύ πού εἶσαι Κριτής μου καί μέ γνωρίζεις, καί πρόκειται πάλι νά ἔλθεις μαζί μέ τούς Ἀγγέλους, γιά νά κρίνεις ὅλο τόν κόσμο, βλέποντάς με μέ τό σπλαχνικό σου μάτι λυπήσου με, καί σπλαχνίσου, Ἰησοῦ, ἐμένα, πού ἁμάρτησα περισσότερο ἀπό ὅλη τή φύση τῶν ἀνθρώπων. Ὁσία τοῦ Θεοῦ πρέσβευε γιά μᾶς. Μέ τήν παράξενη ζωή σου ἐξέπληξες ὅλα τά τάγματα τῶν Ἀγγέλων, καί τά πλήθη τῶν ἀνθρώπων, γιατί ἔζησες ὡς ἄυλη, καί ξεπέρασες τήν φύση· Γιά ὅλα αὐτά, ὡς ἄυλη, περ-πατώντας μέ τά πόδια, Μαρία, διαπέρασες τόν Ἰορδάνη. Κάνε εὐνοϊκό τόν Κτίστη, γιά μᾶς πού σέ ἐγκωμιάζουμε, Ὁσία Μαρία, νά ἀπαλλαγοῦμε ἀπό ταλαιπωρίες καί θλίψεις, πού προέρχονται ἀπό τούς γύρω ἐχθρούς, οἱ ὁποῖοι μᾶς ἐπιτίθενται ἀπό γύρω· Ὥστε ἀπαλλαγμένοι ἀπό τούς πειρα-σμούς, νά μεγαλύνουμε ἀκατάπαυστα τόν Κύριο πού σέ δό-ξασε. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε γιά μᾶς. Ἀνδρέα σεβάσμιε, καί τρισμακάριστε Πατέρα, Ποιμένα τῆς Κρήτης, μή παύσεις νά παρακαλεῖς γιά μᾶς πού σέ ὑμνοῦμε, γιά νά ἀπαλλαγοῦμε ἀπό κάθε ὀργή καί θλίψη καί φθορά, καί νά λυτρωθοῦμε ἀπό τά σφάλματα, ἐμεῖς πού τιμοῦμε τή μνήμη σου πάντοτε. Δόξα... Τόν Πατέρα ἄς δοξάσουμε, τόν Υἱόν ἄς ὑπερυψώσουμε, τό Ἅγιο Πνεῦμα μέ πίστη ἄς τό προακυνήσουμε, Τριάδα ἀχώριστη, Μονάδα στήν οὐσία, ὡς ἕνα φῶς (Μονάδα) καί τρία φῶτα (Τριάδα) καί μία ζωή, καί τρεῖς ζωές, ἡ ὁποία

τά πέρατα. Καὶ νῦν ... Θεοτοκίον. Τὴν Πόλιν σου φύλαττε, Θεογεννῆτορ πάνα γνε· ἐν σοὶ γὰρ αὕτη, πιστῶς βασιλεύουσα, ἐν σοὶ καὶ κρατύνεται, καὶ διὰ σοῦ νικῶσα, τροποῦται πάντα πειρασμόν, καὶ σκυλεύει πολεμίους καὶ δι έπει τὸ ὑπήκοον. Τρισάγιον. Καί τά λοιπά τοῦ Μικροῦ Ἀποδείπνου. (Σελίς 212-217). Ἀπόλυσις. (Σελίς 16-17). Ἐκ τῶν ἐκδόσεων «ΦΩΣ». Ο δείξας ἐράσμιον τὸ Νύμφης Κάλλος ἄριστον, Ῥουβήν, Ἀνδρέας, ζήτω ψάλτης κράτιστος, Χριστὸν ἱλασκόμενος, καὶ μὴ ἀποθανέτω, ἀλλ' ὥσπερ στό μα Θεοῦ, πολλούς ἀδελφούς, Χριστῷ προσάγοι, ἐπὶ τράχηλον Ἐχθροῦ πατῶν.			ζωοποιεῖ καί φωτίζει τά πέρατα. Καί νῦν… Θεοτοκίο. Φύλαττε τήν Πόλη σου, Θεογεννήτρια πάναγνη· Διότι Μέ τή δική σου βοήθεια βασιλεύοντας μέ πίστη σ' ἐσένα παίρνει δύναμη, μέ τή βοήθειά σου νικώντας τρέπει σέ φυγή κάθε πειρασμό, καί λαφυραγωγεῖ τούς ἐχθρούς, καί κυβερνᾷ τούς ὑπηκόους. Τρισάγιο. Καί τά λοιπά τοῦ ΜικροῦἈποδείπνου. (Σελίδα 212-217). Ἀπόλυση. (Σελίδα 16-17). (Ἐκδόσεις ΦΩΣ). Τριάς ὁμοούσιε, Μονάς τρισυπόστατος, σέ ἀνυμνοῦμεν, Πατέρα δοξάζοντες, Υἱόν μεγαλύνοντες, καί Πνεῦμα προσ κυνοῦντες, τόν ἕνα φύσει ἀληθῶς Θεόν ζωήν τε καί ζωάς, βασιλείαν ἀτελεύτητον.